Monacensis 201 [Hardt II p. 338] bombycinus saeculo XIII exaratus M^b f. 53—56 exiguam particulam ex Davidis prolegomenis continet incipientem οἱ τῶν τῆς φιλοσοφίας λόγων ἐρῶντες. titulus auctoris nomine caret; est enim τὰ προλεγόμενα σὺν θεῷ ἁγίῳ τῆς φιλοσοφίας. f. 84—86 alterum fragmentum ex prooemio commentarii legitur, quod titulo praefixo ἀρχὴ σὺν θεῷ. τὰ προλεγόμενα τῶν ε' φωνῶν incipit μέλλοντες σὺν θεῷ ἄρχεσθαι. inde a f. 87 Eliae in Categorias expositiones leguntur. specimen deest.

Digitized by Google

P¹ PARISINUS 1938 [H. Omont II p. 167] chartaceus saeculo XVI scriptus f. 1ʳ—94ʳ hoc commentarium continet inde a verbis μέλλοντες σὺν θεῷ ἄρχεσθαι (Dav. p. 80,5) anteposito titulo ἀρχὴ σὺν θεῷ τῶν προλεγομένων τῶν πέντε φωνῶν ἀπὸ φωνῆς δαβὶδ τοῦ θεοφιλεστάτου καὶ θεοφρονεστάτου. ex hoc codice cum Cramer eam commentarii particulam elegerit, quam in *Anecd. Paris.* IV p. 434—442 omni emendatione neglecta imprimendam curavit, cuius discrepantias littera c signatas in hac editione adnotavi, opus non est hoc loco specimen adicere, praesertim cum codex prorsus nullius sit pretii.

P² PARISINUS 1845 [H. Omont II p. 152] bombycinus saeculo XIV exaratus, de quo in praefatione Ammonii in Porph. Isag. commentarii [p. XXVII] exposui, in marginibus varia scholia appicta exhibet, quorum quaedem ex Davidis libro deprompta esse videntur. nam specimen quod olim inde transcripsi memoriam Davidis p. 118,15 prodit, quamquam foliis peresis ac laceratis multa adeo sunt oblitterata, ut nisi quae evanuerunt suppleveris, sensus extricari vix possit.

f. 1ʳ mrg. Dav. p. 118,15 ἀποροῦσί τινες διὰ τί ἐπεὶ περὶ γένους καὶ εἴδους [εἶπεν], οὐκ ἐποιήσατο [μνείαν] καὶ τῶν ἄλλων, οἷον διαφορᾶς ἰδίου καὶ συμβεβηκότος. ἀναγκαῖον γὰρ ζητεῖν καὶ ἐπὶ τούτων εἴτε ὑφέστηκε εἴτε καὶ [ἐν μόναις ψιλαῖς ἐπινοίαις κεῖται, φαμὲν δὲ] ὅτι δικαίως τούτων οὐκ ἐμνήσθη, ἐπειδὴ ἤρκει αὐτῷ μνησθῆναι γένους καὶ εἴδους. [διὰ γὰρ τῶν ἄλλων] διήκει τὸ γένος καὶ τὸ εἶδος. [λέγων οὖν] τὸ γένος καὶ τὸ εἶδος συμπεριλαμβάνει καὶ τὰς ἄλλας [τρεῖς φωνάς· ἔχει γάρ, ὡς ἔφαμεν,] ἡ διαφορὰ γένος [καὶ] εἶδος, γένος μέν, ὡς ἵνα εἴποις τὴν διαφορὰν τὴν ἐν ἐμοὶ καὶ ἐν τῷ ἵππῳ καὶ ἐν τῷ κυνὶ καὶ ἐν τοῖς ἄλλοις [εἴδεσι]. τὸ οὖν κατηγορούμενον εἰδῶν τοῦτο [γένος] καλεῖται, αὕτη δὲ εἰδῶν κατηγορεῖται. εἶδος δέ, ὡς ἵνα [ἀτομώσης τὴν ἐπὶ τὰ] πολλὰ [εἴδη φερομένην] διαφορὰν [καὶ εἴπης λογικότης]. αὕτη γὰρ ἀτόμων κατηγορεῖται, τὸ δὲ [ἀτόμων] κατηγορούμενον [εἶδός] ἐστι. ἀλλὰ μὴν [καὶ ἐν τῷ] ἰδίῳ ἐστὶ γένος καὶ [εἶδος· γένος μέν, ὡς ἵνα εἴπῃς τὸ] ἴδιον τὸ [ἐν πᾶσι τοῖς εἴδεσιν]. ἐν γὰρ καὶ ἕκαστον εἶδος [ἔχει τι ἴδιον· εἶδος δέ, ὡς ἵνα εἴπῃς] τὸ γελαστικόν. ἀτόμων γὰρ κατηγορεῖται τὸ γελαστικόν, [τὸ δὲ ἀτόμων κατηγορεῖσθαι εἴδους ἐστι. πάλιν καὶ ἐν τῷ συμβεβηκότι ἐστὶ γένος καὶ εἶδος]· γένος μέν, ὡς ἵνα εἴποις τὸ σρμβεβηκὸς [τὸ ὂν ἐν] λευκῷ καὶ μέλανι ἐν ἀγνοίᾳ ἐν γνώσει· [τοῦτο γὰρ γένος ἐστὶ τῷ ἐπὶ πολλὰ φέρεσθαι εἴδη]. εἶδος δέ, ὡς [ἵνα εἴπῃς] τὸ θερμόν· ἀτομοῖς γὰρ ἐκεῖνο τὸ συμβεβηκὸς τὸ ἐπὶ πολλὰ φερόμενον, σημαίνει δὲ ἕν τι συμβεβηκός, ὅπερ εἶδός ἐστιν (p. 119,12).

R VATICANUS 1018 [videas Ammonii in librum De interpr. praefationis p. LV] f. 1—36 post titulum περὶ πέντε φωνῶν Davidis commentarium incipiens μέλλοντες σὺν θεῷ ἄρχεσθαι (p. 80,5) exhibet eique f. 36 adiunctam Eliae Categoriarum interpretationem iam pleniore titulo instructam ἐξήγησις σὺν θεῷ τῶν δέκα κατηγοριῶν ἀπὸ φωνῆς δαβὶδ τοῦ θεοφιλεστάτου φιλοσόφου. ex specimine, quod A. Mau nobis comparavit, apparet exemplar codicis cognatum fuisse codici Vaticano 1023 (T) atque illud a librario litterarum imperito sed muneri dedito esse transcriptum.

p. 97,1 τί τε] καὶ τί || 4 τῶν om. || 9 ἐποίει || 10 τῶν om. || 11 διδασκ. om. || 12 καὶ τὰ ἑξ.] καὶ τί ἴδιον καὶ τί συμβεβηκός || 13 τε om. || 15 τρίτον] τέταρτον || 16 καὶ om. || 20 τέθηκε || 22 εἴπ. ἔξωθεν coll. || 25 ἀεὶ καὶ ὡς || 26 καὶ om. || 29 ὁ σωκρ. om. || 30 εἰς πόδας, εἰς χεῖρας καὶ κεφ. || λέγεται || 33 καὶ ἀλκιβ. || διαιροῦνται || **p. 98,2** ὧν om. || καθ' ἑαυτὴν οὖσα om. || 5 καὶ πόδας || 7 ἅμα om. || 11 λέγουσι (alt. l.) || 13 ὂν || κατὰ μέρος] καθόλου || 15 καὶ ὁ ἀλκιβ. om. || 17 ἐν om. || 20. 21 θεωρ. ὁμοίως καὶ ὁμοτίμως || 23 μόνῃ (post κεφ.)

Digitized by Google

om. || 25 τὰ om. || 26 τοίνυν ἔλθ. coll. || 28 οὐσιώδης || 29 ἐπουσιῶδες || p. 99,1 πρωτερ. (constant.) || 2 τιμ.] ἰδιαίτερον || 3. 4 μὲν παρὸν coll. || 5 οὔτε || 11 αὐτῶ || 14 τοῦ (ante εἰδ.) om. || 15 λογικόν || alt. ἐστι om. || 16 πρωτεύει || 18 ἐστι || 20 ἐπουσ. καὶ οὐσ. coll. || 23 ὅτι om. || 24 καὶ (ante ἄνθρ.) om. || 26 οὐ] οὐδὲ || 28 καὶ ἡ παροῦσα ἔχει coll.

T Vaticanus 1023 [vide Eliae libri praef. p. xxx] f. 8v—98v hoc commentarium exaratum praebet. titulus deest; eius loco f. 8v pictus est vir doctus dextra manu librum tenens, sinistram ad tres pueros tendens, qui illustratur nota ὁ φιλόσοφος ἡλίας ἐξηγούμενος τὰς ε' φωνάς. altera imago conspicitur f. 48v ante interpretationem Isagoges (p. 95,1), ipsa quidem evanida, sed ornata his notis ὁ φιλόσοφος πορφύριος, ὁ ὕπατος χρυσαόριος, ὁ δαὶδ θεσσαλονίκης ἐξηγούμενος. titulus, qui in ceteris codicibus hoc loco apparet, desideratur. in marginibus notae nullius pretii raro occurrunt, velut ἀπορία, λύσις. quanta auctoritate codex sit, videas p. vii. contulit A. Mau.

V Vaticanus 1470 [Brandis p. 58] chartaceus tribus manibus sed eodem saeculo exaratus eodemque ex exemplari, ni fallor, derivatus Davidis librum foliis 1—158 exhibet. prima folia tineis peresa ac madore corrupta sunt, ultima omnino interierunt; nam codex iam terminatur verbis ἐν τῇ θεωρίᾳ ἡμῖν δέδεικται (p. 207,36). paulo post opus confectum corrector boni exempli subsidio nisus compluribus locis et corrigendo et addendo menda abstersit. uno loco alterius correctoris vestigium invenitur. de fide codicis vide p. vii. contulit A. Mau.

II DE DAVIDIS [ELIAE] PSEUDEPIGRAPHI IN PORPHYRII ISAGOGEN COMMENTARIO

Tribus codicibus, quantum scio, Monacensi 399 [Hardt IV p. 233], Taurinensi 108 c. IV,28 [Pasinus I p. 214], Parisino 1939 [H. Omont II p. 167] commentarium Isagoges initio mutilum ad nostram aetatem propagatum est, quod incipit a verbis ἐν τῇ προτεραίᾳ δι' ἀριθμητικῆς θεωρίας ὑπεσχόμεθα ἀποδεικνύειν αἰτίαν, δι' ἣν ἓξ εἰσιν οἱ τῆς φιλοσοφίας ὁρισμοί. φέρε δὴ ταύτην διεξέλθωμεν. δεῖ τοίνυν εἰδέναι ὅτι τῶν ἀριθμῶν οἱ μέν εἰσιν ἄρτιοι οἱ δὲ περισσοί (cf. Dav. p. 51,7). titulus in codice Taurinensi saeculo XIV exarato secundum Pasinum est Δαβὶδ θεσσαλονικέως τοῦ φιλοσόφου εἰς τὰ προλεγόμενα τῆς φιλοσοφίας, εἰς τὰς πέντε φωνὰς τοῦ πορφυρίου καὶ εἰς τὰς δέκα κατηγορίας τοῦ ἀριστοτέλους. in codice Monacensi 399, saeculo XVI scripto, quem ipse inspexi, hoc commentarium f. 148r—268r exhibetur. sed f. 148r nihil legitur nisi titulus Δαυὶδ ἐξήγησις εἰς τὸν Πορφύριον καὶ Ἀριστοτέλην, f. 148v scriptura vacat, f. 149r alter titulus cernitur Δαυὶδ τοῦ φιλοσόφου πίναξ ταύτης τῆς βίβλου, f. 149v—161v tabula argumentorum invenitur in omnia quae sequuntur commentaria pertinens, id est in Isagoges interpretationem, in Eliae

Digitized by Google

Categoriarum explanationem, in Sophoniae paraphrasin, incipiens Διὰ τί εἰσιν ἓξ οἱ τῆς φιλοσοφίας ὁρισμοί. denique f. 162r commentarium, de quo agimus, incipit anteposito titulo Δαυὶδ φιλοσόφου ἐξήγησις εἰς τὰ Πορφυρίου καὶ Ἀριστοτέλους συγγράμματα τῆς λογικῆς, terminatur f. 268r verbis εἰσὶ δὲ καὶ ἄλλαι πολλαὶ κοινωνίαι καὶ διαφοραὶ τῶν ε' φωνῶν, ἃς ζητῶν εὑρήσει ὁ ἐπιστήμων. ἐν οἷς σὺν θεῷ ἡ πρᾶξις καὶ ὁ παρὼν λόγος πληροῦται εὐτυχῶς. in codice Parisino 1939, ipso quoque saeculo XVI exarato, de quo me H. Omont, vir illustrissimus, pro sua comitate certiorem fecit, f. 1 titulus apparet Δαυὶδ ἐξήγησις εἰς τὸν Πορφύριον καὶ Ἀριστοτέλην, f. 3—17 tabula argumentorum praefixo titulo Δαυὶδ φιλοσόφου πίναξ incipiens Διὰ τί εἰσιν ἓξ οἱ τῆς φιλοσοφίας ὁρισμοί, f. 18—23 scriptura vacant, f. 24—121v hoc commentarium continetur ornatum titulo Φιλοσοφία. Δαυὶδ τοῦ φιλοσόφου ἐξήγησις πάνυ ὠφέλιμος. Διὰ τί εἰσιν ἓξ οἱ τῆς φιλοσοφίας ὁρισμοί. hos titulos omni fide carere duobus argumentis ostenditur. primum cum principio libri etiam titulum interisse consentaneum est, tum perversitate formae fraus detegitur. nam illi tituli non solum ad Isagogen sed etiam ad Categorias spectant. et sequitur in omnibus codicibus Isagoges explanationem Categoriarum interpretatio. haec titulo caret, sed principio τῶν ἀριστοτελικῶν ἀρχόμενοι λόγων εὐθὺς ἐκ θυρῶν φίλα τῷ ἀριστοτέλει demonstratur id Eliae commentarium esse, quod constat in omnibus codicibus Davidis nomine esse ornatum. unde tuo iure conicias scholiastam ex titulo alterius commentarii novum ad duo commentaria spectantem finxisse atque priori anteposuisse. sed eandem Isagoges expositionem in quibusdam codicibus Eliae adscriptam fuisse comprobatur scholiis ex hoc commentario derivatis atque codice Parisino 1845 et codice Vindobonensi 139 [videas Ammonii in Porph. Isag. praef. p. XXVIII. XXXIX] servatis, quae notis τοῦ ἡλία ornata sunt. Eliae nomen num plus auctoritatis habeat, dubium est, quia intellegi iam non potest, utrum integrum commentarium scholiastis praesto fuerit an mutilatum. eum certe codicem, qui scholiastae codicis Vindobonensis 139 in manibus fuerat, diligentius fuisse exaratum quam quos supra diximus, vel inde apparet, quod capitum numeri, quos scholiastes accurate apposuit, servati erant. sed quicunque hoc commentarium cum Eliae et Davidis libris comparaverit, non dubitabit, quin alterum nomen eadem fide dignum sit qua alterum. nam auctor scitissime amborum libros ad suum usum transtulit ac cum de suo fere nihil proferret, ex pannis inde collectis suum commentarium contexuit. quod ut perspicias, quaedam specimina ex codice Monacensi 399, unde Guilelmus Schmidt Brunsvicensis commentarium transcripsit, atque ex scholiis codicum Vindobonensis 139 et Parisini 1845, quae ipse descripsi vel contuli, ita subiciam, ut leviores maculas tacite abstergam atque Eliae Davidisque locos congruentes in margine significem.

Dav. p. 29,30 Mon. 399 f. 171r ... ὅτι δὲ οὐ λέγει (Πλάτων) μελετᾶν τὸν φυσικὸν θάνατον τὸν φιλόσοφον, δεικνύομεν διὰ τεττάρων ἐπιχειρημάτων. πρῶτον μὲν ὅτι εἰ περὶ τούτου ἔλεγεν, οὐκ ἂν ἐν τῷ αὐτῷ διαλόγῳ ἠναντιοῦτο ἑαυτῷ ὁ Πλάτων· φησὶ γὰρ παρακατιών· 'ὡς ἄρα ἔν τινι φρουρᾷ ἐσμεν οἱ ἄνθρωποι καὶ οὐ δεῖ

Digitized by Google

ἀποδιδράσκειν ἀπ' αὐτῆς, ἀλλ' ἀναμένειν τὸν δήσαντα μέχρις οὗ λύσει τὸν δεσμόν, ὃν ἔδησε', τοῦτ' ἔστιν ὅτι οὐ δεῖ φονεύειν ἑαυτὸν πρὸ τοῦ λῦσαι τὸν δεσμὸν τοῦ σώματος τὸν δήσαντα· παρὰ τοῦτο γὰρ καὶ δέμας τὸ σῶμα παρὰ τοῖς ποιηταῖς Dav. p. 31,13
ὡς δεσμὸς ὢν τῆς ψυχῆς καὶ πάλιν σῶμα ὡς σῆμα καὶ τάφος ὑπάρχον τῆς ψυχῆς. εἰ οὖν τὸν φυσικὸν ἔλεγε μελετᾶν θάνατον, οὐκ ἂν ἠναντιοῦτο ἑαυτῷ ὁ φιλόσοφος. ἐν οἷς τὸ πρῶτον ἐπιχείρημα. δεύτερον ὅτι οὐ δεῖ ἐξάγειν ἑαυτὸν τὸν φιλόσοφον, εἰ ὡμοίωται τῷ θεῷ· τοῦτο γὰρ πράττων οὐ μόνον ὅμοιος οὐκ ἔσται τῷ θεῷ, ἀλλὰ καὶ ἐναντίος, εἴ γε προεξανίσταται καὶ λύειν ἐπιχειρεῖ τὸν δεσμὸν πρινὴ κελεῦσαι τὸν δήσαντα· τοῦτο γὰρ τυραννίδος ἴδιόν ἐστι καὶ οὐχ ὁμοιώσεως θεοῦ. τοῦτο καὶ τὸ δεύτερον. τρίτον ἐστὶ τὸ τοῦ Πλωτίνου· αὐτὸς El. p. 15,23
γάρ φησιν ἐν ταῖς Ἐννεάσιν, ὅτι οὐ δεῖ ἐξάγειν ἑαυτὸν τὸν φιλόσοφον, εἴ γε ὡμοίωται θεῷ· ὁ γὰρ θεὸς ἀγαθὸς ὢν πᾶσιν ἴσως ἐπιβλέπει καὶ πᾶσιν ἴσως ἐπιχορηγεῖ τὴν ἀγαθότητα τοῖς τε πρώτοις καὶ τοῖς δευτέροις. ταῦτα δὲ ὡς ἔχουσιν ἐπιτηδειότητα καὶ ἀγαθότητα καὶ ἀνεπιτηδειότητα, τὸ ἡλιακὸν φῶς αὐτοῖς χορηγεῖται. καὶ γὰρ καὶ αἱ νυκτερίδες σκοτεινὸν τοῦτο καὶ ἀφώτιστον ἔχουσι τῇ El. p. 15,28
ἀνεπιτηδειότητι τῆς ὄψεως. εἰ οὖν ὡμοίωται τῷ θεῷ ὁ φιλόσοφος, οὐ καταφρονεῖ τῶν δευτέρων. φιλόσοφος δέ ἐστιν ἡ ψυχή, δεύτερον καὶ χεῖρον τὸ σῶμα. ⟨οὐκ ἄρα τὴν ψυχὴν⟩ δεῖ ἐξάγειν ἑαυτὴν καταλιποῦσαν τὸ σῶμα, ἀλλ' ἀναμένειν τὸν δήσαντα. οὕτω γε καὶ τὸ τρίτον. τέταρτον ἐπιχείρημα Πρόκλου τοῦ ὑπο- El. et Dav. om.
μνηματίσαντος Πλωτῖνον· οὗτος γάρ φησιν ὁ Πρόκλος, ὅτι ἡ ἀρετὴ αὐτάρκης ἐστὶ πρὸς εὐδαιμονίαν, ἡ δὲ εὐδαιμονία οὐκ ἀποφεύγει τὰ δεινά, ἀλλὰ τούτοις ἐγκαρτερεῖ. καὶ ἡ φιλοσοφία δὲ χῶρος (χορὸς cod.) οὖσα τῶν ἀρετῶν εὐδαιμονίαν ἔχει· δηλονότι ἐγκαρτερεῖ τοῖς δεινοῖς καὶ αὕτη τούτων οὐκ ἀποδιδράσκει. ὅτι δὲ τοῦτο ἀληθές, δῆλον· καὶ γὰρ Πλωτῖνος ὁ φιλόσοφος ἐρωτηθείς, εἰ ἄρα Dav. p. 30,31
εὐδαίμων ἐστὶν ὁ ἀνὴρ ὁ ζῶν ἐναρέτως μὲν Πριαμικαῖς δὲ τύχαις περιπεσὼν καὶ Ἰλιάδι περιβεβλημένος κακῶν καὶ μετὰ θάνατον ἐρριμμένος ἄταφος ἐπὶ τῆς γῆς, οὐδὲν ἕτερον ἀπεκρίνατο, εἰ μὴ ὅτι 'ἄπαγε τῆς μικρολογίας' (τοῖς μικρολόγοις cod.), τοῦτ' ἐστιν ὅτι ταῦτα πάντα τό τε σῶμα καὶ τὰ περὶ τὸ σῶμα [περὶ τὰ ὄντα] οὐδὲν συμβάλλονται τῇ ἀρετῇ τῆς ψυχῆς. ἰστέον δὲ ὅτι οἱ φιλόσοφοι τρία τινὰ λέγουσι· ἐγώ, τὸ ἐμόν, τὰ τοῦ ἐμοῦ· ἐγὼ μὲν τὴν ψυχήν, ἐμὸν δὲ τὸ σῶμα, Dav. p. 41,6 El. p. 22,35
τὰ τοῦ ἐμοῦ δὲ πάντα τὰ ἐκτὸς τὰ περὶ τὸν ἄνθρωπον· καὶ γὰρ Σωκράτης ὁ Ἀθηναῖος ἔφασκεν· 'ἐμὲ ἄνθρωπος ἀποκτεῖναι μὲν δύναται, βλάψαι δέ με οὐ δύναται', τοῦτ' ἔστι τὴν ψυχήν μου οὐκ ἀδικεῖ ὡς ἀσώματον, τὸ δὲ σῶμα φονεύει ὡς φθαρτόν. καὶ πάλιν ὁ Ἀνάξαρχος τυπτόμενος ἔφασκεν· 'πτίσσε τοῦ Ἀναξάρχου El. p. 22,25
θύλακον, οὐ γάρ ποτε πτίσσεις Ἀνάξαρχον', θύλακον καλέσας τὸ σῶμα. καὶ πάλιν ὁ Ἀμφίμαχος φονευόμενος ἔλεγε

αὐτόν μ' ἐξεσάωσα (ἐγώ με ἔξεσα cod.)· τί (οὔτι cod.) μοι μέλει ἀσπὶς ἐκείνη;
ἐρρέτω.

Mon. f. 189r inf. . . . εἴπωμεν λοιπὸν καὶ τοὺς κατὰ μέρος εὑρετὰς αὐτῶν El. et Dav. om.
(τῶν ἐπιστημῶν) τοὺς ἀριστεύσαντας ἐν αὐταῖς· τῆς μέν τοι ἀριθμητικῆς προέστη ὁ Νικόμαχος, τῆς δὲ λογικῆς ὁ Διόφαντος, πάλιν τῆς μουσικῆς προέστησαν οἱ Πυθαγόρειοι, τῆς δὲ γεωδαισίας Ἥρων, τῆς δὲ ἀστρονομίας Παῦλος καὶ τῆς σφαιρικῆς ὁ Θεοδόσιος.

Mon. f. 193r Ἐπειδὴ δευτέρως ἡμῖν ὑπάρχει εἰς ζήτησιν τὸ πρακτικὸν τῆς

Digitized by Google

φιλοσοφίας, μὴ τοῦτο περιφρονήσαντες καταλίπωμεν· πρῶτον γὰρ καὶ ἀναγκαῖόν
ἐστιν, εἴ γε κατὰ τὸν Πλάτωνα οὐκ ἔστιν ἐκεῖνος φιλόσοφος ὁ ὁρμαθοὺς ἐπισυ-
Dav. p. 5,22 ρόμενος θεωρημάτων, ἀλλ' ὁ ἀκηλίδωτον καὶ ἀρρύπωτον τὴν ζωὴν διαφυλάττων, κἂν
El. p. 118,6 μήτε γράμματα μήτε νεῖν ἐπίστηται. δεῖ δὲ εἰδέναι ὅτι οἱ τῶν Ἀθηναίων λογάδες
ἐδίδασκον τοὺς ἑαυτῶν παῖδας γράμματα, καὶ νήχεσθαι δὲ διὰ τὰς ναυμαχίας·
Dav. p. 74,11 El. p. 32,31 συνεχῶς γὰρ ἐπολέμουν οἱ Ἀθηναῖοι. διαιρεῖται τοίνυν τὸ πρακτικὸν τῆς φιλο-
σοφίας κατὰ μὲν τὸν Ἀριστοτέλην εἰς τρία, κατὰ Πλάτωνα δὲ εἰς δύο· φασὶ
γὰρ οἱ Ἀριστοτελικοὶ ὅτι τὸ πρακτικὸν διεῖλεν ὁ Ἀριστοτέλης εἰς ἠθικὸν οἰκο-
νομικὸν πολιτικόν. καὶ ὅτι τοῦτο ἀληθές, φασὶν ὅτι ἰσάριθμοι πραγματεῖαι ἐγρά-
φησαν τῷ Ἀριστοτέλει· ἔγραψε γὰρ ἠθικὰ Νικομάχεια μεγάλα καὶ μικρά. δεῖ
γὰρ εἰδέναι ὅτι Ἀριστοτέλης ἔσχε καὶ πατέρα Νικόμαχον καὶ υἱὸν Νικόμαχον,
καὶ ἔγραψε πρὸς ἑκατέρους ἠθικὰς πραγματείας, καὶ ἐπέγραψε ⟨τὸ μὲν πρὸς⟩ τὸν
πατέρα Μεγάλα Νικομάχεια, τὸ δὲ πρὸς τὸν υἱὸν Μικρά. ἔγραψε δὲ καὶ οἰκο-
νομικὰ ὁ Ἀριστοτέλης, ἐν οἷς διαλέγεται ὅτι πῶς ὀφείλει εὖ οἰκονομεῖσθαι ὁ
οἶκος, ἐν οἷς καί φησιν ὅτι χρὴ συντρέχειν ἐπὶ τοῦ οἴκου ταῦτα πάντα· σχέσιν
γυναικὸς πρὸς ἄνδρα, στοργὴν γονέων πρὸς τέκνα, δέος οἰκετῶν πρὸς δεσπότας
καὶ ἵνα ἴσα ὦσι τὰ εἰσερχόμενα * * πλείω εἰσὶ τῶν ἐξερχομένων, ἄσωτός ἐστιν.
γέγραπται δὲ αὐτῷ καὶ πολιτικὰ ὁμοίως τῷ Πλάτωνι, ἐν οἷς διαλέγεται πῶς νῦν
χρὴ κατὰ τὴν ἀρίστην πολιτεύεσθαι πολιτείαν· ἔγραψε γὰρ καὶ ἑκάτερος καὶ
Πολιτικὸν καὶ Πολιτείαν, καὶ ἐν μὲν τῷ Πολιτικῷ τὸν αὐτὸν ἔχουσι σκοπόν, ἐν
δὲ δὲ τῇ Πολιτείᾳ διαφωνοῦσιν· ὁ μὲν γὰρ Ἀριστοτέλης συνὼν καὶ Ἀλεξάνδρῳ
τῷ κτίστῃ πολιτείας λέγεται μετ' αὐτοῦ περιελθεῖν, ὧν ἀνεγράφετο τὸν βίον κατὰ
στοιχεῖον, ὅτι τυχὸν μὲν Ἀλεξανδρεῖς τοιῶσδε πολιτεύονται καὶ Ἀθηναῖοι τοιῶσδε
καὶ Βιθυνοὶ καθεξῆς κατὰ τὴν τάξιν τῶν στοιχείων. οὕτως οὖν καὶ τὰς πολι-
τείας τέθεικεν. ὁ δὲ Πλάτων ἔγραψε Πολιτείαν, ἐν ᾗ διαλέγεται πῶς χρὴ κρα-
El. et Dav. om. τεῖν καὶ τάττειν πολιτείαν· ἰστέον γὰρ ὅτι πέντε εἰσὶν εἴδη ἀρχῶν· δημοκρατία,
ὀλιγαρχία, ἀριστοκρατία, μοναρχία, καὶ αὕτη διττή· καὶ γὰρ ἢ ἐννόμως κρατεῖ
καὶ ποιεῖ τὴν βασιλείαν ἢ παρανόμως καὶ ποιεῖ τὴν τυραννίδα. καί φησιν ὅτι
δημοκρατία ἐστὶν ὡς ὅταν ὁ δῆμος κρατῇ, ὀλιγαρχία δὲ ὅταν ὀλίγοι καὶ πλούσιοι
κρατῶσιν, εἰ καὶ ἄλογοί εἰσιν, ἀριστοκρατία δὲ ὅταν οἱ ἄριστοι τῶν ἀρχόντων
εὐλόγως κρατῶσιν, καί φησιν αὐτὸς ὅτι χρὴ ἢ κατὰ ἀριστοκρατίαν πολιτεύεσθαι
ἢ κατὰ ἔννομον μοναρχίαν. καὶ οὕτω μὲν τὴν διαίρεσιν τοῦ πρακτικοῦ τῆς φιλο-
σοφίας εἰς τρία πιστοῦνται εἶναι οἱ Ἀριστοτελικοί. ἐπιλαμβάνονται δὲ ταύτης
Dav. p. 75,32 πολλαχῶς οἱ Πλατωνικοί. πρῶτον μὲν ὅτι ἀπὸ γενῶν εἰς εἴδη διαίρεσις οὐδέ-
ποτε εἰς τρία γίνεται, καὶ διὰ τί πολλάκις εἴρηται. . . . . οὕτως ἐπιλαβόμενοι
τῶν Ἀριστοτελικῶν οἱ Πλατωνικοὶ ἑτέραν ἐκτίθενται διαίρεσιν τοῦ πρακτικοῦ τῆς
φιλοσοφίας. φασὶ γὰρ ὅτι διαιρεῖται τοῦτο εἰς δύο, εἰς νομοθετικὸν καὶ δικαστι-
κόν· ὁ γὰρ πρακτικὸς φιλόσοφος ἢ νόμους ἐκτίθεται καὶ λέγεται νομοθετικὸς ἢ
δικάζει καὶ λέγεται δικαστικός· τοῦτο γὰρ δῆλόν φασιν, ὅτι καὶ ὁ ποιητὴς παράγει
Dav. p. 76,10 τὸν Μίνωνα καὶ τὸν Ῥαδάμανθυν· φησὶ γὰρ ὅτι ὁ μὲν νόμους ἐξετίθετο ὁ δὲ
Ῥαδάμανθυς ἐδίκαζε. καὶ ὡς ἐκεῖνοι ἐκ μιᾶς ῥίζης προελθόντες (υἱοὶ γὰρ ἦσαν
τοῦ Διός, ὡς αὐτῷ δηλοῦται), οὕτω καὶ αὐτὰ τὰ ἔργα, τό τε νομοθετικόν φημι
καὶ τὸ δικαστικόν, ἐκ μιᾶς ῥίζης τοῦ πρακτικοῦ τῆς φιλοσοφίας προεληλύθασι.
φασὶ δὲ ὅτι τὰ διαιρεθέντα Ἀριστοτελικὰ τό τε ἠθικὸν τό τε οἰκονομικὸν καὶ

Digitized by Google

πολιτικὸν ὡς ὕλη ὑπόκειται τοῖς νῦν λεχθεῖσιν· ἢ γὰρ ἑαυτῷ νομοθετεῖ τις ἢ οἴκῳ ἢ πόλει καὶ ἢ ἑαυτῷ δικάζει ἢ οἴκῳ ἢ πόλει· καὶ γὰρ νομοθετεῖ μὲν ἑαυτῷ ἐν τῷ λέγειν

κρατεῖν δ' εἰθίζεο τῶνδε· El. p. 34,11
γαστρὸς μὲν πρώτιστα καὶ ὕπνου λαγνείης τε
καὶ θυμοῦ. πράξῃς δὲ κακόν ⟨ποτε⟩ μήτε μετ' ἄλλου
μήτ' ἰδίᾳ· πάντων δὲ μάλιστ' αἰσχύνεο σαυτόν.
εἶτα δικαιοσύνην ἄσκει ἔργῳ τε λόγῳ τε.

καὶ πάλιν

μηδ' ὕπνον μαλακοῖσιν ἐπὶ βλεφάροισι θέσθαι,
πρὶν τῶν ἡμερινῶν ἔργων τρὶς ἕκαστον ἐπελθεῖν·
πῇ παρέβην; τί δ' ἔρεξα; τί μοι δέον οὐκ ἐτελέσθη;

οὕτω μὲν νομοθετῶν ἑαυτῷ ὁ φιλόσοφος νομοθετεῖ καὶ οἴκῳ, νομοθετήσει καὶ πόλει. ἀλλὰ καὶ δικάζει ἑαυτῷ· καὶ γάρ φασιν ὅτι ὁ Θεμίστιος φιλόσοφος ὢν El. et Dav. om. γέγονε προτραπεὶς ἐκ βασιλέως ὕπαρχος πραιτωρίων καὶ ἀναβὰς ἐπὶ τοῦ ὀχήματος τοῦ ἀρχοντικοῦ κατὰ τὸ ἦθος εἶπεν ἑαυτῷ δικάζων οὕτως (cf. Anth. Pal. XI, 292)

ἄντυγος αἰθερίης ὑπερηρμένος εἰς πόθον ἦλθες
ἄντυγος ἀργυρέης· αἶσχος ἀπειρέσιον.
ἦσθα κάτω κρείσσων· ἀναβὰς ἐγένου μέγα χείρων.
δεῦρ' ἀνάβηθι κάτω· νῦν γὰρ ἄνω κατέβης.

καὶ οὕτω φασὶ δικάζων ἑαυτῷ ὁ φιλόσοφος δικάσει καὶ οἴκῳ, δικάσει δὲ καὶ πόλει.

Mon. f. 197r Ἐπειδὴ τὰ προτέλεια τῆς φιλοσοφίας ἱκανῶς ἡμῖν διεξή- Dav. p. 80,5 τασται, ἵνα μὴ τὰ προοίμια μείζω τῶν ἀγώνων ποιήσωμεν, φέρε θεὸν προστησάμενοι σύμμαχον εἴπωμεν καὶ τὰ προτέλεια τῆς παρούσης πραγματείας, φημὶ δὲ τὰ πολυθρύλλητα η' κεφάλαια, τὸν σκοπὸν τοῦ παρόντος βιβλίου, τὸ χρήσιμον αὐτοῦ καὶ τὰ λοιπά. κεφάλαια δὲ λέγονται παρὰ τὸ τὸ κῦρος ἐν ἑαυτοῖς ἔχειν· ὥσπερ γὰρ ἡ κεφαλὴ πάσας τὰς αἰσθήσεις ἐν ἑαυτῇ ἔχει καὶ τὴν τούτων βασιλίδα, φημὶ τὴν ὄψιν, οὕτω καὶ ταῦτα ἐν βραχέσι λόγοις τὴν τοῦ ζητουμένου ὁλότητα περισώσει. καὶ ἵνα μὴ νομίσωμεν μάτην τοὺς παλαιοὺς δέχεσθαι ταῦτα ζητεῖσθαι, εἴπωμον δι' ἣν αἰτίαν ἕκαστον τούτων ζητοῦμεν.

Mon. f. 205r Μετὰ τὸ διττὸν προοίμιον τῆς τε φιλοσοφίας καὶ τοῦ παρόντος Dav. p. 95,5 βιβλίου, φέρε δὴ ἵνα τὰ προοίμια μὴ μείζονα τῶν ἀγώνων ποιώμεθα, θεὸν ὁδηγὸν ἔχοντες καὶ τῆς λέξεως ἀπαρξώμεθα. δεῖ τοίνυν εἰδέναι ὅτι ἐν προοιμίοις ὁ Πορφύριος ἐκ τῶν ῥηθέντων κεφαλαίων τριῶν τινων μέμνηται, τοῦ σκοποῦ φημι καὶ τοῦ χρησίμου καὶ τοῦ διδασκαλικοῦ τρόπου, ἤγουν τοῦ χαρακτῆρος.

Mon. f. 212v schol. Paris. 1845 f. 1v post notam τοῦ ἡλία inc. αἱ φωναὶ ἄρα πρὸ τῶν πολλῶν.

Εἶτα μετὰ ταῦτα διαδέχεται ἡμᾶς ἡ ἑτέρα ζήτησις ἡ λέγουσα ὅτι ἄρα αὗται Dav. p. 113.14 αἱ φωναὶ πρὸ τῶν πολλῶν εἰσιν ἢ ἐν τοῖς πολλοῖς ἢ ἐπὶ τοῖς πολλοῖς (ἢ ἐπὶ τοῖς πολλ. om. Mon.) καὶ ὑστερογενέσι. θαυμαστὸν δέ τι ἔχει ἡ παροῦσα ζήτησις· τῶν γὰρ εἰρημένων δύο τὸ ἀληθινὸν ἐχόντων καὶ τὸ ἕτερον ψευδές, ἡ παροῦσα ζήτησις τὰ τρία ἀληθινὰ ἔχει. ἀλλ' ἵνα ταύτην σαφῆ ἀποδείξωμεν οὖσαν, τοιούτῳ παραδείγματι χρησώμεθα (θαυμ.—χρησώμεθα] καὶ λέγομεν ὅτι καὶ πρὸ τῶν πολλῶν καὶ ἐν τοῖς πολλοῖς καὶ ὑστερογενέσι. χρησόμεθα δὲ πρὸς σαφήνειαν παραδείγματι τοιούτῳ schol. Paris.). ὑποκείσθω οὖν ἡμῖν δακτύλιός El. p. 48,18

Digitized by Google

τις ἔχων σφενδόνην, ἐν ᾗ περιγέγραπται ἐκτύπωμα ἀριστέως τινός, οἷον Ἀχιλλέως ἢ Ἕκτορος. τοῦτο δὲ ἀποματτέσθω ἐν διαφόροις κηροῖς καὶ θεωρείτω τις τούτους, καὶ ἀπίτω ἔχων ἐν τῇ φαντασίᾳ αὐτοῦ κτλ.

Mon. f. 223ᵛ schol. Vind. 139 f. 13ᵛ apposita nota ἐκ τῆς πράξεως τῆς λγ' τοῦ ἡλία.

El. p. 61,22 Ἐπειδὴ τρεῖς ὑπογραφὰς τοῦ εἴδους παρέδωκεν ὁ Πορφύριος, ὧν αἱ μὲν δύο αἱ πρῶται ἥρμοζον καὶ τῷ εἰδικωτάτῳ εἴδει καὶ τοῖς ὑπαλλήλοις, ἡ δὲ τρίτη καὶ τελευταία (τελευτέως Mon.) ἥρμοζε μόνῳ τῷ εἰδικωτάτῳ εἴδει, βούλεται (συμβουλεύεται Vind.) εἰπεῖν τούτων τὰς διαφοράς, ἃς ἔχουσι πρὸς ἀλλήλας. καὶ τῶν μὲν πρώτων δύο νῦν λέγει τὴν διαφοράν· εἶπε γὰρ ἀνωτέρω λέγων ὅτι ἐπειδὴ τὸ γένος καὶ τὸ εἶδος τῶν πρός τί εἰσι καὶ ἐπειδὴ τὰ πρός τι δι' ἀλλήλων δείκνυνται (δείκνυται Vind.)· γένος γὰρ εἴδους ἐστὶ καὶ εἶδος γένους· καὶ (καὶ om. Vind.) ἕν τι δοκοῦσι περιέχειν αὗται αἱ πρῶται ὑπογραφαί, διαφέρουσι δὲ τῇ σχέσει· ἡ μὲν γὰρ ἀναβάσει ἔοικεν, ἡ δὲ καταβάσει, ὡς ἀνωτέρω εἴρηται.

Mon. f. 231ᵛ schol. Vind. 139 f. 17ʳ nota apposita πρᾶξις λε' τοῦ ἡλία.

El. p. 72,1 Dav. p. 159,26 Ἔτι δὲ διὰ τῶν παρόντων παραδίδωσιν ἡμῖν ὁ Πορφύριος τὴν διαφορὰν τοῦ γενικωτάτου καὶ τοῦ (τοῦ om. Mon.) εἰδικωτάτου πρὸς τὰ ὑπάλληλα. ἰστέον δὲ (δὲ om. Vind.) ὅτι δύο τινῶν ὄντων, φύσεως τε καὶ γνώσεως, καὶ τούτων πλεονεκτούντων ἄλληλα· ἡ μὲν γὰρ (γὰρ om. Mon.) φύσις παράγει μὲν οὐ γινώσκει δέ· ἀνάγκη γὰρ τὰ πράγματα ἢ κατ' ἄμφω ὡρισμένα εἶναι ἢ κατ' ἄμφω ἀόριστα ἢ κατὰ τὶ μὲν ὁριστὰ κατὰ τὶ δὲ ἀόριστα, καὶ τοῦτο διχῶς· ἢ γὰρ τῇ μὲν φύσει ὥρισται τῇ δὲ γνώσει ἀοριστά (ἀόριστόν Vind.) ἐστιν, ἢ τὸ ἀνάπαλιν τῇ μὲν γνώσει ὡρισμένα (ὡρισμένον Vind.) ἐστὶ τῇ δὲ φύσει ἀόριστα (ἀόριστον Vind.), ὅπερ οὐδὲ συνίσταται, ἀλλὰ διὰ τὸ τέλειον τῆς διαιρέσεως λέγεται. ὅτι δὲ οὐ δυνατὸν τῇ μὲν γνώσει ὡρισμένον τι εἶναι τῇ δὲ φύσει ἀόριστον, δῆλον ἐντεῦθεν κτλ.

Digitized by Google

DAVIDIS
PROLEGOMENA
ET IN PORPHYRII ISAGOGEN
COMMENTARIUM

Digitized by Google

SIGLA

K = Marcianus 599
T = Vaticanus 1023
V = Vaticanus 1470
c = Crameri editio

Digitized by Google

ΤΑ ΠΡΟΛΕΓΟΜΕΝΑ ΤΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΑΠΟ ΦΩΝΗΣ ΔΑΒΙΔ ΤΟΥ ΘΕΟΦΙΛΕΣΤΑΤΟΥ ΚΑΙ ΘΕΟΦΡΟΝΟΣ ΦΙΛΟΣΟΦΟΥ.

K. f. 127r

⟨Πρᾶξις α'⟩.

Οἱ τῶν τῆς φιλοσοφίας λόγων ἐρῶντες καὶ τῆς ἐκ τούτων ἡδονῆς ἄκρῳ δακτύλῳ γευσάμενοι, πάσῃ τῇ τοῦ βίου φροντίδι χαίρειν εἰπόντες, σώφρονί τινι μανίᾳ πρὸς τούτους ἐλαυνόμενοι φαίνονται καὶ τῇ τῶν ὄντων ἐπιστήμῃ συντόμως αὐτῶν ψυχαγωγοῦσι τὸν ἔρωτα· ἐπιστήμη δὲ τῶν ὄντων ἐστὶν ἡ φιλοσοφία, ὡς σὺν θεῷ μαθησόμεθα. ἐπεὶ τοίνυν καὶ ἡμᾶς σοφὸς ἔρως καὶ πολλὴ προθυμία εἰς τοῦτον διήλασε τὸν ἀγῶνα, φέρε τὸν τῆς φιλοσοφίας θεῖον ἀγῶνα ὑποδυσώμεθα, μὴ τὸ παρὸν δυσχερὲς ἐπιλογιζόμενοι, ἀλλὰ πρὸς τὸ πέρας τῆς θείας ἐπαγγελίας αὐτῆς ἀποβλέποντες πάντα μόχθον ἐλάττονα καὶ δεύτερον αὐτῆς ἡγησώμεθα.

Δοκεῖ δέ μοι μικρὸν ἀναβάλλεσθαι τὴν ἐγκύκλιον ἐξήγησιν Ἀριστοτελικοῖς πειθομένῳ θεσμοῖς, ὡς δεῖ ἐν ἑκάστῳ σχεδὸν πράγματι τὰ τέσσαρα ταῦτα ζητεῖν κεφάλαια· εἰ ἔστι, τί ἐστι, ὁποῖόν τί ἐστι καὶ διὰ τί ἐστι. καὶ εἰκότως τὰ τέσσαρα ταῦτα ζητοῦμεν· τῶν γὰρ πραγμάτων τὰ μὲν ἀνύπαρκτά ἐστιν, ὡς τραγέλαφος, σκινδαψός, βλίτυρι καὶ τὰ λοιπά, ὅσα ἡ ἡμετέρα διάνοια διαπλάττεται, τὰ δὲ ὕπαρξιν ἔχει. καὶ τούτων αὖθις τῶν ὕπαρξιν ἐχόντων τὰ μὲν ἀμφιβαλλομένην ἔχει τὴν ὕπαρξιν, ὡς ἄναστρος σφαῖρα ἢ ὡς ἀντίποδες (ταῦτα γὰρ ἀμφιβάλλονται εἴτε εἰσὶν εἴτε οὔ), τὰ δὲ οὐκ ἀμφιβαλλομένην ἀλλ' ὁμολογουμένην, ὥσπερ ἄνθρωπος ἢ βοῦς. καὶ ἐπὶ μὲν

1. 2 Inscripsi ex V: Προλεγόμενα τῶν πέντε φωνῶν τῆς φιλοσοφίας ἀπὸ φωνῆς τοῦ θεοφιλεστάτου φιλοσόφου κυρίου δᾶδ K: om. T 3 Πρᾶξις α' addidi (cf. p. 2,30) 4 τῶν τῆς (ante φιλ.) om. V 6 φαίνονται] φέρονται V 7 αὐτῶν (sc. λόγων)] αὐτῶν Brand. 8 ἡμᾶς post ἔρως (9) colloc. KT 9 καὶ πολλὴ προθυμία post ἀγῶνα colloc. T εἰς] ἐπὶ V διήλαυνε V 9. 10 φέρε—ἀγῶνα] φέρε δὴ (δὲ T) φέρε λοιπὸν τοῦτον KT 10 ἀποδυσώμεθα V¹ 11 ἐπαγγελίας αὐτῆς] αὐγῆς V 13 ἀναβαλέσθαι K 13. 14 Ἀριστοτ. πειθ. θεσμοῖς] cf. Anal. post. B 1 p. 89ᵇ23 17 εἰσιν V ἢ σκινδ. V καὶ τὰ λοιπά suppl. V² διάνοια] ἔννοια V 18 καὶ τούτων suppl. V² 19 ἡ ἄναστρος V 20. 21 οὐκ ἀμφιβ. ἀλλ' om. V 21 ὡμολογημένην K: ὡμολογουμένην T¹: ὁμολογουμένην T²

Digitized by Google

τῶν ὕπαρξιν ἐχόντων ἀμφιβαλλομένην δὲ ζητοῦμεν τὸ εἰ ἔστιν, ἐπὶ δὲ τῶν ὁμολογουμένην ἐχόντων τὴν ὕπαρξιν ζητοῦμεν τὸ τί ἐστι. τὸ δὲ τί ἐστιν ἢ δι' ὀνόματος ἢ δι' ὁρισμοῦ γινώσκεται, δι' ὀνόματος μέν, ὅταν βλέπωμέν τι καὶ ἐρωτῶμεν τί ἐστι, καὶ λέγωμεν ὅτι 'ἄνθρωπος', δι' ὁρισμοῦ δέ, ὅταν λέγωμεν 'ζῷον λογικὸν θνητὸν νοῦ καὶ ἐπιστήμης δεκτικόν'. εἶτα δὲ ἐπειδὴ τὰ πράγματα οὐ μόνον κοινωνοῦσιν ἀλλὰ καὶ διαφέρουσιν (καὶ γὰρ τὰ ζῷα οὐ μόνον κοινωνοῦσι κατὰ τὸ γένος καθὸ ζῷα, ἀλλὰ καὶ διαφέρουσι, καθὸ τὰ μὲν λογικὰ τὰ δὲ ἄλογα), διὰ τοῦτο ζητοῦμεν τὸ ὁποῖόν | τί ἐστιν, ἵνα γνῶμεν τὰς διαφοράς· καὶ γὰρ τῷ ὅρῳ συναναφαίνονται αἱ 127v διαφοραί. [ἰστέον δὲ ὅτι ἡνίκα τὸ τί ἐστι δι' ὀνόματος ἐκφέρεται, τότε δεῖ ζητεῖν τὸ ὁποῖόν τί ἐστιν, ἡνίκα δὲ δι' ὅρου γινώσκεται, τότε οὐ δεῖ ζητεῖν ὁποῖόν τί ἐστιν, ἀλλὰ τὸ διὰ τί ἐστιν.] ἐπειδὴ δὲ πάντα πρός τι τέλος ὁρῶσι καὶ οὐδὲν μάτην οὔτε ὁ δημιουργὸς οὔτε ἡ φύσις οὔτε ἡ τέχνη ἐπενόησεν, τούτου χάριν ζητοῦμεν τὸ διὰ τί ἐστιν· οἷον διὰ τί ἐστι κλίνη; διὰ τὴν τῶν ἀνθρώπων ἀνάπαυσιν. καὶ πάλιν διὰ τί ἐστιν ἄνθρωπος; διὰ τὸ κοσμῆσαι τόδε τὸ πᾶν· καὶ γὰρ τὸ πᾶν ἀτελὲς ἦν, εἰ μὴ ἦν τὸ ἀνθρώπειον γένος, ὡς δηλοῖ καὶ ὁ Πλάτων ἐν τῷ Τιμαίῳ· ποιεῖ γὰρ τὸν δημιουγρὸν λέγοντα μετὰ τὴν ποίησιν οὐρανοῦ καὶ γῆς 'ἔτι λείπεται τρία γένη ἡμῖν θνητὰ καὶ ἀγέννητα, ὧν μήπω γενομένων ὁ οὐρανός, φησίν, ἐστὶν ἀτελής'. οὐρανὸν δὲ ἐκάλεσε τὸν κόσμον ἐκ τοῦ περιέχοντος ὀνομάσας τὸ περιεχόμενον.

Ἐπεὶ τοίνυν ἡ φιλοσοφία ἐστὶν ἡμῖν τὸ προκείμενον, τὸ κάλλιστόν τε καὶ τιμιώτατον τῶν ἐν ἀνθρώποις πράξεων, ἥτις παρ' ἡμῖν μὲν οὐκ ἀμφιβάλλεται, παρὰ δέ τισιν ἀμφιβάλλεται τυφλοῖς ἐοικόσι περὶ χρωμάτων συλλογιζομένοις, οὓς ὁ Σταγειρίτης φησίν (οἱ γὰρ ἐκ γενετῆς τυφλοὶ οὐ δύνανται περὶ χρωμάτων συλλογίσασθαι· οὐ γὰρ ἴσασι τί ἐστι χρῶμα), φέρε τοὺς τούτων λόγους εἰς μέσον ἐκθώμεθα καὶ τὴν τούτων ἀνατροπὴν ὡς οἷόν τέ ἐστι ποιησώμεθα σαφῶς ἐλέγχοντες τὴν τούτων ἄνοιαν. τίνες δὲ εἰσιν οἱ τούτων λόγοι, ἐν τῇ ἐφεξῆς θεωρίᾳ μαθησόμεθα.

Πρᾶξις β'.

Καθάπερ ἐν τῇ προτέρᾳ θεωρίᾳ ὑπεσχόμεθα, ἔλθωμεν καὶ τοὺς λόγους τῶν βουλομένων ἀνελεῖν τὴν ὕπαρξιν τῆς φιλοσοφίας ἐκθώμεθα καὶ τούτων

---

2 τὴν om. V ante τὸ δὲ add. ἐπειδὴ δὲ (sic) V 3 βλέποντές V 4 καὶ ἐρ.] λέγωμεν V λέγομεν TV 5. 6 εἶτα δὲ ἐπειδὴ] εἶτα ἐπειδὴ δὲ K: εἶτα ἐπειδὴ T: εἶτα δὲ V 6 ante τὰ πράγμ. add. καὶ V κοινων. ἀλλήλοις T 10 ἰστέον—ἀλλὰ τὸ διὰ τί ἐστιν (12) delevi ἐκφέρηται V 13 ἡ (ante τέχνη) om. V 16 τὸ (ante pr. πᾶν) om. V 17 ἐν τῷ Τιμαίῳ] p. 41 B 22 ἡ om. KT τῶν προκειμένων ἡμῖν V τε om. V 24 ἀμφιβάλλεται (alt.) om. V 25 συλλογίσασθαι K ὁ Σταγειρίτης] Phys. B 1 p. 193a7 γεννητῆς KTV 27 τοὺς τούτων λόγους] τοῦ βίου τοὺς λόγους V 28. p. 3,1 ποιησόμεθα V ἄνοιαν] μανίαν V δὲ om. V 29 ἑξῆς T 30 Πρᾶξις σὺν θεῷ β' KV: om. T 32 προανελεῖν V[1]

Digitized by Google

τὴν ἀνατροπὴν ὡς οἷόν τέ ἐστι ποιησώμεθα. πρῶτον μὲν ἐπιχείρημα τῶν ἀνατρεπόντων τὴν φιλοσοφίαν ἐστὶ τοῦτο· τὸ ὂν τῶν ὁμωνύμων ἐστίν, τὰ ὁμώνυμα ὅρῳ οὐ καθυποβάλλονται, τὰ ὅρῳ μὴ καθυποβαλλόμενα γνώσει οὐχ ὑποπίπτουσι, τὸ ὂν ἄρα ἄγνωστόν ἐστιν. εἰ δὲ ἡ φιλοσοφία γνῶσις τῶν
5 ὄντων ἐστί, δῆλον ὅτι ἄγνωστός ἐστιν, εἴ γε τὸ ὂν ἄγνωστόν ἐστι. πρὸς τοῦτο τὸ ἐπιχείρημα διττῶς ὑπαντῶμεν τῇ τε ἐνστάσει κεχρημένοι καὶ τῇ ἀντιπαραστάσει. ἰστέον δὲ ὅτι ἐνστάσεως μὲν ἔργον ἐστὶ τὸ ἐκ βαλβῖδος αὐτῆς καὶ εὐθέως ἐκ προοιμίων ἀνατρέπειν τοὺς δι' ἐναντίας λόγους, ἀντιπαραστάσεως δὲ τὸ δέξασθαι μὲν τὸν λόγον ὡς ἀληθῆ δεῖξαι δὲ αὐτὸν
10 μηδαμῶς καταβλάπτοντα τὸ προκείμενον, ἀλλὰ μάτην εἰρημένον. ἀνατρέποντες οὖν | τὸ ἐπιχείρημα τῶν ἀνατρεπόντων τὴν φιλοσοφίαν κεχρήμεθα τῇ 128r
ἐνστάσει, λέγοντες ὅτι τὸ ὂν οὐκ ἔστι τῶν ὁμωνύμων ἀλλὰ τῶν ἀφ' ἑνός (τί δέ ἐστι τὰ ὁμώνυμα καὶ τί τὰ ἀφ' ἑνός, προκόπτοντες μαθησόμεθα), τῇ δὲ ἀντιπαραστάσει κεχρήμεθα λέγοντες ὅτι εἰ καὶ δῶμεν τῶν ὁμωνύμων
15 εἶναι τὸ ὄν, οὐ παρὰ τοῦτο ἄγνωστόν ἐστι· καὶ γὰρ δύναται τὰ ὁμώνυμα ὅρῳ καθυποβληθῆναι· κανὼν γάρ ἐστι διαλεκτικὸς ὁ λέγων ὅτι ἐπὶ τῶν ὁμωνύμων τρία τινὰ δεῖ ζητεῖν, πόσα σημαινόμενα ἔχει τὸ ὁμώνυμον, καὶ περὶ ποίου σημαινομένου ἐστὶν ὁ λόγος, καὶ εἶθ' οὕτως ὑπογράψαι ἢ ὁρίσασθαι τὸ ἓν τῶν σημαινομένων περὶ οὗ ἐστιν ὁ λόγος. οἷον παραδείγματι σαφη-
20 νίσωμεν τὸ λεχθέν· ἡνίκα περὶ κυνός ἐστιν ὁ λόγος, ἐπειδὴ αὕτη ἡ φωνὴ τῶν ὁμωνύμων ἐστίν, δεῖ πρῶτον λέγειν πόσα σημαινόμενα ἔχει, οἷον ὅτι σημαίνει τόν τε ἀστρῷον καὶ τὸν θαλάττιον καὶ τὸν χερσαῖον, καὶ δεύτερον περὶ ποίου κυνός ἐστιν ὁ λόγος, εἶτα ὑπογράφειν αὐτὸ ἢ ὅρῳ καθυποβάλλειν· οἷον εἰ περὶ τοῦ χερσαίου κυνός ἐστιν ὁ λόγος, λέγομεν ὅτι
25 ἐστὶ ζῷον τετράπουν ὑλακτικόν. οὕτως οὖν καὶ ἐπὶ τοῦ ὄντος τὰ τρία ταῦτα ζητοῦμεν· ζητοῦμεν γὰρ πρῶτον πόσα σημαινόμενα ἔχει καὶ λέγομεν ὅτι κατὰ δέκα σημαινομένων φέρεται, ἤγουν κατὰ τῶν δέκα κατηγοριῶν. καὶ δεύτερον ζητοῦμεν περὶ ποίου σημαινομένου ἐστὶν ὁ λόγος, ἆρα περὶ οὐσίας ἢ περὶ ποσοῦ ἢ περὶ ποιοῦ ἢ περὶ τῶν ἑξῆς κατηγοριῶν. τότε
30 ζητοῦμεν ὁρισμῷ ἢ ὑπογραφῇ καθυποβάλλειν. εἰ ἄρα οὖν ὁρισμῷ καθυποβάλλεται, δῆλον ὅτι οὐκ ἔστιν ἄγνωστον τὸ ὄν.

Τὸ δὲ δεύτερον ἐπιχείρημα τῶν ἀνατρεπόντων τὴν φιλοσοφίαν προέρχεται τοῦτον τὸν τρόπον· τὰ ὄντα ἐν ῥοῇ καὶ ἀπορροῇ εἰσι καὶ στάσεως οὐδεμιᾶς τυγχάνουσι· φθάνει γὰρ τὸν λόγον ἀμειφθέντα τὰ πράγματα· καὶ γὰρ σχεδὸν

---

4 ante εἰ δὲ ἡ φιλ. add. πῶς τοίνυν φατὲ τὴν φιλοσοφίαν γνῶσιν τῶν ὄντων τοῦ ὄντος ἀγνώστου ὑπάρχοντος KT 6 διχῶς V 6. 7 κεχρημένοι post ἀντιπαραστ. colloc. V 7 δὲ om. K· μὲν om. KT post βαλβῖδος add. καὶ ἀφετηρίας V 9 pr. δὲ] δ' ἔργον ἐστὶ V 10 ἀλλὰ μάτην εἰρημένον om. V (fort. recte) 11 τὸ om. K 13 εἰσι KT 14 ὅτι om. T 15 δύνανται KT 18 ἢ] καὶ TV 21 λέγειν supra scr. K: εἰπεῖν (sed post ἔχει colloc.) T 23 ante περὶ add. περὶ ποίου σημαινομένου ἤγουν V εἶτα ὑπογρ. αὐτὸ] καὶ τρίτον τοῦτο ὑπογράφει (sic) V 23. 24 καθυποβάλλει V 24 ἐστὶ τυχὸν ὁ λόγος V 27 τῶν om. KT 29 κατηγοριῶν om. V 29. 30 τότε ζητοῦμεν] καὶ τότε τὸ ζητούμενον V 30 pr. ὁρισμῷ] ὅρῳ V καθυποβάλλομεν (pr. l.) V 31 τὸ ὄν om. KT

Digitized by Google

πρὸ τοῦ ῥηθῆναι τὸν περὶ αὐτῶν λόγον ἀμείβονται τὰ πράγματα. καὶ φέρουσι παράδειγμα τοιοῦτον, ὅτι ὥσπερ ἐν ποταμῷ ἐν τῷ αὐτῷ ὕδατι οὐ δύναταί τις βρέξαι δὶς τὸν πόδα, ἢ ὥσπερ ἕτεροι ἐπιτείνοντες τὴν ἀπορίαν λέγουσιν ὅτι οὐδὲ ἅπαξ δύναταί τις ἐν τῷ αὐτῷ ὕδατι βρέξαι τὸν πόδα ἐκείνου τοῦ ὕδατος παρερχομένου συντόμως καὶ ἄλλου ἐπερχομένου, οὕτω καὶ τὰ πράγματα ἐν ῥοῇ καὶ ἀπορροῇ ὄντα στάσεως οὐδεμιᾶς τυγχάνουσι καὶ δῆλον ὅτι γνώσει οὐχ ὑποπίπτουσιν· ἐν τῷ γὰρ θέλειν τινὰ γινώσκειν αὐτὰ ἀμείβονται καὶ ἄλλοτε ἄλλως ἔχουσι, καὶ οὐ καταλαμβάνει τις γνῶναι αὐτά. πῶς οὖν ἡ φιλοσοφία γνῶσις τῶν ὄντων ἐστίν, ὅπου τὰ ὄντα ἐν ῥοῇ καὶ ἀπορροῇ ὄντα ἄγνωστά εἰσιν; ἄλλως τε δέ φασιν· ἵνα γένηται κατάληψις, θέλει τὸ γινῶσκον ἐφαρμόζεσθαι τῷ γνωστῷ. | καὶ γινῶσκον μὲν λέγουσι τὴν ψυχὴν γνωστὸν δὲ τὸ πρᾶγμα 128v τὸ ὑποκείμενον ἤγουν τὸ γινωσκόμενον. ἵνα δὲ γένηται ἐφαρμογή, τοῦτ' ἔστιν ἁρμοδία κατάληψις, θέλει τὸ γνωστὸν ἢ μὴ κινεῖσθαι ἀλλ' ἀεὶ ὡσαύτως ἔχειν, ἢ εἰ κινεῖται τὸ γνωστὸν καὶ μεταβάλλεται, θέλει καὶ τὸ γινῶσκον ἤγουν ἡ ψυχὴ συγκινεῖσθαι καὶ συμμεταβάλλεσθαι, καὶ τυχὸν εἰ γίνεται τὸ γνωστὸν λευκόν, θέλει καὶ ἡ ψυχὴ λευκὴ εἶναι, καὶ εἰ γίνεται ὕδωρ, θέλει καὶ ἡ ψυχὴ ὕδωρ γίνεσθαι. ἀλλὰ μὴν ἡ ψυχὴ οὐ συμμεταβάλλεται τῷ γνωστῷ· δῆλον ⟨οὖν⟩ ὅτι οὐ δύναται γνῶναι αὐτό. ἄρα οὖν ἡ φιλοσοφία γνῶσις τῶν ὄντων εἶναι οὐ δύναται, ὅπου τὰ ὄντα γνώσει οὐ καθυποβάλλονται. ταῦτα μὲν οὖτοι. ἔστι δὲ εἰπεῖν πρὸς αὐτούς· πρῶτον μὲν ἡ φιλοσοφία οὐ καταγίνεται περὶ τὰ μερικά, ἅτινά εἰσιν ἐν ῥοῇ καὶ ἀπορροῇ, ἀλλὰ περὶ τὰ καθόλου, ἅτινα οὐ μεταβάλλεται, ἀλλ' ἀεὶ ὡσαύτως ἔχει. δεύτερον δὲ εἰ καὶ δῶμεν αὐτὴν περὶ τὰ μερικὰ καταγίνεσθαι, οὐ παρὰ τοῦτο οὐ δύναταί τις καταλαβέσθαι, καθὸ τὸ γινῶσκον ἤγουν ἡ ψυχὴ οὐ συμμεταβάλλεται τῷ γνωστῷ ἤγουν τῷ ὑποκειμένῳ πράγματι· κατὰ γὰρ τοῦτον τὸν λόγον οὐδὲ τὸ θεῖον εἴσεταί τι τῶν γινομένων, ἐπειδὴ οὐ συμμεταβάλλεται τοῖς πράγμασιν, ἀλλ' ἀεὶ ὡσαύτως ἔχει. καὶ πάλιν κατὰ τοῦτον τὸν λόγον ὁ ἰατρὸς κατὰ φύσιν ὢν οὐ δύναται γνῶναι τὰ παρὰ φύσιν, τοῦτ' ἔστιν ὅταν ὑγιαίνῃ, οὐ δύναται διακρῖναι τὴν νόσον, ἀλλ' ἀναγκάζεται νοσεῖν, ἵνα τὴν νόσον διακρίνῃ. ἔτι δὲ πολλάκις ἡ ψυχὴ πρὸ τοῦ ἀμειφθῆναι τὰ πράγματα γινώσκει αὐτά, ὡς καὶ ὁ Πλάτων δηλοῖ λέγων 'αἱ γὰρ τῶν σπουδαίων ψυχαὶ οὐ μόνον κατόπιν ἔρχονται τῶν πραγμάτων, ἀλλὰ καὶ προφθάνουσιν αὐτὰ καὶ προγινώσκουσι πρὸ τοῦ ἀμειφθῆναι'. καὶ ταῦτα μὲν ἐν τούτοις.

---

1 παράδ. τοιοῦτον] cf. Amm. in Cat. p. 2,25 3 οὐ supra scr. K τὸν αὐτοῦ πόδα δίς T 5 ἐκείνου τοῦ ὕδ.] τοῦ αὐτοῦ ὕδ. K: αὐτοῦ τοῦ ὕδ. T συντόμως περιερχ. (sic) V 12 καὶ γινῶσκον—ψυχὴν iter. K γινῶσκον μὲν] γινώσκομεν V¹ 14 post γνωστὸν add. ἢ κινεῖσθαι in mrg. V² 16 τὴν ψυχὴν KT μεταβάλλεσθαι T 17 pr. γίνεται] γὰρ V 19 τῷ γνωστῷ] τὸ γνωστὸν V pr. οὖν inserui (cf. p. 8,13) 20 οὐ δύναται εἶναι colloc. V 20. 21 οὐχ ὑποβάλλονται K 21 ante πρὸς add. καὶ V 22 ante ἐν add. τὰ V 26 alt. τῷ] τὸ KV 31 δὲ om. K 32 καὶ om. V ὁ Πλάτων δηλοῖ] cf. Meno. p. 81 C 34 πρὸ τοῦ ἀμειφθῆναι om. V (fort. recte)

Digitized by Google

Τρίτον δὲ ἐπιχείρημα οἱ ἀνατρέποντες τὴν φιλοσοφίαν φασὶ τοῦτο· τὰ γινωσκόμενα αἰσθήσει ὑποπίπτουσιν, ὡς καὶ ὁ Πλάτων δηλοῖ λέγων 'ὁ γὰρ δημιουργὸς ὄψιν καὶ ἀκοὴν ἡμῖν ἐδωρήσατο, ἵνα διὰ τούτων τὸ τῆς φιλοσοφίας κατορθώσωμεν γένος'. τοῦτο λαβόντες ὡς ὁμολογούμενόν φασιν ὅτι εἰ δείξομεν ἐκ τῆς ὑμῶν διαιρέσεως μὴ δυνάμενα εἶναι τὰ μέρη τῆς φιλοσοφίας, δῆλον ὅτι οὐ συνίσταται ἡ φιλοσοφία. φασὶν οὖν ὅτι καθ' ὑμᾶς ἡ φιλοσοφία διαιρεῖται εἰς θεωρητικὸν καὶ πρακτικόν, τὸ θεωρητικὸν πάλιν εἰς μαθηματικὸν φυσιολογικὸν καὶ θεολογικόν· εἰ ἄρα οὖν ταῦτα ἀνατρέψομεν, δῆλον ὅτι οὐ συνίσταται ἡ φιλοσοφία. φασὶν ὅτι τὸ μαθηματικὸν οὐκ ἔστι μέρος τῆς φιλοσοφίας, ὡς καὶ ὁ Πλάτων δοξάζει· καὶ γὰρ | οὗτος 129r τὸ μαθηματικὸν οὐ δοξάζει μέρος τῆς φιλοσοφίας ἀλλὰ προγύμνασμά τι, ὥσπερ τὴν γραμματικὴν καὶ τὴν ῥητορικήν. ὅθεν κἀν τῷ ἀκροατηρίῳ ἐπέγραφεν· "ἀγεωμέτρητος μηδεὶς εἰσίτω". τὸ δὲ φυσιολογικόν, φασίν, ἀνατέτραπται διὰ τοῦ δευτέρου ἐπιχειρήματος τοῦ λέγοντος ὅτι τὰ ὄντα ἐν ῥοῇ καὶ ἀπορροῇ εἰσιν, τὸ δὲ θεολογικὸν ἀνατέτραπται οὕτως· φασὶ γὰρ ὅτι τὰ θεῖα αἰσθήσει οὐ καθυποβάλλονται, τὰ δὲ αἰσθήσει μὴ καθυποβαλλόμενα γνώσει οὐχ ὑποπίπτουσι, τὰ θεῖα ἄρα ἄγνωστά εἰσι. ταῦτα μὲν ἐν τούτοις.

Ἔστι δὲ εἰπεῖν ὅτι περὶ τοῦ πρακτικοῦ τέως οὐδὲν εἰρήκασιν, ὅπερ ἀντιδιαιρεῖται τῷ θεωρητικῷ, καὶ δῆλον ὅτι οὐκ ἀνεῖλον πᾶσαν τὴν φιλοσοφίαν· καὶ γὰρ καὶ τὸ πρακτικὸν μέρος τῆς φιλοσοφίας. καὶ τοῦτο δηλοῖ ὁ Πλάτων λέγων ὅτι 'οὐ μόνον φιλόσοφον λέγω τὸν πολλὰ εἰδότα καὶ πολλὰ ἀποστηθίσαι δυνάμενον, ἀλλὰ καὶ τὸν ἀκηλίδωτον καὶ ἄρρυπον βίον κτησάμενον', ὅπερ ἐστὶν ἔργον πρακτικοῦ φιλοσόφου. ταῦτα μὲν ἐν τούτοις. ἔλθωμεν δὲ καὶ ἀπολογησώμεθα περὶ τοῦ μαθηματικοῦ καὶ φυσιολογικοῦ καὶ θεολογικοῦ. καὶ περὶ μὲν τοῦ μαθηματικοῦ ἔστιν εἰπεῖν ὅτι οὐ δοξάζει ὁ Πλάτων τοῦτο μὴ εἶναι μέρος τῆς φιλοσοφίας, εἰ μὴ τῆς ἄκρας φιλοσοφίας ἤγουν τοῦ θεολογικοῦ· τούτου γὰρ δοξάζει μὴ εἶναι μέρος αὐτό· ὅτι γὰρ ἐπίσταται τὸ μαθηματικὸν μέρος τῆς φιλοσοφίας δῆλον, εἴ γε καὶ ἐπιστήμην αὐτὸ λέγει εἶναι· εἰ δὲ ἐπιστήμη ἐστί, δῆλον ὅτι μέρος τῆς φιλοσοφίας ἐστί. καὶ ὁ Ἀριστοτέλης δὲ φανερῶς τὸ μαθηματικὸν μέρος τῆς φιλοσοφίας καλεῖ. περὶ δὲ τοῦ φυσιολογικοῦ ἀπελογησάμεθα ἀνατρέψαντες

---

1 ὁ Πλάτων δηλοῖ] Tim. p. 47 4 γένος κατορθ. colloc. V 5 ἡμῶν K
6 οὖν om. V 8 πάλιν om. V καὶ om. V 10 ὁ Πλάτων] cf. Zelleri Ph. Gr. II³ p. 533 12 ἡ (ἡ om. V) γραμματικὴ καὶ ῥητορική TV κἀν] καὶ V
13 ἐπέγραψεν Brand. ἀγεωμέτρητος] cf. Zelleri Phil. Gr. II 3 p. 357 not. 3
13. 14 ἀνατέτρ. φασί colloc. T 15 ἀνατρέπουσιν V γὰρ om. V 16 οὐχ ὑποβάλλονται V δὲ om. TV 17 ante γνώσει add. ἐν V¹ ἐν om. T 18 τέως om. Brand. 19 ἀντιδιαιρ.] ὡσαύτως διήρηται V 20 post μέρος add. ἐστὶ V
21 ὁ Πλάτων] locus apud Platonem non invenitur, de usu vocis ἀκηλίδωτος cf. Fr. Creuzeri notam ad Olymp. in Pl. Alc. comm. p. 55 not. 24 22 ἀκηλίδυτον T ἄρυπον TV 24 ἀπολογησόμεθα V 27 τοῦ θεολογικοῦ τούτου· οὐ γὰρ δοξάζει αὐτὸ μὴ εἶναι μέρος V 28 post φιλοσοφίας add. εἶναι V 29 αὐτὸ] αὐτὴν V εἶναι λέγει colloc. T μέρος om. T 30 ὁ om. KT Ἀριστοτ.] cf. Zelleri Phil. Gr. III³ p. 179

Digitized by Google

τὸ δεύτερον αὐτῶν ἐπιχείρημα τὸ φάσκον ὅτι τὰ ὄντα ἐν ῥοῇ καὶ ἀπορροῇ εἰσι. περὶ δὲ τοῦ θεολογικοῦ ἔστιν εἰπεῖν ὅτι εἰ καὶ τὸ θεῖον ἄγνωστον, ἀλλ' οὖν θεωροῦντες τὰ δημιουγήματα καὶ τὴν εὔτακτον κίνησιν τοῦ παντὸς εἰς ἔννοιαν ἐρχόμεθα τοῦ δημιουργήσαντος. τὸ δὲ ἀφανὲς ἐκ τοῦ φανεροῦ
5 ταχίστην ἔχει τὴν διάγνωσιν· ἐπειδὴ γὰρ πᾶν κινούμενον ὑφ' ἑτέρου τινὸς κινεῖται, ὁρῶμεν δὲ τὸν οὐρανὸν σῶμα καὶ ὅτι κινεῖται, οὐκοῦν ὑπό τινος ἑτέρου κινεῖται· ἔστιν ἄρα τις κινῶν τὸν οὐρανόν. καὶ ἐπειδὴ τὴν αὐτὴν κίνησιν κινεῖται διηνεκῶς, δῆλον ὅτι ὑφ' ἑνὸς κινεῖται, ὥς φησιν ὁ Ἀριστοτέλης· εἰ γὰρ ἦσαν πολλοὶ οἱ κινοῦντες τὸν οὐρανόν, ἄλλος ἂν ἄλλως ἐκίνει
10 καὶ ἡ αὐτὴ κίνησις οὐκ ἐγίνετο. καὶ ἐπειδὴ ἀπαύστως ἀεὶ κινεῖται, δῆλον ὅτι ὑπό τινος ἀσωμάτου ἀεὶ κινεῖται· εἰ γὰρ εἶχε σῶμα ὁ κινῶν τὸν οὐρανόν, πεπερασμένος ἂν ἦν· τὸ δὲ πεπερασμένον σῶμα πεπερασμένην καὶ δύναμιν ἔχει καὶ οὐκ ἂν ἠδύνατο συνεχῶς καὶ ἀπαύστως κινεῖν τὸν οὐρανόν· ὥστε δῆλον ὅτι οὐκ ἔχει σῶμα. ἀλλὰ μὴν οὐδὲ φθείρεται· | εἰ γὰρ 129v
15 ἐφθείρετο ὁ κινῶν τὸν οὐρανόν, συνεφθείρετο αὐτῷ καὶ ὁ οὐρανός· ἀλλὰ μὴν ὁ οὐρανὸς οὐ φθείρεται· δῆλον ⟨οὖν⟩ ὅτι οὐδὲ ὁ κινῶν τὸν οὐρανὸν φθείρεται. τί οὖν συνήγαγεν ὁ λόγος; ὅτι ὁ κινῶν τὸν οὐρανὸν εἷς ἐστι καὶ ἀσώματος καὶ ἄπειρος καὶ ἄφθαρτος. τοῦτο δὲ οὐδὲν ἕτερόν ἐστιν εἰ μὴ τὸ θεῖον. οὕτως οὖν ἐκ τοῦ φανεροῦ εἰς ἔννοιαν ἐρχόμεθα τοῦ ἀφανοῦς.
20 οὕτως ἀνατρέψαντες καὶ τὸ τρίτον αὐτῶν ἐπιχείρημα καταπαύσωμεν ὧδε τὴν θεωρίαν.

Πρᾶξις γ'.

Τὸ τέταρτον ἐπιχείρημα τῶν ἀνατρεπόντων τὴν φιλοσοφίαν ἔχει τοῦτον τὸν τρόπον· ἡ φιλοσοφία ἢ γνῶσίς ἐστιν ἢ οὐκ ἔστι γνῶσις· καὶ εἰ μὲν
25 οὐκ ἔστι γνῶσις, δῆλον ὅτι οὐδὲ τέχνη ἐστὶν οὐδὲ ἐπιστήμη· πᾶσα γὰρ τέχνη καὶ ἐπιστήμη γνῶσίς ἐστι· γινώσκει γὰρ τὰ ὑποκείμενα αὐτῇ πράγματα· εἰ δὲ γνῶσίς ἐστιν, ἢ μερική ἐστιν ἢ καθόλου· καὶ εἰ μὲν μερική ἐστι, χείρων ἐστὶ τῶν ἄλλων τεχνῶν (ἐκεῖναι γὰρ καθόλου γνώσεις εἰσὶν ἔχουσαι καὶ καθολικοὺς κανόνας· καὶ γὰρ ἡ γραμματικὴ καὶ ἡ ῥητορικὴ καὶ
30 ἡ ἰατρικὴ ἔχουσι καθολικοὺς κανόνας)· εἰ δὲ χείρων ἐστὶ τῶν ἄλλων τεχνῶν, πῶς λέγετε αὐτὴν τέχνην τεχνῶν εἶναι καὶ ἐπιστήμην ἐπιστημῶν; εἰ δὲ

---

1 φάσκον] λέγον V 2 post ἄγν. add. ἐστι V 5 τινὸς om. V 6 ὁρῶμεν—κινεῖται om. K 8 ὥς φησιν ὁ (ὁ om. V) Ἀριστοτ.] Phys. VIII 6 p. 259a18 Metaph. XII 8 p. 1073a28 9 ἂν om. V 11 ἀσωμάτου τινὸς colloc. V ἀεὶ om. V 12 δὲ] γὰρ V 14 ὥστε om. V 16 οὖν inserui (cf. p. 4,19 8,13) ὅτι om. K 17 τὸν οὐρανὸν om. V 20 καταπαύσομεν V ὧδε] ἐνταῦθα V 22 post πρᾶξις add. σὺν θεῷ KV 23 τοῦτον ἔχει colloc. T 24 ἢ (ante γνῶσις)] εἰ V ἢ (ante οὐκ)] εἰ V¹ 25 οὐδὲ ἐπιστ. ἐστὶν οὐδέ τέχνη T: οὐ τέχνη ἐστὶν οὔτε ἐπιστ. V 26 καὶ ἐπιστήμη om. K 27 ἐστιν (prius) om. K ἐστιν (alt.) om. V 29 ἔχουσαι] ἔχουσι γὰρ V καὶ (post ἔχ.) om. TV 29. 30 καὶ γὰρ—κανόνας om. V 29 καὶ ἡ ῥητορικὴ iter. Brand. 31 λέγεται KV αὐτὴ τέχνη τεχνῶν καὶ ἐπιστήμη ἐπιστ. (εἶναι om.) V

Digitized by Google

καθόλου ἐστὶ γνῶσις, οὐ δύναται συστῆναι. καὶ δῆλον ἐντεῦθεν· ἡ καθόλου γνῶσις καθόλου συμβεβηκός ἐστι (καὶ γὰρ ἡ γνῶσις συμβεβηκός τί ἐστι· ποιότης γάρ ἐστιν, ἡ δὲ ποιότης, ὡς μαθησόμεθα, συμβεβηκός ἐστι)· τὰ δὲ καθόλου συμβεβηκότα ἐν μερικῷ ὑποκειμένῳ οὐ δύναται θεωρεῖσθαι (καὶ γὰρ τὸ καθόλου λευκὸν οὐ δύναται ἐν κύκνῳ μόνῳ θεωρεῖσθαι, ἐπεὶ οὐκ ὤφειλεν ἐν ἄλλῳ τινὶ θεωρεῖσθαι, οἷον ἐν χιόνι ἢ ψιμυθίῳ ἢ γάλακτι)· εἰ ἄρα οὖν ἡ φιλοσοφία καθόλου γνῶσίς ἐστι, δῆλον ὅτι οὐ δύναται ἐν μερικῷ ὑποκειμένῳ θεωρεῖσθαι, οἷον ἐν Σωκράτει, ἐν Πλάτωνι, ἐν Ἀλκιβιάδῃ· εἰ δὲ οὐ θεωρεῖται ἐν ὑποκειμένῳ, δῆλον ὅτι οὐκ ἔστι· τὰ γὰρ συμβεβηκότα μὴ ἐν ὑποκειμένῳ θεωρούμενα οὐκ εἰσί. ταῦτα μὲν οὖτοι.

Ἔστι δὲ ἀνατρέψαι αὐτοὺς οὕτως· ὅτι καὶ καθόλου γνῶσίς ἐστιν ἡ φιλοσοφία καὶ οὐκ ἀδύνατον αὐτὴν ἐν μερικῷ ὑποκειμένῳ θεωρεῖσθαι· καὶ γὰρ εἰ καὶ τὰ καθόλου συμβεβηκότα οὐ δύναται ἐν μερικῷ ὑποκειμένῳ θεωρεῖσθαι, ἀλλ' οὖν ἡ περὶ τούτων γνῶσις δύναται ἐν μερικῷ θεωρεῖσθαι, οἷον εἰ καὶ τὸ καθόλου λευκὸν οὐκ ἔγκειται ἐν τῷ Σωκράτει μόνῳ, ἀλλ' οὖν ἡ περὶ τούτου γνῶσις δύναται ἐν τούτῳ μόνῳ ἐγκεῖσθαι· δύναται γὰρ ὁ Σωκράτης γινώσκειν ὅτι λευκόν ἐστι χρῶμα διακριτικὸν ὄψεως. καὶ πάλιν οὐδέποτε τὰ ἐναντία ἀμιγῆ καὶ ἄκρατα ὄντα ἐν τῷ αὐτῷ μορίῳ κατὰ τὸν αὐτὸν χρόνον δύναται θεωρεῖσθαι, οἷον τὸ λευκὸν καὶ τὸ μέλαν ἀμιγῆ καὶ ἄκρατα ὄντα οὐ δύναται ἐν τῷ αὐτῷ ὑποκειμένῳ κατὰ τὸν αὐτὸν χρόνον θεωρεῖσθαι· οὐ δύναται γὰρ τὸ αὐτὸ | μόριον κατὰ τὸν αὐτὸν χρόνον 130r καὶ λευκὸν καὶ μέλαν εἶναι. πρόσκειται δὲ τὸ 'ἐν τῷ αὐτῷ μορίῳ', ἐπειδὴ ἐν ἄλλῳ καὶ ἄλλῳ μορίῳ δύναται καὶ τὸ λευκὸν θεωρεῖσθαι καὶ τὸ μέλαν, ὥσπερ ἐπὶ τοῦ Αἰθίοπος· καὶ γὰρ ὁ Αἰθίοψ κατὰ μὲν τοὺς ὀδόντας ἐστὶ λευκός, κατὰ δὲ τὸ λοιπὸν μέρος τοῦ σώματός ἐστι μέλας. πρόσκειται δὲ 'κατὰ τὸν αὐτὸν χρόνον', ἐπειδὴ ἐν τῷ αὐτῷ μορίῳ δύναται καὶ τὸ λευκὸν θεωρεῖσθαι καὶ τὸ μέλαν κατ' ἄλλον καὶ ἄλλον χρόνον. πρόσκειται δὲ 'ἀμιγῆ καὶ ἄκρατα ὄντα' διὰ τὸ φαιόν, ὅ ἐστι τὸ μύινον, ἐπειδὴ ἐν τούτῳ θεωρεῖται καὶ τὸ μέλαν κεὶ τὸ λευκόν, ἀλλ' οὐκ εἰσὶν ἐκεῖ ἀμιγῆ καὶ ἄκρατα· οὔτε γὰρ ἡ φύσις τοῦ λευκοῦ τελείως σώζεται οὔτε ἡ τοῦ μέλανος· τὸ γὰρ φαιὸν μῖγμά ἐστι τοῦ λευκοῦ καὶ μέλανος. καὶ ὅμως εἰ καὶ τὰ ἐναντία ἀμιγῆ καὶ ἄκρατα ὄντα οὐ δύναται ἐν τῷ αὐτῷ μορίῳ κατὰ τὸν αὐτὸν χρόνον θεωρεῖσθαι, ἀλλ' οὖν ἡ περὶ τούτων γνῶσις δύναται ἐν ἑνὶ ὑποκειμένῳ θεωρεῖσθαι· δύναται γὰρ ὁ αὐτὸς γινώσκειν ὅτι λευκόν ἐστι χρῶμα διακριτικὸν ὄψεως, ἤγουν χρῶμα διαχέον τὴν ὄψιν (καὶ γὰρ τὸ χρῶμα τὸ λευκὸν διαχέει τὴν ὅρασιν), καὶ ὅτι μέλαν ἐστὶ χρῶμα συγκρι-

---

1 ἡ] εἰ V¹ 2 καὶ γὰρ ἡ γν. συμβ. τί ἐστι om. T 6 ψιμμυθίω K
ἢ ἐν γάλ. V 7 ἐν μερικῷ οὐ δύν. colloc. T 9 συμβεβηκότα om. V
11 ὅτι om. V 14 ἀλλ' οὖν—θεωρεῖσθαι om. V 15 εἰ] ἐστὶ V 16 τούτου] τοῦτο V
19—21 οἷον τὸ λευκὸν—θεωρεῖσθαι om. KT 22. 25. 27 πρόσκειται] καὶ κεῖται V
23 τὸ (ante λευκὸν) om. KT 24 ἐστι om. V 27 ante χρ. add. τὸν T
post χρόνον add. δύναται γὰρ τὸ αὐτὸ μόριον καὶ λευκὸν εἶναι καὶ μέλαν κατὰ ἄλλον χρόνον γίνεσθαι ἀπὸ ἡλιοκαΐας V 28 τὸ (ante μύινον) om. KT 29 ἐκεῖ om. KT
30 τελεία V 31 τοῦ] ἐκ T: om. K 35 διακρ.] δὲ κριτικὸν V

Digitized by Google

τικὸν ὄψεως, ἤγουν χρῶμα συνάγον τὴν ὄψιν· καὶ γὰρ τὴν ὅρασιν τὴν διαχυθεῖσαν διὰ τοῦ μέλανος ἀνακαλούμεθα, ὅθεν καὶ οἱ ὀφθαλμιῶντες πανίον μέλαν ἐπιτιθέασι τοῖς ὀφθαλμοῖς αὐτῶν διὰ τὸ τὴν ὅρασιν τὴν διαχυθεῖσαν συναγαγεῖν. οὕτως οὖν εἰ καὶ τὰ καθόλου οὐ δύναται ἐν
5 μερικῷ ὑποκειμένῳ θεωρεῖσθαι, ἀλλ' οὖν ἡ περὶ τούτων γνῶσις δύναται ἐν μερικῷ θεωρεῖσθαι ὑποκειμένῳ· δύναται γὰρ ὁ Σωκράτης γινώσκειν τὰ καθόλου, οἷον τί ἐστιν ἄνθρωπος, τί ἐστιν ἵππος, τί ἐστι λίθος.

Οὕτως οὖν ἀνατρέψαντες καὶ τὸ τέταρτον αὐτῶν ἐπιχείρημα ἔλθωμεν καὶ δείξωμεν ὅτι ἔστιν ἡ φιλοσοφία· δεῖ γὰρ μὴ μόνον τὰ τῶν ἐναντίων
10 ἀνασκευάζειν ἀλλὰ καὶ τὰ οἰκεῖα κατασκευάζειν. δείκνυμεν δὲ ὅτι ἔστιν ἡ φιλοσοφία τοῦτον τὸν τρόπον· εἰ ἔστι θεός, ἔστι καὶ πρόνοια· οὐ μόνον γὰρ ἔστι θεός, ἀλλὰ καὶ προνοεῖται. ἀλλὰ μὴν ἔστι θεός· μεμηνότων γάρ ἐστι τὸ λέγειν ὅτι οὐκ ἔστι θεός· δῆλον οὖν ὅτι ἔστι καὶ πρόνοια. εἰ δὲ πρόνοια, δῆλον ὅτι ἔστι καὶ σοφία, δι' ἧς προνοεῖται ὁ θεός· οὐ γὰρ ἀλόγως
15 προνοεῖται θεὸς οὐδὲ ἄνευ σοφίας. εἰ δὲ ἔστι σοφία, δῆλον ὅτι ἔστι καὶ ἔφεσις αὐτῆς καὶ ἐπιθυμία· πᾶς γὰρ τοῦ ἀγαθοῦ ἐφίεται, ὅθεν καὶ ἀγαθὸν λέγεται παρὰ τὸ ἄγαν θέειν ἡμᾶς ἐπ' αὐτό. εἰ δὲ ἔφεσις αὐτῆς καὶ ἐπιθυμία, δῆλον ὅτι καὶ ἡ φιλοσοφία ἔστιν· οὐδὲν γὰρ ἕτερόν ἐστιν ἡ φιλοσοφία ἢ φιλία σοφίας, ὡς ὁ Πυθαγόρας ὁρίζεται. ἐν οἷς καὶ ἡ παροῦσα
20 πρᾶξις.

Πρᾶξις δ'. |

Εἰ καὶ πάρεργον ἦν τὸ ζητῆσαι ἐπὶ τῆς φιλοσοφίας τὸ εἰ ἔστιν, ἀλλ' 130v
οὖν τῇ ἀληθείᾳ συμμάχῳ χρησάμενοι τοὺς λόγους τῶν πειραθέντων τὴν ὕπαρξιν ἀνελεῖν τῆς φιλοσοφίας ὡς ἀσθενεῖς ἀνετρέψαμεν· καὶ γὰρ οἷς ἔρις
25 ὁ βίος ἐστίν (οὗτοι δέ εἰσιν οἱ Πυρρώνειοι οἱ πάντα ἀνατρέπειν πειρώμενοι), τὴν μητέρα τῶν ἀποδείξεων, φημὶ δὴ τὴν φιλοσοφίαν, δι' ἀποδείξεων ἠβούλοντο ἀνατρέπειν καί, ὡς ἄν τις εἴποι, τὴν φιλοσοφίαν διὰ φιλοσοφίας ἀνέτρεπον. πρὸς οὓς ἁπαντᾷ ὁ Πλάτων λέγοντας μὴ εἶναι κατάληψιν· πῶς φατε μὴ εἶναι κατάληψιν ὡς κατειληφότες ἢ ὡς μὴ κατειληφότες; καὶ
30 εἰ μὲν ὡς καταλαβόντες, δῆλον ὅτι ἔστι κατάληψις, ἐπειδὴ κατελάβετε· εἰ

---

3 παννίον K τὴν (post ὅρασιν)] om. K 6 ὑποκ. θεωρ. colloc. V
9 δείξομεν V 10 δὲ om. K ἡ om. V 12 primum ἔστι supra scr. V
γάρ ἐστι] ἄρα T 13 οὖν om. V 14 ἔστι post εἰ (13) transp. V σοφία] φιλοσοφία K 14. 15 ὁ θεός—προνοεῖται om. V 15. 16 καὶ ἔφεσις αὐτῆς ἐστι colloc. V
17 εἰ δ' ἔστιν V 18 ἡ (post καὶ) om. V 19 ἧ] εἰ μὴ V ὡρίζετο V
19. 20 ἐν οἷς—πρᾶξις om. T 19 post οἷς add. σὺν θεῷ V 20 πρ.] θεωρία V
21 post πρᾶξις add. σὺν θεῷ V (fere constanter) 24 φιλ.] σοφίας T¹
25 πυρώνειοι KT πάντως V πειρ.] πειρώμενοι βουλόμενοι KT: βουλόμενοι V
26 δὴ] δὲ V post ἀποδείξεων add. φημί T 27 εἴπη V 28 ὁ Πλάτων] cf. El. p. 109,31 Zelleri Phil. Gr. II³ p. 492 sq. 29 κατειληφ. (bis)] καταλαβόντες V
μὴ ὡς colloc. V 30 δῆλον—κατελάβετε] δῆλον ὅτι κατελάβετε καὶ ἔστι κατάληψις V

Digitized by Google

δὲ ὡς μὴ κατειληφότες, τίς ὑμῖν πιστεύσει τοιαῦτα λέγουσιν, ἃ μὴ κατελάβετε μηδὲ ἐπίστασθε; καὶ ὁ Ἀριστοτέλης δὲ ἔν τινι Προτρεπτικῷ αὐτοῦ συγράμματι, ἐν ᾧ προτρέπεται τοὺς νέους ἐπὶ φιλοσοφίαν, λέγει ὅτι εἴτε μὴ φιλοσοφητέον, φιλοσοφητέον, εἴτε φιλοσοφητέον, φιλοσοφητέον· πάντως
5 δὲ φιλοσοφητέον. τοῦτ' ἔστιν εἴτε λέγει τις μὴ εἶναι φιλοσοφίαν, ἀποδείξεσι κέχρηται, δι' ὧν ἀναιρεῖ τὴν φιλοσοφίαν· εἰ δὲ ἀποδείξεσι κέχρηται, δῆλον ὅτι φιλοσοφεῖ (μήτηρ γὰρ τῶν ἀποδείξεων ἡ φιλοσοφία)· εἴτε λέγει εἶναι φιλοσοφίαν, πάλιν φιλοσοφεῖ· ἀποδείξεσι γὰρ κέχρηται, δι' ὧν δείκνυσιν οὖσαν αὐτήν. πάντως οὖν φιλοσοφεῖ καὶ ὁ ἀναιρῶν αὐτὴν καὶ ὁ μὴ
10 ἀναιρῶν· ἑκάτερος γὰρ αὐτῶν ἀποδείξεσι κέχρηται, δι' ὧν πιστοῦται τὰ λεγόμενα· εἰ δὲ ἀποδείξεσι κέχρηται, δῆλον ὅτι φιλοσοφεῖ· μήτηρ γὰρ τῶν ἀποδείξεων ἡ φιλοσοφία.

Παρέντες οὖν τὸ εἰ ἔστιν ἔλθωμεν ἐπὶ τὸ τί ἐστι καὶ εἴπωμεν τί ἐστιν ἡ φιλοσοφία. ἰστέον δὲ ὅτι ἡ φιλοσοφία καὶ ἕν τί ἐστιν ὡς ὅλη
15 ἐξεταζομένη καὶ πεπληθυσμένη ἐστὶν ὡς διάφορα μέρη ἔχουσα. ὡς οὖν ἕν τι οὖσαν αὐτὴν ὁριζόμεθα, ὡς δὲ πεπληθυσμένην διαιροῦμεν· ἄτοπον γάρ ἐστιν ἐπὶ μὲν τῶν ἄλλων τεχνῶν ὅρον παραδοῦναι καὶ διαίρεσιν, ἐπὶ δὲ τῆς φιλοσοφίας μὴ παραδοῦναι μήτε ὅρον μήτε διαίρεσιν, ἐξ ἧσπερ πᾶσαι αἱ τέχναι προέρχονται. ἰστέον δὲ ὅτι καὶ τοῦ ὅρου καὶ τῆς διαιρέσεως
20 μέμνηται ὁ Πλάτων, καὶ τοῦ μὲν ὅρου ἐν Φαίδρῳ τῷ διαλόγῳ λέγων ὅτι 'ὦ παῖ, μία ἐστὶν ἀρχὴ τοῦ καλῶς βουλεύεσθαι, τὸ εἰδέναι περὶ ὅτου ἐστὶν ἡ σκέψις, ἢ τοῦ παντὸς ἁμαρτάνειν ἀνάγκη', τοῦτ' ἔστιν ὅτι ὁ θέλων καλῶς περί τινος βουλεύσασθαι ὀφείλει εἰδέναι τὴν φύσιν αὐτοῦ τοῦ πράγματος, ἤγουν τὸν ὅρον· ὁ γὰρ μὴ τοῦτο γινώσκων | πάντως τοῦ πράγ- 131r
25 ματος ἐκείνου ἀποτυγχάνει. οἷον ἐάν τις βουλόμενός τι περὶ ἰατρικῆς διαλαβεῖν μὴ γνῷ τὴν φύσιν τῆς ἰατρικῆς, τοῦτ' ἔστιν ὅτι περὶ τὰ ἀνθρώπεια σώματα καταγίνεται, ἀλλὰ νομίσῃ αὐτὴν περὶ ξύλα καταγίνεσθαι, πάντας τοὺς περὶ αὐτῆς καταβαλλομένους λόγους μάτην καταβάλλεται. τῆς δὲ διαιρέσεως μέμνηται ἐν τῷ Σοφιστῇ τῷ διαλόγῳ λέγων 'τὴν δὲ διαιρετικὴν μέθοδον οὐδὲν
30 ἐγκαυχήσεται φυγόν'· καὶ γὰρ οὐδὲν ἐκφεύγει τὴν διαίρεσιν· ἐὰν γὰρ εἴπω ὅτι τῶν ζῴων τὰ μέν εἰσι λογικὰ τὰ δὲ ἄλογα, οὐδέν ἐστι παρὰ τοῦτο· οὐδὲν γάρ ἐστι ζῷον μὴ ὂν λογικὸν ἢ ἄλογον. καὶ πάλιν δὲ ὁ αὐτὸς ἐν τῷ αὐτῷ διαλόγῳ περὶ τῆς διαιρέσεως ταῦτά φησι, τὴν διαιρετικὴν δεδωρῆσθαι ἡμῖν διὰ Προμηθέως σὺν φανοτάτῳ πυρί· ἰστέον γὰρ ὅτι μυθεύ-

---

1 μὴ ὡς colloc. K πιστεύει V 1. 2 ἃ—ἐπίστασθε] μὴ καταλαβοῦσι μηδ' ἐπισταμένοις V 2 ὁ Ἀριστοτέλης] cf. Arist. frg. 51 (Rose) 3 νέους om. T ἐπὶ φιλοσοφίαν] φιλοσοφεῖν V 4 εἴτε φιλ. φιλ. εἴτε μὴ φιλ. φιλ. TV 5 post ἔστιν add. ὅτι T εἴτε (ante λέγει)] εἰ V 6 δι' ὧν—κέχρηται om. V 12 τῶν om. K 14 δὲ] γὰρ V: om. T 15. 16 πεπληθυμμέν. V 16 οὖσαν in ras. V 17 post ἐπὶ additum δὲ τῆς φιλοσοφίας μὴ παραδοῦναι μήτε ὁρμή (sic) del. V 20 ἐν Φαίδρῳ] p. 237 B 23 τινός τι V ὤφειλεν V 26 ante μὴ add. εἰ libri, quod eieci τὰ om. V 27 νομίσῃ scripsi: νομίσει libri 29 ἐν τῷ Σοφιστῇ] p. 235 C 31 οὐδὲν] οὐδὲ TV 32. 33 ἐν τῷ αὐτῷ διαλόγῳ] potius Phileb. p. 16 C

Digitized by Google

οντες λέγουσιν ὅτι ὁ Προμηθεὺς ἔκλεψεν ἐκ τῶν θεῶν τὸ πῦρ καὶ ἐδωρήσατο τοῖς ἀνθρώποις· τοῦτο γὰρ ἀλληγορεῖται· ἐπειδὴ γὰρ ὁ Προμηθεὺς πρῶτος ἐφεῦρε τὴν διαιρετικὴν μέθοδον, ἡ δὲ διαιρετικὴ μέθοδος τῷ πυρὶ ἀναλογεῖ, τούτου χάριν λέγουσιν αὐτὸν τὸ πῦρ δωρήσασθαι τοῖς ἀνθρώποις. ὅτι δὲ ἡ διαιρετικὴ μέθοδος τῷ πυρὶ ἀναλογεῖ, δῆλον ἐντεῦθεν· ὥσπερ γὰρ τὸ πῦρ καὶ τὰ ὁμοιογενῆ διακρίνει ἀπ' ἀλλήλων καὶ τὰ ἀνομοιογενῆ, καὶ τὰ ὁμοιογενῆ μὲν οἷον τὰ μέταλλα (ταῦτα γὰρ διὰ τοῦ πυρὸς διακρίνονται ἀπ' ἀλλήλων· καὶ γὰρ διὰ τοῦ πυρὸς διακρίνεται ὁ ἄργυρος ἐκ τοῦ χρυσοῦ καὶ ὁ μόλιβδος ἐκ τοῦ χαλκοῦ· ταῦτα δὲ ὁμοιογενῆ εἰσι, καθὸ μέταλλά εἰσι πάντα), ἀνομοιογενῆ δέ, ὡς ὅταν διὰ τοῦ πυρὸς διακρίνηται ὁ ῥύπος ἐκ τῶν μετάλλων (ὁ γὰρ ῥύπος καὶ τὸ μέταλλον ἀνομοιογενῆ εἰσι)· τὸν αὐτὸν τρόπον καὶ ἡ διαίρεσις διακρίνει τά τε ὁμοιογενῆ ἀπ' ἀλλήλων καὶ τὰ ἀνομοιογενῆ· ὁμοιγενῆ μέν, ὡς ὅταν τὸ ζῷον διαιρῶμεν εἰς λογικὸν καὶ ἄλογον, θνητὸν καὶ ἀθάνατον (καὶ διὰ μὲν τοῦ λογικοῦ διακρίνομεν τὸ ἄλογον, διὰ δὲ τοῦ θνητοῦ τὸ ἀθάνατον· ταῦτα δὲ ὁμοιογενῆ εἰσι, καθὸ πάντα ζῷά εἰσιν), ἀνομοιογενῆ δέ, ὡς ὅταν διαιροῦντες διαχωρίσωμεν τὸν δέκα ἀριθμὸν ἀπὸ τῆς γραμματικῆς, λέγοντες ὅτι ἡ μὲν γραμματικὴ ὑπὸ τὸ ποιὸν ἀνάγεται (ποιότης γάρ τίς ἐστιν), ὁ δὲ δέκα ἀριθμὸς ὑπὸ τὸ ποσόν (ποσότης γάρ ἐστι)· ταῦτα δὲ ἀνομοιογενῆ εἰσιν· οὐκ ἀνάγονται γὰρ ὑπὸ τὸ αὐτὸ γένος· ὁ γὰρ δέκα ἀριθμὸς ὑπὸ τὸν ἀριθμὸν ἀνάγεται, ὁ δὲ ἀριθμὸς ὑπὸ τὸ ποσὸν ἀνάγεται· ἡ δὲ γραμματικὴ οὐκ ἀνάγεται ὑπὸ τὸ ποσόν, ἀλλ' ὑπὸ τὴν καθόλου τέχνην, ἡ δὲ τέχνη ὑπὸ τὴν ἐπιστήμην, ἡ δὲ ἐπιστήμη ὑπὸ τὴν ἕξιν, ἡ δὲ ἕξις ὑπὸ τὴν ποιότητα.

Τούτου οὖν οὕτως ἔχοντος εἴπωμεν ὅρον τῆς φιλοσοφίας καὶ διαίρεσιν αὐτῆς ποιησώμεθα. ἀλλὰ ζητήσωμεν ποῖον δεῖ πρῶτον ποιῆσαι· ἆρα ὅρον αὐτῆς ἀποδοῦναι δεῖ πρῶτον ἢ διαίρεσιν αὐτῆς ποιήσασθαι; καὶ ἔστιν εἰπεῖν ὅτι πρῶτον δεῖ | ὁρίσασθαι αὐτὴν καὶ εἶθ' οὕτως διελεῖν αὐτὴν 131v διὰ τοιαύτην αἰτίαν· ὁ ὅρος ἀναλογεῖ τῇ μονάδι, ἡ δὲ διαίρεσις τῷ πλήθει· ὥσπερ οὖν ἡ μονὰς προτερεύει τοῦ πλήθους, τὸν αὐτὸν τρόπον καὶ ὁ ὅρος ἀναλογῶν τῇ μονάδι προτερεύει τῆς διαιρέσεως τῆς ἀναλογούσης τῷ πλήθει· ὅτι μὲν γὰρ ὁ ὅρος ἀναλογεῖ τῇ μονάδι ἡ δὲ διαίρεσις τῷ πλήθει, δῆλον ἐντεῦθεν· ὥσπερ ἡ μονὰς ἕν τί ἐστι καὶ μία φύσις, τὸν αὐτὸν τρόπον καὶ ὁ ὅρος τὰ πολλὰ ἕν τι ποιεῖ καὶ μίαν φύσιν ἀποτελεῖ (καὶ γὰρ τὸ ζῷον λογικὸν θνητὸν νοῦ καὶ ἐπιστήμης δεκτικὸν ἕν τι καὶ μίαν φύσιν ἀποτελεῖ, τὸν ἄνθρωπον), ἡ δὲ διαίρεσις τοὐναντίον τὸ ἓν πολλὰ ποιεῖ· καὶ γὰρ λαμβάνουσα τὴν οὐσίαν διαιρεῖ αὐτὴν εἰς σῶμα καὶ ἀσώματον καὶ τὸ σῶμα εἰς ἔμψυχον καὶ ἄψυχον, καὶ τὰ ἑξῆς ὁμοίως.

---

2 γὰρ] δὲ V 4. 5 τούτου χάριν—ἀναλογεῖ om. KT 5 ante δῆλον add. καὶ KT 6 καὶ τὰ ἀνομοιογενῆ ante διακρίνει colloc. T: ante καὶ τὰ ὁμοιογενῆ V 11 μετάλων T 12. 13 ἀνομοιογ. ἀπ' ἀλλ. καὶ τὰ ὁμοιογ. colloc. V 13 ὁμοιογενῆ om. V διαιροῦμεν V 14 εἰς θνητὸν V διακρίνωμεν K 15 ante ὁμοιογ. add. πάντα T 16 διαχωρήσωμεν V 19—21 ποσότης—ὁ δὲ ἀριθμὸς ὑπὸ τὸ ποσόν om. KT 32 ὥσπερ δὲ V 33 καὶ μίαν φύσιν ἀποτελεῖ iteratum del. K

Digitized by Google

Ἔλθωμεν οὖν καὶ ὁρισώμεθα τὴν φιλοσοφίαν. ἀλλ' ἐπειδὴ ὥσπερ ἀδύνατόν ἐστί τινα πλέξαι συλλογισμόν, εἰ μὴ πρότερον μάθῃ τί ἐστι συλλογισμὸς καὶ πόθεν γίνεται, τὸν αὐτὸν τρόπον καὶ ὁρίσασθαί τι ἀδύνατόν ἐστί τινα, εἰ μὴ πρότερον μάθῃ τί ἐστιν ὅρος καὶ πόθεν λαμβάνεται· τοῦτο γινώσκοντες ἐννέα κεφάλαια παραδίδομεν. καὶ πρῶτον μέν ἐστι κεφάλαιον ἐν ᾧ λέγομεν τί ἐστιν ὁρισμός, δεύτερον δὲ ἐν ᾧ λέγομεν τί διαφέρει ὁρισμὸς ὅρου καὶ ὑπογραφῆς καὶ ὑπογραφικοῦ ὁρισμοῦ, τρίτον ἐν ᾧ λέγομεν πόθεν λέγεται ὁρισμός, τέταρτον ἐν ᾧ λέγομεν πόθεν λαμβάνονται οἱ ὁρισμοί, πέμπτον ἐν ᾧ λέγομεν ποῖος τέλειος καὶ ποῖος ἀτελὴς ὁρισμὸς καὶ τίς ἡ κακία καὶ τίς ἡ ὑγίεια τοῦ ὁρισμοῦ, ἕκτον ἐν ᾧ λέγομεν πόσοι ὁρισμοὶ τῆς φιλοσοφίας, ἕβδομον ἐν ᾧ λέγομεν διὰ τί τοσοῦτοί εἰσιν οἱ τῆς φιλοσοφίας ὁρισμοὶ καὶ μήτε πλείους μήτε ἐλάττους, ὄγδοον ἐν ᾧ λέγομεν τὴν τάξιν αὐτῶν, ἔνατον ἐν ᾧ λέγομεν τίνες ἐφεῦρον τοὺς ὁρισμοὺς τούτους. ἐν οἷς καὶ ἡ παροῦσα πρᾶξις.

Πρᾶξις ε'.

Ἀρξώμεθα τοῦ πρώτου κεφαλαίου καὶ εἴπωμεν τί ἐστιν ὁρισμός. ἰστέον ὅτι ὁρισμός ἐστι λόγος σύντομος δηλωτικὸς τῆς φύσεως τοῦ ὑποκειμένου πράγματος. ἀλλ' ἐπειδή, ὡς μαθησόμεθα, οἱ ὅροι εἰώθασιν ἀπὸ γένους καὶ συστατικῶν διαφορῶν λαμβάνεσθαι, εἴπωμεν ποία λέξις ἐν τῷ παρόντι ὁρισμῷ ἀναλογεῖ τῷ γένει καὶ ποία ταῖς συστατικαῖς διαφοραῖς. ἀλλ' ἵνα σαφὴς ἡμῖν ἡ διδασκαλία γένηται, χρησώμεθα παραδείγματι τῷ ὅρῳ τοῦ ἀνθρώπου. ἰστέον ὅτι ὁ ἄνθρωπός ἐστι ζῷον λογικὸν θνητὸν νοῦ καὶ ἐπιστήμης δεκτικόν· ἰδοὺ ἐνταῦθα τὸ μὲν ζῷον ἀντὶ γένους εἴληπται (κοινότερον γάρ ἐστι καὶ κατὰ πλειόνων φέρεται· φέρεται γὰρ κατά τε ἀνθρώπου καὶ κυνὸς καὶ ἵππου καὶ τῶν τοιούτων), αἱ δὲ λοιπαὶ λέξεις ἀντὶ συστατικῶν διαφορῶν | παραλαμβάνονται. οὕτως οὖν καὶ ἐν τῷ 132r
ὁρισμῷ τούτῳ τοῦ ὁρισμοῦ ὁ μὲν 'λόγος' ἀντὶ γένους εἴληπται (κοινότερος γάρ ἐστι καὶ κατὰ πλειόνων φέρεται· φέρεται γὰρ κατά τε τοῦ ἐνδιαθέτου καὶ προφορικοῦ), αἱ δὲ λοιπαὶ λέξεις ἀντὶ συστατικῶν διαφορῶν παραλαμβάνονται. ἔλθωμεν οὖν καὶ ἐξηγησώμεθα. ἰστέον ὅτι ὁ λόγος πρόσκειται πρὸς ἀντιδιαστολὴν τοῦ ὀνόματος· καὶ γὰρ καὶ τὸ ὄνομα δηλοῖ τὴν φύσιν τοῦ ὑποκειμένου πράγματος, οἷον τὸ ἄνθρωπος, καὶ ὅπερ ὁ ὅρος ποιεῖ διὰ πλειόνων λέξεων, τοῦτο τὸ ὄνομα ποιεῖ διὰ μιᾶς λέξεως. ὅθεν

---

3 post γίνεται add. συλλογισμός V 3. 4 ὁρίσασθαί τινα ἀδ. ἐστι (τι om.) V
4 πρότερον om. K 5 post ἐννέα add. τινὰ V 6 δὲ om. T 9 ποῖος τέλειος om. V 11 post φιλ. add. εἰσὶν V εἰσιν om. T 11. 12 οἱ ὁρ. τῆς φιλ. colloc. V 13 ἔνατον KV 14 ἐν οἷς—πρᾶξις om. TV 18 εἰώθασιν] συνίστανται (λαμβάνεσθαι v. 19 om.) V 22 ὁ om. K 27 τοῦ ὁρισμοῦ ὁ μὲν λόγος scripsi: ὁ τοῦ ὁρισμοῦ μὲν λόγος K: ὁ τοῦ ὁρισμοῦ λόγος T: τοῦ ὁρισμοῦ μὲν λόγος K
29 καὶ τοῦ προφορ. V 30 ὁ om. KT 31 καὶ (post γὰρ) om. K

Digitized by Google

καὶ ἀνθορίζονται· ὄνομα μὲν γάρ, φάσιν, ἐστὶν ὅρος συνεσταλμένος, τοῦτ' ἔστι κατὰ σύνοψιν ἤγουν ἐν συντόμῳ, ὅρος δέ ἐστιν ὄνομα ἐξηπλωμένον. ἵνα οὖν χωρισθῇ τὸ ὄνομα, πρόσκειται λόγος. καὶ εἰ ἄρα ὅπερ ποιεῖ τὸ ὄνομα, ποιεῖ καὶ ὁ ὅρος (καὶ γὰρ καὶ τὸ ὄνομα καὶ ὁ ὅρος τὴν φύσιν τοῦ
5 ὑποκειμένου πράγματος δηλοῦσι), διὰ τί ἐπενοήθη ὁ ὅρος; καὶ λέγομεν διὰ τὸ γνῶναι ἡμᾶς τὰς συστατικὰς διαφοράς, τοῦτ' ἔστι τὰ συστατικὰ τοῦ ὑποκειμένου πράγματος· ἐὰν μὲν γὰρ εἴπωμεν ἄνθρωπος, οὐ γινώσκομεν τὰς συστατικὰς διαφοράς, ἐὰν δὲ εἴπωμεν ζῷον λογικὸν καὶ τὰ ἑξῆς, οἴδαμεν ταύτας. 'σύντομος' δὲ πρόσκειται διὰ τοὺς ἐκτεταμένους λόγους, οἷον διὰ
10 τὸν Περὶ στεφάνου, καὶ τοὺς διηγηματικοὺς λόγους· οὗτοι γὰρ λόγοι εἰσίν, ἀλλ' οὐ σύντομοι. 'δηλωτικὸς δὲ τῆς φύσεως τοῦ ὑποκειμένου πράγματος' πρόσκειται ἢ διὰ τὰ ἀποφθέγματα οἷον διὰ τὸ 'μηδὲν ἄγαν' καὶ 'γνῶθι σαυτόν' (ταῦτα γὰρ λόγοι εἰσὶν καὶ σύντομοι, ἀλλ' οὐ δηλοῦσι τὴν φύσιν τοῦ ὑποκειμένου πράγματος), ἢ διὰ τὰς ὑπογραφάς· αὗται γὰρ οὐ δηλοῦσι
15 τὴν φύσιν τοῦ ὑποκειμένου πράγματος ἀλλὰ τὰ περὶ τὴν φύσιν καὶ τὰ παρεπόμενα αὐτῇ, οἷον ὡς ὅταν εἴπω 'ἄνθρωπός ἐστιν ὀρθοπεριπατητικὸν γελαστικὸν πλατυώνυχον'· ταῦτα γὰρ τὰ παρεπόμενα αὐτῷ δηλοῦσιν. ἐν οἷς τὸ πρῶτον κεφάλαιον.

Ἔλθωμεν δὲ καὶ ἐπὶ τὸ δεύτερον καὶ εἴπωμεν τί διαφέρει ὁρισμὸς
20 ὑπογραφῆς καὶ ὅρου καὶ ὑπογραφικοῦ ὁρισμοῦ. ἰστέον ὅτι ὁρισμὸς ὑπογραφῆς διαφέρει, ὅτι ὁ μὲν ὁρισμὸς ἐξ οὐσιωδῶν φωνῶν λαμβάνεται καὶ τὴν οὐσίαν αὐτὴν καὶ τὴν φύσιν τοῦ ὑποκειμένου πράγματος δηλοῖ, οἷον ἄνθρωπός ἐστι ζῷον λογικὸν θνητὸν νοῦ καὶ ἐπιστήμης δεκτικόν, ἡ δὲ ὑπογραφὴ ἀπὸ συμβεβηκότων λαμβάνεται καὶ τὰ παρεπόμενα τῷ ὑποκει-
25 μένῳ πράγματι καὶ τὰ περὶ τὴν φύσιν αὐτοῦ δηλοῖ, οἷον ὡς ὅταν εἴπω 'ἄνθρωπός ἐστιν ὀρθοπεριπατητικὸν γελαστικὸν πλατυώνυχον'. ἐπειδὴ δὲ εἰρήκαμεν ὅτι ὁ μὲν ὁρισμὸς ἀπὸ οὐσιωδῶν φωνῶν λαμβάνεται, ἡ δὲ ὑπογραφὴ ἀπὸ συμβεβηκότων, μάθωμεν τί ἐστιν οὐσιῶδες καὶ τί συμβεβηκός. | ἰστέον ὅτι οὐσιῶδές ἐστιν ὃ παρὸν μὲν σώζει τὸν ἄνθρωπον, ἀπὸν δὲ φθεί- 132v
30 ρει, ὥσπερ τὸ λογικόν· τοῦτο γὰρ παρὸν μὲν σώζει τὸν ἄνθρωπον, ἀπὸν δὲ φθείρει· ἀδύνατον γὰρ εἶναι ἄνθρωπον ⟨καὶ⟩ μὴ εἶναι λογικόν. συμβεβηκὸς δέ ἐστιν ὃ οὔτε παρὸν σώζει οὔτε ἀπὸν φθείρει αὐτόν, ὥσπερ τὸ λευκόν· τοῦτο γὰρ οὔτε παρὸν σώζει οὔτε ἀπὸν φθείρει τὸν ἄνθρωπον·

---

1 post ἀνθορ. add. οὕτως T φησιν V 5 λέγω K: λέγει T post λέγ. add. ὅτι διὰ τοῦτο ἐπενοήθη ὁ ὅρος V 7 μὲν γάρ om. K: μὲν om. T 8 post λογικὸν add. θνητὸν V 8. 9 οἴδαμεν ταύτας] γινώσκομεν τὰς συστατικὰς διαφοράς V 9 σύντομον T 10 Περὶ στ.] Demosthenis orationem spectat 11 οὐ] οὖν V 13. 14 δηλοῦσι φύσιν ὑποκ. (τὴν et τοῦ om.) V 14. 15 ἢ διὰ τὰς ὑπογρ.—πράγματος om. KT 16 εἴπωμεν V (cf. v. 25) 17. 26 πλατυόνυχον KT 17 αὐτῷ δηλ.] δηλοῦσιν αὐτό V οἷς] τούτοις T 20 καὶ (ante ὅρου) om. V post ὅτι add. ὁ V 22 δηλοῖ post φύσιν colloc. TV 24 ἑπόμενα V 25 αὐτοῦ scripsi: αὐτὴν libri 26 ὀρθοπεριπατηκὸν V πλατ. γελ. colloc. V 29 τὸν ἄνθρωπον] an τὸ ὑποκείμενον? 31 καὶ addidi 32 αὐτόν] an αὐτό? (cf. v. 29) 32. 33 ὥσπερ—τὸν ἄνθρωπον om. KT

Digitized by Google

δύναται γὰρ ἄνθρωπος καὶ εἶναι λευκὸς καὶ μὴ εἶναι λευκός· οὐδὲ γὰρ ἐὰν μή ἐστι λευκός, παρὰ τοῦτο οὐκ ἔστιν ἄνθρωπος. καὶ πάλιν ὥσπερ τὸ ὀρθοπεριπατητικὸν καὶ πλατυώνυχον· ταῦτα γὰρ οὔτε παρόντα σώζουσιν οὔτε ἀπόντα φθείρουσι τὸν ἄνθρωπον· κἂν γὰρ μή ἐστιν ὀρθοπεριπατητικὸν ὁ
5 ἄνθρωπος, ἀλλὰ τετραποδίζει, καὶ εἰ μὴ ἔχει ὄνυχας, οὐδὲν ἧττον ἄνθρωπός ἐστι.

Ταῦτα εἰπόντες ἔλθωμεν καὶ εἴπωμεν τί διαφέρει ὁρισμοῦ ὅρος. ἰστέον ὅτι ὥσπερ ὁ ἄνθρωπος καὶ τὸ ζῷον καθολικῷ καὶ μερικῷ διαφέρουσιν ἀλλήλων (καὶ γὰρ ὁ μὲν ἄνθρωπος μερικώτερός ἐστι, τὸ δὲ ζῷον καθολι-
10 κώτερον· εἴ τι μὲν γὰρ ἄνθρωπος, τοῦτο καὶ ζῷον· πᾶς γὰρ ἄνθρωπος ζῷόν ἐστιν· οὐκ εἴ τι δὲ ζῷον, τοῦτο καὶ ἄνθρωπος· οὐ πᾶν γὰρ ζῷον ἄνθρωπός ἐστιν· οὐ μόνον γὰρ ἄνθρωπός ἐστι ζῷον ἀλλὰ καὶ ἵππος καὶ βοῦς καὶ κύων), τὸν αὐτὸν δὴ τρόπον ὁ ὁρισμὸς καὶ ὁ ὅρος τῷ καθολικῷ διαφέρουσι καὶ τῷ μερικῷ· καὶ γὰρ ὁ μὲν ὁρισμὸς μερικώτερός ἐστιν, ὁ
15 δὲ ὅρος καθολικώτερος· εἴ τι μὲν γὰρ ὁρισμός, τοῦτο καὶ ὅρος, οὐκ εἴ τι δὲ ὅρος, τοῦτο καὶ ὁρισμός· ὁ γὰρ ὅρος οὐ μόνον τὸν ὁρισμὸν δηλοῖ, τοῦτ' ἔστι τὸν λόγον τὸν σύντομον τὸν δηλωτικὸν τῆς φύσεως τοῦ ὑποκειμένου πράγματος, ἀλλὰ καὶ τὸ ὁροθέσιον καὶ κατὰ τὸν Ἀριστοτέλην εἰς ὃν ἀναλύεται ἡ πρότασις· λέγει γὰρ ὁ Ἀριστοτέλης ὅτι 'ὅρον τόνδε καλῶ εἰς ὃν ἀναλύεται
20 ἡ πρότασις, τό τε κατηγορούμενον καὶ καθ' οὗ κατηγορεῖται'. οἷον τὸ 'Σωκράτης περιπατεῖ' πρότασίς ἐστι· τοῦτο ἀναλύεται εἰς τὸ Σωκράτης καὶ εἰς τὸ περιπατεῖ· ἑκάτερον οὖν αὐτῶν, ὡς φησιν ὁ Ἀριστοτέλης, ὅρος καλεῖται· ὅρος οὖν ἐστι καὶ τὸ Σωκράτης καὶ τὸ περιπατεῖ. κατὰ οὖν τὸ καθολικὸν καὶ μερικὸν διαφέρουσιν ἀλλήλων ὁ ὁρισμὸς καὶ ὁ ὅρος. πολλάκις
25 δὲ καὶ τὸν ὁρισμὸν ὅρον καλοῦμεν τῷ καθολικῷ ὀνόματι κεχρημένοι, ὥσπερ καὶ τὸν ἄνθρωπον τῷ γενικῷ ὀνόματι ζῷον καλοῦμεν.

Μαθόντες οὖν τί διαφέρει ὁρισμὸς ὅρου, ἔλθωμεν καὶ εἴπωμεν τί διαφέρει ὁρισμὸς ὑπογραφικοῦ ὁρισμοῦ. ἰστέον ὅτι διαφέρει ὁρισμὸς ὑπογραφικοῦ ὁρισμοῦ, ὅτι ὁ μὲν ὁρισμὸς μονοειδής ἐστι καὶ ἐξ οὐσιωδῶν
30 φωνῶν μόνων εἴληπται, οἷον ἄνθρωπός ἐστι ζῷον λογικὸν θνητὸν νοῦ καὶ ἐπιστήμης δεκτικόν, ὁ δὲ ὑπογραφικὸς ὁρισμὸς μικτός ἐστι· καὶ γὰρ εἴληπται ἔκ τε οὐσιωδῶν καὶ συμβεβηκότων καί, ὡς ἄν τις εἴποι, ἐξ ὁρισμοῦ καὶ ὑπογραφῆς σύγκειται, ὡς ὅταν εἴπωμεν 'ἄνθρωπός ἐστι ζῷον λογικὸν θνητὸν νοῦ καὶ ἐπιστήμης δεκτικὸν ὀρθοπεριπατητικὸν | πλατυώνυχον'. καὶ ἰστέον 133r
35 ὅτι πρὸς μὲν τὸ γενέσθαι ὁρισμὸν δεῖ πάσας τὰς φωνὰς οὐσιώδεις εἶναι, οἷον ἄνθρωπός ἐστι ζῷον λογικὸν θνητὸν νοῦ καὶ ἐπιστήμης δεκτικόν, πρὸς δὲ τὸ γενέσθαι ὑπογραφικὸν ὁρισμὸν ἀρκεῖ μία μόνη προστεθεῖσα φωνὴ

---

1 ὁ ἄνθρ. T ἐὰν] ἂν V 3 πλατυόνυχον KT 5 εἰ om. V
13 ὁ (ante ὅρος) om. KT 14 διαφέρουσι scripsi: διαφέρει libri 15 pr. εἴ τι] ἤτοι T
18 Ἀριστοτέλη TV (cf. Anal. pr. A 1 p. 24b 16) ὃν] ὃ V 23 post οὖν ἐστι add. τοῦτ' ἔστι V 24 καὶ τὸ μερικὸν T 28. 29 alt. ὁρισμὸς ὑπογραφικοῦ ὁρισμοῦ om. KT 32 post ὡς add. ὅτι V εἴπῃ T 33 ante ὡς add. οἷον V
34 πλατυόνυχον KT 36 νοῦ καὶ ἐπ. δ.] καὶ τὰ λοιπὰ KT 37 προστεθεῖσα] γρ. καὶ παρατραπεῖσα in mrg. add. V²

Digitized by Google

συμβεβηκός τι δηλοῦσα, οἷον ἄνθρωπός ἐστι ζῷον λογικὸν θνητὸν νοῦ καὶ ἐπιστήμης δεκτικὸν ὀρθοπεριπατητικόν. καὶ ὥσπερ πρὸς μὲν τὸ γενέσθαι ἁρμονίαν δεῖ πάσας τὰς χορδὰς εὐαρμόστους εἶναι, πρὸς δὲ τὸ γενέσθαι ἀναρμοστίαν ἀρκεῖ καὶ μία μόνη χορδὴ παρατραπεῖσα, καὶ πάλιν ὥσπερ πρὸς μὲν τὸ γενέσθαι ὑγείαν δεῖ συμμετρίαν εἶναι τῶν κράσεων καὶ σύνθεσιν κατὰ φύσιν τῶν μορίων, πρὸς δὲ τὸ γενέσθαι νόσον ἀρκεῖ καὶ μία κρᾶσις παρατραπεῖσα καὶ ἓν μόριον μὴ ἔχον κατὰ φύσιν· τὸν αὐτὸν δὴ τρόπον πρὸς μὲν τὸ γενέσθαι ὁρισμὸν δεῖ πάσας τὰς φωνὰς οὐσιώδεις εἶναι, πρὸς δὲ τὸ γενέσθαι ὑπογραφικὸν ὁρισμὸν ἀρκεῖ καὶ μία μόνη προστεθεῖσα φωνὴ ἐπουσιῶδές τι δηλοῦσα. ταῦτα μὲν ἐν τούτοις.

Ἀποροῦσι δέ τινες πρὸς τὸ πρῶτον κεφάλαιον λέγοντες ὅτι κακῶς τοῦ ὁρισμοῦ ὁρισμὸν ἀποδεδώκατε· ἀπαιτοῦμεν γὰρ ὑμᾶς κἀκείνου τοῦ ὁρισμοῦ ἄλλον ὁρισμὸν καὶ τοῦ ἄλλου ἄλλον, καὶ ἐπ' ἄπειρον τὸ τοιοῦτον ἐκφέρεται καὶ οὐδέποτε εἰσόμεθα τί ἐστιν ὁρισμός. ἀπολογοῦνται οὖν τινες λέγοντες ὅτι οὐχ ὡς ὁρισμὸν ὡρισάμεθα αὐτόν, ἀλλ' ὡς ὁριστόν, ἤγουν ὡς πρᾶγμα ὑποκείμενον. πρὸς οὓς ἔστιν εἰπεῖν ὅτι οὐδὲν ἧττον ἡ ἀπορία ἔμεινεν· ἐροῦμεν γὰρ ἡμεῖς ὅτι κἀκείνου τοῦ ὁρισμοῦ ἀποδοτέον ὅρον ὡς ὁριστοῦ καὶ πάλιν τοῦ ἄλλου ὁρισμοῦ ὡς ὁριστοῦ, καὶ τοῦτο ὁμοίως ἐπ' ἄπειρον ἐκφέρεται. ἔστιν οὖν εἰπεῖν ὅτι ὥσπερ εἰσί τινα αὐτομέτρητα καὶ ἑτερομέτρητα (καὶ γὰρ ὁ δέκα ἀριθμὸς καὶ αὐτομέτρητός ἐστι καὶ ἑτερομέτρητος, καὶ αὐτομέτρητος μὲν καθὸ ἑαυτὸν μετρεῖ κατὰ τὰς ἐν αὐτῷ μονάδας, ἑτερομέτρητος δὲ καθὸ ἄλλον ἀριθμὸν μετρεῖ· μετρεῖ γὰρ τὸν εἴκοσι κατὰ τὸν δύο ἀριθμόν· δὶς γὰρ δέκα εἴκοσι), τὸν αὐτὸν δὴ τρόπον ἔστι καὶ αὐθόριστος ὅρος καὶ ἑτερόριστος· ἑτερόριστος μὲν ὅτι πάντας τοὺς ἄλλους ὁρισμοὺς ὁρίζεται, αὐθόριστος δὲ ὅτι καὶ ἑαυτὸν σὺν ἐκείνοις ὁρίζεται. καὶ ὥσπερ ὁ ἄνθρωπος ὁριζόμενος ἄλλον ἄνθρωπον ὁρίζεται λέγων ὅτι ἄνθρωπός ἐστι ζῷον λογικὸν θνητὸν νοῦ καὶ ἐπιστήμης δεκτικόν, καὶ οὐ μόνον πάντας τοὺς ἀνθρώπους ὡρίσατο ἀλλὰ καὶ ἑαυτὸν ὡρίσατο ἅτε δὴ ἄνθρωπον ὄντα, οὕτω δὴ καὶ ὁ ὁρισμὸς τοῦ ὁρισμοῦ οὐ μόνον τοὺς ἄλλους ὁρισμοὺς ὡρίσατο, ἀλλὰ καὶ ἑαυτὸν ὡρίσατο ἅτε δὴ ὁρισμὸν ὄντα. καὶ ταῦτα μὲν ἐν τούτοις.

Ἀποροῦσι δέ τινες | πρὸς τὸ δεύτερον κεφάλαιον λέγοντες· εἰ ἄρα ἡ οὐσία 133v τιμιωτέρα ἐστὶ τῶν συμβεβηκότων, ὁ δὲ ὁρισμὸς ἐξ οὐσιωδῶν φωνῶν εἴληπται, ἡ δὲ ὑπογραφὴ ἀπὸ συμβεβηκότων, διὰ τί ὑπογραφικὸν ὁρισμὸν λέγομεν τὸ χεῖρον προτάξαντες καὶ μὴ ὁρισμὸν ὑπογραφικόν; καὶ ἀπολογοῦνταί τινες λέγοντες ὅτι ἐπειδὴ κατὰ τὸν ποιητὴν τὰ χείρονα νικᾷ καὶ μάλιστα ἐν ταῖς ὀνομασίαις (ἡμίονον γὰρ λέγομεν ἐκ τοῦ χείρονος ὀνομάζοντες καὶ οὐχ

---

2 τὸ om. T 9. 10 προστεθεῖσα om. K 10 post φωνὴ add. καὶ V ταῦτα μὲν ἐν τούτοις om. V 12 ὑμᾶς] ἡμεῖς K: ἡμᾶς T 16 post ἔμεινεν add. ἀπορία πάλιν T 17 ἡμεῖς] ὑμῖν K: ἡμῖν T 17. 18 καὶ πάλιν—ὁριστοῦ om. T 19 post αὐτομ. add. ἐστι K καὶ ἑτερομέτρητα om. K 24 ὅρος] ὅριστος V[1] post ὅρος add. ἐστὶ V ἑτεροόριστος (utrobique) KT: (altero loco) V ante alt. ἑτερ. add. καὶ K 27 θνητὸν—δεκτικόν] καὶ τὰ λοιπά KT καὶ (ante οὐ) om. V 29 post μόνον add. γὰρ V 32. 33 ὁ δὲ ὁρισμός—συμβεβηκότων om. K 35 κατὰ τὸν ποιητὴν] Hom. A 576 σ 404

Digitized by Google

ἡμίππον), τούτου χάριν ὑπογραφικὸν ὁρισμὸν λέγομεν τὸ χεῖρον προτάξαντες. ταῦτα μὲν οὗτοι. ἔστι δὲ εἰπεῖν ὅτι πιθανή ἐστιν ἡ λύσις, πλὴν κακῶς ἠπόρησαν οἱ ἀπορήσαντες, πρῶτον μὲν ὅτι οὐδεὶς τῶν παλαιῶν εἶπεν ὅτι ὑπογραφικὸν ὁρισμὸν δεῖ λέγειν, καὶ οὐχ ὁρισμὸν ὑπογραφικόν, δεύτερον δὲ
5 εἴτε οὕτως εἴπωμεν εἴτε οὕτως, οὐδὲν ἡ σημασία λυμαίνεται· λέγει γὰρ ὁ Ἀριστοτέλης ὅτι τὰ ὀνόματα καὶ τὰ ῥήματα μετατιθέμενα τὸ αὐτὸ σημαίνουσι· καὶ γὰρ τὸ 'Σωκράτης περιπατεῖ' καὶ τὸ 'περιπατεῖ Σωκράτης' τὸ αὐτὸ σημαίνουσι καὶ τὸ Πλάτωνος Ἀλκιβιάδης καὶ Ἀλκιβιάδης Πλάτωνος τὸ αὐτὸ σημαίνουσιν. ἐν οἷς σὺν θεῷ ἡ πρᾶξις.

10 Πρᾶξις ς'.

Ἀρξώμεθα τοῦ τρίτου κεφαλαίου τοῦ λέγοντος πόθεν λέγεται ὁρισμός. ἰστέον ὅτι ὁρισμὸς λέγεται ἀπὸ μεταφορᾶς τῶν ἐν τοῖς γηδίοις ὁροθεσίων· καὶ γὰρ οἱ ἀρχαῖοι ἑκατέραν ἀμετρίαν ἐκφεύγοντες, τήν τε πλεονεξίαν καὶ τὴν μειονεξίαν, ἐφεῦρον τὰ ὁροθέσια, ἵνα διὰ τούτων τῶν μὲν οἰκείων
15 ἀπολαύωσι, τῶν δὲ ἀλλοτρίων ἀπέχωνται. οὕτως οὖν καὶ ὁ ὁρισμὸς περιορίζει τὸ πρᾶγμα τὸ ὑποκείμενον καὶ χωρίζει αὐτὸ ἐκ τῶν ἀλλοτρίων. οἷον ἐπὶ τοῦ ὁρισμοῦ τοῦ ἀνθρώπου γυμνάσωμεν τὸν λόγον· ἄνθρωπός ἐστι ζῷον λογικὸν θνητὸν νοῦ καὶ ἐπιστήμης δεκτικόν· ἰδοὺ διὰ τοῦ εἰπεῖν ζῷον ἐχώρισα αὐτὸν ἐκ τῶν μὴ ὄντων ζῴων, οἷον ἐκ τῶν ἀψύχων, διὰ δὲ τοῦ εἰπεῖν
20 λογικὸν ἐκ τῶν μὴ ὄντων λογικῶν, οἷον τῶν ἀλόγων, διὰ δὲ τοῦ εἰπεῖν θνητὸν ἐκ τῶν ἀθανάτων, διὰ δὲ τοῦ εἰπεῖν νοῦ καὶ ἐπιστήμης δεκτικὸν ἐκ τῶν μακραιώνων νυμφῶν, τοῦτ' ἔστιν ἐκ τῶν θνητῶν δαιμόνων· εἰσὶ γὰρ δαίμονες θνητοὶ αἱ μακραίωνες νύμφαι, αἵτινες πολλὰ ἔτη ζῶσιν· καὶ γὰρ ζῷά εἰσι καὶ θνητὰ καὶ λογικά, ἀλλ' οὐκ εἰσι νοῦ καὶ ἐπιστήμης δεκτικά· οὐ
25 μανθάνουσι γὰρ ἀλλ' οἴκοθεν ἔχουσι τῇ φύσει τὴν γνῶσιν καὶ πᾶσαν ἐπιστήμην. μόνος δὲ ὁ ἄνθρωπός ἐστι νοῦ καὶ ἐπιστήμης δεκτικός· καὶ γὰρ μανθάνει τὴν κατ' ἐνέργειαν γνῶσιν. ἰστέον δὲ ὅτι ἐν τοῖς ὅροις ἀντιπεπονθότως ἔχουσιν αἱ λέξεις πρὸς τὰ πράγματα· ἡνίκα μὲν γὰρ ὁ ὅρος πλεονάσῃ ταῖς λέξεσιν, ἐλλείπει τοῖς πράγμασιν, οἷον ἐὰν εἴπω | 'ἄνθρωπός ἐστι 134r
30 ζῷον λογικὸν θνητὸν νοῦ καὶ ἐπιστήμης δεκτικὸν γραμματικόν', ἐπλεόνασα μὲν ταῖς λέξεσιν, ἔλειψα δὲ τοῖς πράγμασιν (οὐδὲ γὰρ πάντα ἄνθρωπον ὡρισάμην ἀλλὰ τὸν γραμματικὸν μόνον), ἡνίκα δὲ ἐλλείψῃ ταῖς λέξεσι, πλεονάζει τοῖς πράγμασιν, οἷον ἐὰν εἴπω 'ἄνθρωπός ἐστι ζῷον λογικὸν θνη-

---

2 ὅτι] δ V ἐστιν om. V ἡ λύσις] ἀπολογία V 5 οὕτως . . οὕτως] ὁρισμὸν ὑπογραφικὸν . . ὑπογραφικὸν ὁρισμόν V λυμ. ἡ σημασία colloc. V
5. 6 Ἀριστ.] De interpr. 10 p. 20b1 8 σημαίνει KV (cf. v. 9) 9 σημαίνει T
ἐν οἷς σὺν θεῷ ἡ πρᾶξις om. TV 12 ὁρίων ἤτοι ὁροθεσίων T 13 οἱ γὰρ ἀρχαῖοι (καὶ om.) T 18 τοῦ] τὸ T 18. 19 ἐχωρίσαμεν V 20 μὴ ὄντων—οἷον τῶν om. KT 23 post θνητοὶ add. καίπερ V 23. 24 καὶ γὰρ ζ. εἰσὶ] εἰσὶ γὰρ ζ. KT 24 καὶ θν. καὶ λ.] λ. καὶ θν. T οὐκ εἰσὶ] οὐχὶ K: οὐχὶ καὶ T
28 πλεονάσει KV 31 an ἐνέλειψα? (cf. p. 16,1) 32 ἐλλείψει KV

Digitized by Google

τόν' ἐνέλιπον μὲν ταῖς λέξεσιν, ἐπλεόνασα δὲ τοῖς πράγμασιν· οὐ γὰρ μόνον τὸν ἄνθρωπον ὡρισάμην, ἀλλὰ καὶ τὰς μακραίωνας νύμφας· καὶ ταῦτα γὰρ ζῷά εἰσι καὶ λογικὰ καὶ θνητά. καὶ ὡς ἔλεγεν Ὀλυμπιόδωρος ὁ φιλόσοφος, "θαυμαστόν τι ἐφεῦρεν ἡ φύσις μηχάνημα, ἔνδειαν πλουτοῦσαν καὶ πλοῦτον ὑποχρινόμενον ἔνδειαν". εἰ δέ τις ἀπορεῖ λέγων ὅτι ἐάν, ὡς εἰρήκαμεν, ἡνίκα πλεονάσῃ ταῖς λέξεσιν, ἐλλείπῃ τοῖς πράγμασιν, πῶς ἐὰν εἴπω 'ἄνθρωπός ἐστι ζῷον λογικὸν θνητὸν ἀποθνῆσκον καὶ τὰ ἑξῆς' καὶ πλεονάσω ταῖς λέξεσιν ὁ ὅρος, οὐκ ἐλλείπει τοῖς πράγμασιν (πάντα γὰρ ἄνθρωπον συμπεριέλαβον), λέγομεν ὅτι ἡ προστεθεῖσα λέξις οὐδὲν πλέον σημαίνει τῆς ὑποκειμένης· ταὐτὸν γάρ ἐστιν κατὰ τὴν σημασίαν τὸ θνητόν καὶ τὸ ἀποθνῆσκον. ἐπειδὴ οὖν οὐδὲν πλέον σημαίνει ἡ προστεθεῖσα λέξις, τούτου χάριν οὐκ ἐποίησεν ἔνδειαν πραγμάτων. ταῦτα μὲν καὶ τὸ τρίτον κεφάλαιον.

Ἔλθωμεν δὲ καὶ ἐπὶ τὸ τέταρτον καὶ εἴπωμεν πόθεν λαμβάνονται οἱ ὁρισμοί. ἰστέον ὅτι οἱ ὁρισμοὶ λαμβάνονται ἢ ἀπὸ τοῦ ὑποκειμένου ἢ ἀπὸ τοῦ τέλους ἢ ἀπὸ τοῦ συναμφοτέρου, τοῦτ' ἔστιν ἀπὸ τοῦ ὑποκειμένου ἅμα καὶ τοῦ τέλους. ἀλλὰ πρῶτον εἴπωμεν τί ἐστιν ὑποκείμενον καὶ τί ἐστι τέλος. ἰστέον ὅτι ὑποκείμενόν ἐστι περὶ ὃ καταγίνεται ἡ τέχνη καὶ περὶ ὃ ἐνεργεῖ, τέλος δὲ οὗ καταστοχάζεται καὶ ᾧ χαρακτηρίζεται καὶ οὗ χάριν πάντα ποιεῖ. οἷον τῆς μὲν τεκτονικῆς ὑποκείμενά εἰσι τὰ ξύλα (περὶ ταῦτα γὰρ καταγίνεται καὶ ἐνεργεῖ), τέλος δὲ τὸ ποιῆσαι σκάμνον ἢ θρόνον ἤ τι τοιοῦτον. καὶ πάλιν τῆς ἀστρονομίας ὑποκείμενά εἰσι τὰ οὐράνια σώματα, τέλος δὲ οὐ τὸ ποιῆσαι ὅμοια τούτοις, ἀλλὰ τὸ εἰδέναι τὴν κίνησιν αὐτῶν. οὕτως οὖν καὶ ἡ φιλοσοφία ἔχει καὶ ὑποκείμενον καὶ τέλος. καὶ ὑποκείμενα μὲν ἔχει πάντα τὰ ὄντα τέλος δὲ τὴν γνῶσιν αὐτῶν, τοῦτ' ἔστιν τὸ εἰδέναι αὐτὰ καὶ διὰ τούτου ὁμοιωθῆναι θεῷ· καὶ γὰρ ὁ φιλόσοφος ὅμοιός ἐστι τῷ θεῷ, ὡς δηλοῖ καὶ ἡ Πυθία λέγουσα περὶ Λυκούργου νομοθέτου τε ὄντος καὶ φιλοσόφου (οἱ γὰρ πάλαι φιλόσοφοι καὶ νομοθέται ἦσαν)·

ἤλυθες, ὦ Λυκόεργε, ἐμὸν ποτὶ πίονα νηόν·
δίζω ἤ σε θεὸν μαντεύσομαι ἠὲ καὶ ἄνδρα.
ἀλλ' ἔμπης σε θεὸν μαντεύ|σομαι, ὦ Λυκόεργε. 134v

διστάζει δὲ οὐχ ὡς ἀγνοοῦσα τί αὐτὸν καλέσῃ καὶ δεομένη εἰς τοῦτο ἄλλης Πυθίας, ἀλλ' ἵνα δείξῃ ἀμφήριστον τὴν τοῦ θεοῦ φύσιν καὶ τὴν τοῦ ἀνδρός, ὅθεν ἐπιφέρει

ἀλλ' ἔμπης σε θεὸν μαντεύσομαι.

---

1. 2 οὐ γὰρ—νύμφας] καὶ γὰρ καὶ τὰς μακρ. νύμφας ὡρισάμην T 3 καὶ (ante λογ.) om. T 4 εὗρεν K 5 ἐὰν om. V 6 ἐλλείπῃ scripsi: ἐλλείπει libri 9 σημ.] δηλοῖ KT 11 οὖν] γὰρ T σημ.] δηλοῖ T 15 ἅμα om. V 18 ᾧ scripsi: οὗ libri 19 μὲν om. KT ὑποκείμενον K 21 καὶ (ante πάλιν) om. T ἀσώματα KT 23 καὶ (post ἔχει) om. T 23. 24 ὑποκείμενον KT 25 τούτου Vat. 2253: τοῦτο KTV 25. 26 καὶ γὰρ—θεῷ om. T 26 Πυθία] cf. Herod. I 65 τοῦ νομοθέτου V 27 τε om. T ὄντος om. K πάλαι] παλαιοὶ K 28 ἤλυθες El.: ἦλθες KTV 27. 29 Λυκόεργε El.: Λυκοῦργε KTV 29 δίζω El.: δίζων KTV ἠὲ καὶ ἄνδρα El.: ἢ ἄνθρωπον ἤ γε καὶ ἄνδρα KT: ἢ ἄνθρωπον εἴ γε καὶ ἄνδρα V 31 αὐτὸν καλέσῃ scripsi: αὐτὸν καλέσει KT: καλέσει αὐτὸν V εἰς τοῦτο om. T 32 ἀναμφήριστον KT τῇ τοῦ θ. φύσει καὶ (καὶ om. T) τὴν τοῦ ἀ. KT 33 ὅθεν καὶ ἐπιφέρει Brand.

Digitized by Google

Ὅτι δὲ τέλειος φιλόσοφος ὅμοιός ἐστι τῷ θεῷ, δῆλον, ἐπειδὴ τοῖς αὐτοῖς χαρακτηρίζεται, οἷσπερ καὶ ὁ θεός· ὥσπερ γὰρ ὁ θεὸς χαρακτηρίζεται τῷ ἀγαθῷ καὶ τῷ γνωστικῷ καὶ τῷ δυνατῷ, ὡς καὶ ἡ ποίησις δηλοῖ λέγουσα ἐπὶ μὲν τοῦ ἀγαθοῦ

θεοὶ δωτῆρες ἐάων,

ἐπὶ δὲ τοῦ γνωστικοῦ

θεοὶ δέ τε πάντα ἴσασιν,

ἐπὶ δὲ τοῦ δυνατοῦ

θεοὶ δέ τε πάντα δύνανται,

τὸν αὐτὸν δὴ τρόπον καὶ ὁ τέλειος φιλόσοφος τοῖς τρισὶ τούτοις χαρακτηρίζεται, λέγω δὴ τῷ ἀγαθῷ καὶ τῷ γνωστικῷ καὶ τῷ δυνατῷ· καὶ τῷ μὲν ἀγαθῷ, ὅτι ὥσπερ ὁ θεὸς προνοεῖται τῶν πάντων, οὕτω καὶ ὁ φιλόσοφος προνοεῖται τῶν ἀτελῶν ψυχῶν καὶ ἐπὶ τὸ τέλειον αὐτὰς ἄγει διὰ τοῦ ἀγνοούσας αὐτὰς ἐπὶ τὴν γνῶσιν μεταφέρειν· τῷ δὲ γνωστικῷ, ὅτι ὥσπερ τὸ θεῖον πάντα γινώσκει, οὕτω καὶ ὁ τέλειος φιλόσοφος ἐπαγγέλλεται πάντα γινώσκειν· τῷ δὲ δυνατῷ, ὅτι ὥσπερ τὸ θεῖον ὅσα δύναται καὶ βούλεται, οὕτω καὶ ὁ τέλειος φιλόσοφος ὅσα δύναται καὶ βούλεται. ἀλλ' ἐπὶ μὲν τοῦ θεοῦ ἀντιστρέφει (καὶ γὰρ ὅσα δύναται καὶ βούλεται καὶ ὅσα βούλεται καὶ δύναται), ἐπὶ δὲ τοῦ φιλοσόφου οὐκ ἀντιστρέφει· ὅσα μὲν γὰρ δύναται, βούλεται, οὐχ ὅσα δὲ βούλεται, δύναται· ἐὰν γὰρ βουληθῇ τι ἀδύνατον, οὐ δύναται τοῦτο ποιῆσαι· οἷον ἐὰν βουληθῇ τῇ δακτύλῳ ἅψασθαι τοῦ οὐρανοῦ, οὐ δύναται τοῦτο ποιῆσαι. καὶ ἀποροῦσί τινες λέγοντες· πῶς φατε τὸν φιλόσοφον τῷ δυνατῷ παραπλησίως χαρακτηρίζεσθαι τῷ θεῷ, ὅπου γε ἐπὶ μὲν τοῦ θεοῦ ἀντιστρέφει, ὡς εἴρηται, ἐπὶ δὲ τοῦ φιλοσόφου οὐκ ἀντιστρέφει; καὶ ἔστιν εἰπεῖν ὅτι τοῦτο λέγομεν, ἐπειδὴ ταῦτα βούλεται ὁ τέλειος φιλόσοφος καὶ τούτων ἐρᾷ, ὧν καὶ τυχεῖν δύναται· τῶν γὰρ ἀδυνάτων οὐκ ἐρᾷ· καὶ γὰρ κατὰ τοὺς Στωϊκοὺς μεγίστη ἔνδειά ἐστιν ἡ τῶν ὀρέξεων ἀπληστία. ἰστέον δὲ ὅτι προϊόντες ἔχομεν δεῖξαι ὅτι ἄλλως πώς ἐστι τὸ γνωστικὸν παρὰ τῷ θεῷ καὶ τὸ ἀγαθὸν καὶ τὸ δυνατὸν καὶ ἄλλως πως παρὰ τῷ φιλοσόφῳ.

Δεῖ τοίνυν γινώσκειν ὅτι οἱ ὅροι ἀπὸ τοῦ ὑποκειμένου λαμβάνονται ἢ τοῦ τέλους ἢ ἀπὸ τοῦ συναμφοτέρου, τοῦτ' ἔστιν ἀπὸ τοῦ ὑποκειμένου ἅμα καὶ τοῦ τέλους. καὶ ἀπὸ τοῦ ὑποκειμένου μέν, ὡς ὅταν εἴπωμεν ὅτι ἰατρική

---

1 τῷ om. K 3 τῶ γνωστικῶ καὶ τῶ ἀγαθῶ coll. KT ἡ ποίησις] Hom. θ 325 δ 379. 468 κ 306 4 ἐπὶ μὲν τοῦ ἀγαθοῦ om. KT 5 δοτῆρες KT 7 τε om. T 11 καὶ (post ἀγαθῷ) om. T 12 τῶν om. K ἀπάντων T 14 τοῦ] τὸ TV ἀγνωούσας T 18. 19 ὅσα δύν.—δύν.] ὅσα βούλ. καὶ δύν. καὶ ὅσα δύν. βούλ. K: ὅσα βούλ. καὶ δύν. (rel. om.) T 19 μὲν om. K 20 γὰρ om. K 21. 22 οἷον—ποιῆσαι om. V 22 λέγοντες om. K 23 τῷ δυνατῷ om. K 24 γε om. KV 25 post λέγομεν add. ὅτι T 27 κατὰ τοὺς Στωϊκοὺς] cf. Zellerí Phil. Gr. IV³ p. 251 28 δὲ om. K 29 καὶ τὸ δυνατὸν καὶ τὸ ἀγαθόν colloc. T 30 πως om. KT παρὰ] περὶ T 32 ἀπὸ (ante τοῦ συναμφ.) om. T 32. 33 τοῦτ' ἔστιν—τέλους om. T 33 ὑποκ.] συνυποκειμένου K ὅτι om. T

Digitized by Google

ἐστι τέχνη περὶ τὰ ἀνθρώπεια σώματα καταγινομένη (περὶ ταῦτα γὰρ καταγίνεται), ἀπὸ τοῦ τέλους δέ, ὡς ὅταν εἴπωμεν ὅτι ἰατρική ἐστιν τέχνη ὑγείας περιποιητική (τέλος γὰρ τῆς ἰατρικῆς τὸ τὴν παροῦσαν ὑγείαν φυλάξαι ἢ τὴν ἀποῦσαν ἀνακαλέσασθαι), | ἀπὸ τοῦ συναμφοτέρου δέ, ὡς ὅταν εἴπωμεν 135r
5 τοὺς δύο ὅρους συνάψαντες 'ἰακτρική ἐστι τέχνη περὶ τὰ ἀνθρώπεια σώματα καταγινομένη ὑγείας περιποιητική'. οὕτως οὖν καὶ τὴν φιλοσοφίαν ὁριζόμεθα ἀπὸ μὲν τοῦ ὑποκειμένου, ὡς ὅταν εἴπωμεν 'φιλοσοφία ἐστὶ γνῶσις θείων τε καὶ ἀνθρωπίνων πραγμάτων', ἀπὸ δὲ τοῦ τέλους 'φιλοσοφία ἐστὶν ὁμοίωσις θεῷ κατὰ τὸ δυνατὸν ἀνθρώπῳ', ἀπὸ τοῦ συναμφοτέρου δέ, ὡς ὅταν
10 εἴπωμεν 'φιλοσοφία ἐστὶ γνῶσις θείων τε καὶ ἀνθρωπίνων πραγμάτων ὁμοίωσις θεῷ κατὰ τὸ δυνατὸν ἀνθρώπῳ'. καὶ ταῦτα μὲν ἐν τούτοις.

Ἀποροῦσι δέ τινες λέγοντες ὅτι πῶς φατε τοὺς ὅρους ἢ ἀπὸ τοῦ ὑποκειμένου λαμβάνεσθαι ἢ ἀπὸ τοῦ τέλους ἢ ἀπὸ τοῦ συναμφοτέρου, ὅπου γε εἰώθαμεν λέγειν ὅτι πάντες οἱ ὅροι ἀπὸ γένους καὶ συστατικῶν
15 διαφορῶν λαμβάνονται; καὶ λέγουσί τινες ταύτην τὴν αἰτίαν, ὅτι ἐπὶ μὲν τῶν φυσικῶν πραγμάτων ἀπὸ γένους καὶ συστατικῶν διαφορῶν λαμβάνονται οἱ ὅροι, οἷον ὡς ἐπὶ τοῦ ἀνθρώπου, ἐπὶ δὲ τῶν τεχνῶν ἀπὸ τοῦ ὑποκειμένου λαμβάνονται ἢ ἀπὸ τοῦ τέλους ἢ ἐκ τοῦ συναμφοτέρου, ὡς ἐπὶ τοῦ προρρηθέντος παραδείγματος. ταῦτα μὲν οὗτοι. κακῶς δὲ λέγουσι, πρῶτον μὲν ὅτι τὴν ἀπορίαν
20 οὐκ ἔλυσαν· ἡ γὰρ ἀπορία ἔχει ὅτι πάντες οἱ ὅροι ἀπὸ γένους καὶ συστατικῶν διαφορῶν λαμβάνονται, οὗτοι δὲ εἶπον τινὰς μὲν τῶν ὅρων ἀπὸ γένους καὶ συστατικῶν διαφορῶν λαμβάνεσθαι, τινὰς δὲ ἢ ἀπὸ τοῦ ὑποκειμένου ἢ ἀπὸ τοῦ τέλους ἢ ἐκ τοῦ συναμφοτέρου, τοῦ ὑποκειμένου ἅμα καὶ τοῦ τέλους. δεύτερον δὲ ὅτι κακῶς ἐπέλυσαν· εὑρίσκομεν γὰρ καὶ ἐπὶ
25 τῶν φυσικῶν τὸν ὅρον ἀπὸ τοῦ ὑποκειμένου καὶ τέλους λαμβανόμενον, ὡς ἐπὶ τοῦ θυμοῦ· οὗτος γὰρ φυσικόν ἐστι καὶ ὅμως ἀπὸ τοῦ ὑποκειμένου καὶ τοῦ τέλους ὁριζόμεθα αὐτόν· λέγομεν γὰρ ὅτι θυμός ἐστι ζέσις τοῦ περὶ καρδίαν αἵματος πρὸς ὄρεξιν ἀντιλυπήσεως. καὶ ἰδοὺ ἡ μὲν ζέσις τοῦ περὶ τὴν καρδίαν αἵματος ἀπὸ τοῦ ὑποκειμένου ἐστί (καὶ γὰρ τῷ θυμῷ
30 τὸ περὶ τὴν καρδίαν αἷμα ὑπόκειται), τὸ δὲ 'πρὸς ὄρεξιν ἀντιλυπήσεως' ἀπὸ τοῦ τέλους· τέλος γὰρ τοῦ θυμοῦ τὸ ὀρέγεσθαι τοῦ λυπῆσαι τὸν ἀντιλυπήσαντα. ταῦτα μὲν ἐν τούτοις. ἔστι δὲ εἰπεῖν ὅτι καλῶς λέγομεν πάντας τοὺς ὅρους ἀπὸ γένους καὶ συστατικῶν διαφορῶν λαμβάνεσθαι· καὶ γὰρ οἱ ἐκ τοῦ τέλους λαμβανόμενοι καὶ οἱ ἐκ τοῦ ὑποκειμένου καὶ οἱ ἐκ τοῦ
35 συναμφοτέρου ἔχουσι καὶ γένος καὶ συστατικὰς διαφοράς, οἷον ἰατρική ἐστι τέχνη περὶ τὰ ἀνθρώπεια σώματα καταγινομένη· ἰδοὺ ἐνταῦθα ἀντὶ γένους μὲν εἴληπται τὸ τέχνη, ἀντὶ δὲ συστατικῶν διαφορῶν αἱ λοιπαὶ

---

1. 5 ἀνθρώπινα T 2 ὅτι om. K ἡ ἰατρικὴ V 4. 5 τοὺς δύο ὅρους συνάπωμεν καὶ εἴπωμεν T 5 τέχνη om. K 6 καταγιν.] γινομένη K
8 τε om. T φιλ. ἐστὶν om. KV 10. 11 an ὁμοιουμένη? 13 λαμβάνετε V
17 τοῦ (ante ὑποκ.) om. V 19 δὲ om. V 23 ἐκ] ἀπὸ T 23. 24 τοῦ ὑποκ.—τέλ.] ὑποκ. καὶ τέλους T 25 τοῦ om. T ante τέλ. add. τοῦ K
30 τὴν om. K 31 τοῦ (ante λυπ.) Vat. 2253: om. KTV 35 ἡ ἰατρ. T
36 καταγιν.] γινομένη T 37 et p. 19,2. 3 συστατικῆς διαφορᾶς V

Digitized by Google

λέξεις. | καὶ πάλιν ἰατρική ἐστι τέχνη ὑγείας περιποιητική· ἰδοὺ ἐνταῦθα 135v
τὸ μὲν τέχνη ἀντὶ γένους εἴληπται, αἱ δὲ λοιπαὶ λέξεις ἀντὶ συστατικῶν διαφορῶν. καὶ πάλιν ἰατρική ἐστι τέχνη περὶ τὰ ἀνθρώπεια σώματα καταγινομένη ὑγείας περιποιητική· ἰδοὺ ἀντὶ μὲν γένους εἴληπται τὸ τέχνη, ἀντὶ
5 δὲ συστατικῶν διαφορῶν αἱ λοιπαὶ λέξεις. καὶ πάλιν φιλοσοφία ἐστὶ γνῶσις θείων τε καὶ ἀνθρωπίνων πραγμάτων· ἰδοὺ ἐνταῦθα ἀντὶ μὲν γένους εἴληπται τὸ γνῶσις, ἀντὶ δὲ συστατικῶν διαφορῶν αἱ λοιπαὶ λέξεις. ταῦτα μὲν ἔχει καὶ τὸ τέταρτον κεφάλαιον.

Πέμπτον δὲ ὑπάρχει κεφάλαιον, ἐν ᾧ ζητοῦμεν ποῖος τέλειος ὁρισμὸς
10 καὶ ποῖος ἀτελής. ἰστέον ὅτι τέλειος ὁρισμός ἐστιν ὁ ἀντιστρέφων πρὸς τὸ ὁριστόν, οἷον ὡς ὅταν εἴπωμεν ὅτι εἴ τι ἄνθρωπος, τοῦτο καὶ ζῷον λογικὸν θνητὸν νοῦ καὶ ἐπιστήμης δεκτικόν, καὶ εἴ τι ζῷον λογικὸν θνητὸν νοῦ καὶ ἐπιστήμης δεκτικόν, τοῦτο ἄνθρωπος. ἀτελὴς δὲ ὁρισμός ἐστιν ὁ μὴ ἀντιστρέφων· κακία γὰρ ὅρου ἐστὶ τὸ μὴ ἀντιστρέφειν. τοῦτο δὲ γίνεται
15 ἐκ τοῦ πλεονάζειν τὸν ὅρον ἢ ἐλλείπειν· καὶ γὰρ οὗτος ὁ πλεονάζων ὅρος οὐκ ἀντιστρέφει, οἷον ἄνθρωπός ἐστι ζῷον λογικὸν θνητὸν νοῦ καὶ ἐπιστήμης δεκτικὸν γραμματικόν· οὗτος γὰρ πλεονάζων οὐκ ἀντιστρέφει· εἴ τι μὲν γὰρ ζῷον λογικὸν θνητὸν νοῦ καὶ ἐπιστήμης δεκτικὸν γραμματικόν, τοῦτο ἄνθρωπος, οὐκ εἴ τι δὲ ἄνθρωπος, τοῦτο ζῷον λογικὸν θνητὸν νοῦ
20 καὶ ἐπιστήμης δεκτικὸν γραμματικόν· οὐ γὰρ πᾶς ἄνθρωπος γραμματικός ἐστι. ἀλλὰ μὴν οὐδὲ ὁ ἐλλείπων ὅρος ἀντιστρέφει· οἷον ἄνθρωπός ἐστι ζῷον λογικόν· ἰδοὺ γὰρ οὗτος ὁ ὅρος ἐλλείπων οὐκ ἀντιστρέφει· εἴ τι μὲν γὰρ ἄνθρωπος, τοῦτο ζῷον λογικόν, οὐκ εἴ τι δὲ ζῷον λογικόν, τοῦτο ἄνθρωπος· οὐ μόνον γὰρ ἄνθρωπός ἐστι ζῷον λογικόν, ἀλλὰ καὶ ἄγγελοι καὶ δαίμονες.
25 ταῦτα μὲν ἐν τούτοις.

Ζητήσωμεν δὲ λοιπὸν ποῖοι ἐκ τῶν προρρηθέντων ὅρων εἰσὶ τέλειοι. ἰστέον ὅτι οἱ ἐκ τοῦ συναμφοτέρου, ἤγουν οἱ ἐξ ὑποκειμένου ἅμα καὶ τέλους, μᾶλλόν εἰσι τέλειοι (οἷον τεκτονική ἐστι τέχνη περὶ ξύλα καταγινομένη θρόνου περιποιητική), οἱ δὲ ἐκ τοῦ ὑποκειμένου μόνου ἢ καὶ
30 ἀπὸ μόνου τοῦ τέλους ὡς ἐπὶ τὸ πλεῖστον οὐκ εἰσι τέλειοι, οἷον ἐὰν εἴπωμεν 'ἰατρική ἐστι τέχνη περὶ τὰ ἀνθρώπεια σώματα καταγινομένη', οὐκ ἀντιστρέφει· εἴ τι μὲν γὰρ ἰατρική, τοῦτο τέχνη περὶ τὰ ἀνθρώπεια σώματα καταγινομένη, οὐκ εἴ τι δὲ τέχνη περὶ τὰ ἀνθρώπεια σώματα καταγινομένη, τοῦτο ἰατρική· οὐ γὰρ μόνη ἡ ἰατρικὴ περὶ τὰ ἀνθρώπεια σώματα κατα-
35 γίνεται, ἀλλὰ καὶ ἡ γυμναστικὴ καὶ ἡ κομμωτικὴ καὶ ἡ κουρευτική. καὶ

1—3 καὶ πάλιν ἰατρική ἐστι τέχνη ὑγείας—διαφορῶν om. T 1 τέχνη (ante ὑγείας) om. V 6 τε om. T μὲν γένους] τούτων T 7 τὸ] ἡ T 9 ὑπῆρχε KV ὁρισμός] ὅρος T 10 ἐστιν ὁρ. coll. T 11 ὅτι om. KV 13 νοῦ καὶ ἐπ. δεκτ.] καὶ τὰ ἑξῆς T τοῦτο καὶ ἄνθρ. V 15 ἢ ἐλλ.] ἢ ἐκ τοῦ ἐλλείπειν KT 17 οὗτος—ἀντιστρέφει om. T οὗτος] οὕτως V; eicias 19 τοῦτο καὶ ἄνθρ. KV 20. 21 ἐστι γραμ. colloc. T 21. 22 οἷον—ἀντιστρέφει om. KV 24 γὰρ ὁ ἄνθρ. T ζῷον om. T 28 μᾶλλον om. T 29 περιπ.] ποιητική T 29. 30 ἢ ἀπὸ τοῦ τέλους (καὶ et μόνου om.) T 32. 33 ἀνθρώπινα T 35 κομμοτική T

Digitized by Google

πάλιν ἐὰν εἴπω ὅτι θυμός ἐστι ζέσις τοῦ περὶ τὴν καρδίαν αἵματος, οὐκ ἀντιστρέφει· εἴ τι μὲν γὰρ θυμός, τοῦτο ζέσις τοῦ περὶ τὴν καρδίαν αἵματος, οὐκ εἴ τι δὲ ζέσις τοῦ περὶ τὴν καρ|δίαν αἵματος, τοῦτο θυμός· δύναται 136r γὰρ ζέσις εἶναι τοῦ περὶ τὴν καρδίαν αἵματος καὶ ἀπὸ πυρετοῦ. καὶ πάλιν
5 ἐὰν εἴπω ὅτι ῥητορική ἐστι πειθοῦς δημιουργός, οὐκ ἀντιστρέφει· εἴ τι μὲν γὰρ ῥητορική, τοῦτο πειθοῦς δημιουργός, οὐκ εἴ τι δὲ πειθοῦς δημιουργός, τοῦτο ῥητορική· οὐ μόνη γὰρ ἡ ῥητορικὴ πειθοῦς δημιουργός, ἀλλὰ καὶ ἡ διαλεκτικὴ φιλοσοφία. πρόσκειται δὲ ἀνωτέρω 'ὡς ἐπὶ τὸ πλεῖστον οὐκ εἰσι τέλειοι οἱ ἀπὸ τοῦ ὑποκειμένου μόνου λαμβανόμενοι ἢ οἱ ἀπὸ τοῦ
10 τέλους μόνου', ἐπειδὴ ἔστιν ὅτε εὑρίσκεται καὶ ὁ ἐκ τοῦ ὑποκειμένου μόνου λαμβανόμενος ὅρος τέλειος, οἷον ὡς ἐπὶ τῆς ὑαλουργικῆς· ἐὰν γὰρ εἴπωμεν ὅτι ὑαλουργική ἐστι τέχνη περὶ ὕαλον καταγινομένη, τέλειός ἐστιν ὅρος· εἴ τι μὲν γὰρ ὑαλουργική ἐστι, τοῦτο τέχνη περὶ ὕαλον καταταγινομένη, καὶ εἴ τι περὶ ὕαλον καταγινομένη, τοῦτο τέχνη ἐστὶν ὑαλουργική·
15 τῇ γὰρ ὑαλουργικῇ μόνῃ ὑπόκειται ὁ ὕαλος. ἐπὶ δὲ τῆς φιλοσοφίας καὶ ἀπὸ τοῦ τέλους μόνου καὶ ἀπὸ τοῦ ὑποκειμένου τέλειός ἐστιν ὁρισμός. καὶ ἀποροῦσί τινες λέγοντες διὰ τί ἐπὶ τῆς φιλοσοφίας ὁ ἐκ μόνου τοῦ ὑποκειμένου ὅρος τέλειός ἐστι καὶ ὁ ἐκ μόνου τοῦ τέλους. καὶ ἔστιν εἰπεῖν, ἐπειδὴ καὶ τὸ ὑποκείμενον τῇ φιλοσοφίᾳ αὐτῇ μόνῃ ὑπόκειται καὶ οὐκ
20 ἄλλῳ τινί (τῇ γὰρ φιλοσοφίᾳ μόνῃ ὑπόκειται πάντα τὰ ὄντα), καὶ πάλιν καὶ τὸ τέλος τῆς φιλοσοφίας αὐτῆς μόνης ἐστὶ τέλος· μόνη γὰρ ἡ φιλοσοφία τὴν γνῶσιν πάντων τῶν ὄντων ἔχει καὶ δι' αὐτῆς ὁμοιοῦται τῷ θεῷ. ταῦτα καὶ τὸ πέμπτον κεφάλαιον καὶ ἡ παροῦσα πρᾶξις.

Πρᾶξις ζ'.

25 Μεμαθηκότες τὸ πέμπτον κεφάλαιον ζητήσωμεν καὶ τὸ ἕκτον, ἐν ᾧ λέγομεν πόσοι καὶ ποῖοι τῆς φιλοσοφίας εἰσὶν ὁρισμοί. εἰσὶ δὲ οὗτοι· πρῶτος μὲν ὁ λέγων 'φιλοσοφία ἐστὶ γνῶσις τῶν ὄντων ᾗ ὄντα ἐστί', δευτέρος δὲ 'γνῶσις θείων τε καὶ ἀνθρωπίνων πραγμάτων', τρίτος 'μελέτη θανάτου', τέταρτος 'ὁμοίωσις θεῷ κατὰ τὸ δυνατὸν ἀνθρώπῳ', πέμπτος
30 'τέχνη τεχνῶν καὶ ἐπιστήμη ἐπιστημῶν', ἕκτος 'φιλοσοφία ἐστὶ φιλία σοφίας' καὶ ταῦτα μὲν τὸ ἕκτον κεφάλαιον.

---

1 περὶ τὴν καρδίαν] περικαρδίου (constanter) T 4 τοῦ πυρετοῦ K 5 ὅτι om. KV 7 μόνον T 8 πρόκειται V 9 μόνου (post ὑποκ.) om. K post λαμβ. add. ὅροι T 9. 10 ἢ οἱ—τέλους μόνου om. T 10 καὶ ὁ om. T ἐκ] ἀπὸ T 12 ὅτι om. T 13 ὁ ὅρος V γὰρ om. T ἐστι om. T 14 ἐστὶν om. T 15 μόνης K 16 ὁ ὁρισμός TV 18 ante καὶ ὁ add. ὡσαύτως T 18 pr. καὶ om. T 19. 20 καὶ οὐκ ἄλλῳ τινί om. T 20 τῇ γὰρ φιλ.] ταύτῃ γὰρ T ὑπόκειντται K 22 πάντων om. T 23 καὶ ἡ παρ. πρ. om. T 25 ante τὸ πέμπτ. add. καὶ T 26 ἐλέγομεν V οἱ ὁρισμοὶ T 27 πρῶτον T ἐστί Brand.: εἰσί KTV (cf. p. 28,16) 28 post δὲ add. ἐστι KV γνῶσις post πραγμ. coll. T τε om. T 28—30 τρίτον . . τέταρτον . . πέμπτον . . ἕκτον T

Digitized by Google

Ἕβδομον δέ ἐστι κεφάλαιον, διὰ τί τοσοῦτοί εἰσιν οἱ τῆς φιλοσοφίας ὁρισμοὶ καὶ μήτε πλείονες μήτε ἐλάττονες. καὶ ἔστιν εἰπεῖν δύο λύσεις, μίαν μὲν ἀπὸ διαιρέσεως, ἑτέραν δὲ ἀριθμητικήν. ἔστι δὲ ἡ ἀπὸ διαιρέσεως αὕτη· εἰσί τινα ὑφεστηκότα μέν, μὴ ὀνομαζόμενα δέ, ὡς ἐπὶ τῶν ὄντων ἐν τῷ βυθῷ καὶ ἐν τοῖς ἀβάτοις ὄρεσιν· εἰσὶ γάρ τινα ἐν τῷ βυθῷ, ἅτινα εἰσὶ μέν, οὐκ ὀνομάζονται δὲ διὰ τὸ μὴ γινώσκεσθαι ὑφ' ἡμῶν. καὶ πάλιν εἰσί τινα ὀνομαζόμενα μέν, μὴ ὑφεστηκότα δέ, ὡς ἐπὶ τοῦ ἱπποκενταύρου· τοῦτο γὰρ ὀνομάζεται μέν, οὐχ ὑφέστηκε δέ· | οὐ γὰρ ἔστιν 136v ἱπποκένταυρος. καὶ πάλιν εἰσί τινα καὶ ὀνομαζόμενα καὶ ὑφεστηκότα, ὥσπερ ὁ ἄνθρωπος καὶ αἱ τέχναι· καὶ γὰρ ὀνομάζονται καὶ εἰσίν. ἡ δὲ φιλοσοφία καὶ ὀνομάζεται καὶ ὑφέστηκεν, ὡς ἐν τῷ εἰ ἔστι μεμαθήκαμεν. καὶ ἐν πρώτοις τὴν ὕπαρξιν ἔχει· καὶ γὰρ ἡ φιλοσοφία μήτηρ τῶν τεχνῶν καὶ ἐπιστημῶν ἐστιν· ἐξ αὐτῆς γὰρ τὰς ἀρχὰς καὶ αἱ τέχναι καὶ αἱ ἐπιστῆμαι λαμβάνουσιν. οἷον ὁ γεωμέτρης λαμβάνει ὁμολογούμενον ὅτι σημεῖόν ἐστιν οὗ μέρος οὐδέν· τούτου δὲ τὴν αἰτίαν ὁ φυσικὸς φιλόσοφος οἶδε. καὶ πάλιν ὁ ἰατρὸς λαμβάνει ὁμολογούμενον ὅτι ἐκ τῶν τεσσάρων στοιχείων τὰ ἀνθρώπεια σώματα συνίσταται· τούτου δὲ τὴν αἰτίαν ὁ φυσικὸς φιλόσοφος οἶδε. καὶ πάλιν ὁ γραμματικὸς λαμβάνει ὁμολογούμενον ὅτι τὸ η̄ καὶ τὸ ω̄ μακρά εἰσι· τούτου δὲ τὴν αἰτίαν ὁ μουσικὸς φιλόσοφος οἶδεν. ἡ φιλοσοφία οὖν, ὡς εἴρηται, καὶ ὀνομάζεται καὶ ὑφέστηκε καὶ ἐν πρώτοις τὴν ὕπαρξιν ἔχει. καὶ ἐπειδὴ μὲν ὀνομάζεται, ἔχει ἐκ τοῦ ὀνόματος ὅρον τὸν λέγοντα 'φιλοσοφία ἐστὶ φιλία σοφίας', ἐπειδὴ δὲ ἐν πρώτοις ἔχει τὴν ὕπαρξιν, ἔχει τὸν ἐκ τῆς ὑπεροχῆς ὅρον τὸν λέγοντα 'φιλοσοφία ἐστὶ τέχνη τεχνῶν καὶ ἐπιστήμη ἐπιστημῶν'. ἐπειδὴ δὲ ὑφέστηκεν, ἔχει καὶ ὑποκείμενον, ἔχει καὶ τέλος, καὶ ἑκάτερον τούτων διττόν· πᾶσα γὰρ τέχνη καὶ ἐπιστήμη ἔχει καὶ ὑποκείμενον, ἔχει καὶ τέλος, καὶ ἑκάτερον τούτων διττόν· ἔχει γὰρ προσεχὲς ὑποκείμενον, ἔχει καὶ πόρρω ὑποκείμενον, καὶ πάλιν ἔχει καὶ προσεχὲς τέλος καὶ πόρρω τέλος. ἀλλ' ἵνα σαφὲς ἡμῖν τὸ λεγόμενον γένηται, γυμνάσωμεν τὸν λόγον ἐπὶ τῆς ναυπηγικῆς. ἰστέον ὅτι ἡ ναυπηγικὴ ἔχει καὶ ὑποκείμενον, ἔχει καὶ τέλος, καὶ ἑκάτερον τούτων διττόν· ἔχει γὰρ καὶ προσεχὲς ὑποκείμενον καὶ πόρρω ὑποκείμενον, καὶ πάλιν ἔχει προσεχὲς τέλος καὶ πόρρω τέλος. καὶ προσεχὲς μὲν ὑποκείμενον ἔχει τὰ ἁπλῶς ξύλα, πόρρω δὲ ὑποκείμενον τὰ τοιάδε ξύλα, οἷον τὰ πεποιωμένα πρὸς τρόπιν καὶ πηδάλιον· πρῶτον γὰρ ὁ ναυπηγὸς λαμβάνει τὰ ἁπλῶς ξύλα, καὶ εἶθ' οὕτως ζητεῖ ποῖα πεποίωνται πρὸς τρόπιν καὶ πηδάλιον. καὶ πάλιν προσεχὲς μὲν τέλος

---

5 pr. τῶ om. T 6 ἅτινα] ἃ T ὑφ'] παρ' T 7 ὑφιστάμενα T
9 τινα om. KV 10 ante ὁ ἄνθρ. add. καὶ KV ante ὀνομ. add. καὶ T
11 ἐν τῷ εἰ ἔστι] cf. p. 1,15 15. 16 ὁ ἰατρ. δὲ πάλιν (καὶ om.) T 17 συνίστ. σώμ. coll. T συνίσταται T 17. 18 οἶδε φιλ. coll. KV 18 λαμβάνει om. KV post ὅτι add. καὶ T 21. 22 τὸν ὅρον τὸν T 24 alt. ἔχει om. T 25 διττόν] διπλοῦν T 25. 26 πᾶσα—διττόν om. T 26 pr. ἔχει om. K 27 καὶ (ante προσ.) om. T 28 γέν. τὸ λεγ. coll. T 29 τῆς ναυπ.] παραδείγματος T 30 ἔχει (post ὑποκ.) om. T 31 ὑποκ. (post πόρρω) om. T 32 τέλος om. T 33 πεποιωμένα scripsi: πεποιημένα libri τρόπην T 35 πεποίωνται scripsi: πεποίηνται libri

Digitized by Google

ἔχει τὸ ποιῆσαι ἁπλῶς ναῦν, πόρρω δὲ τέλος τὸ ποιῆσαι τοιάνδε ναῦν, οἷον ἢ δόρκωνα ἢ λύχνον. οὕτως οὖν καὶ ἡ φιλοσοφία ἔχει καὶ ὑποκείμενον καὶ τέλος καὶ ἑκάτερον τούτων διττόν· ἔχει γὰρ προσεχὲς ὑποκείμενον καὶ πόρρω καὶ τέλος ὁμοίως προσεχὲς καὶ πόρρω. καὶ προσεχὲς μὲν ὑποκεί-
5 μενον ἔχει τὰ ἁπλῶς ὄντα, πόρρω δὲ ὑποκείμενον τὰ τοιάδε ὄντα, οἷον τὰ θεῖα καὶ τὰ ἀνθρώπινα πράγματα. καὶ πάλιν προσεχὲς μὲν τέλος ἔχει τὸ μελετᾶν τὸν θάνατον, ἤγουν τὸ νέκρωσιν ἀπεργάζεσθαι τῶν παθῶν, πόρρω δὲ τέλος ἔχει | τὸ διὰ τούτου, ἤγουν διὰ τοῦ νέκρωσιν ἀπεργάζεσθαι τῶν 137r παθῶν, ὁμοιοῦσθαι θεῷ κατὰ τὸ δυνατὸν ἀνθρώπῳ. ἐπειδὴ οὖν ἡ φιλοσοφία
10 ἔχει καὶ ὑποκείμενον καὶ τέλος καὶ ἑκάτερον τούτων διττόν, ὡς εἴρηται, τούτου χάριν καὶ ἄλλους τέσσαρας ὅρους ἔχει, δύο ἐκ τοῦ ὑποκειμένου, ἕνα μὲν ἐκ τοῦ προσεχοῦς ὑποκειμένου τὸν λέγοντα ὅτι 'φιλοσοφία ἐστὶ γνῶσις τῶν ὄντων ᾗ ὄντα ἐστίν', ἄλλον δὲ ἐκ τοῦ πόρρω ὑποκειμένου τὸν λέγοντα ὅτι 'φιλοσοφία ἐστὶ γνῶσις θείων τε καὶ ἀνθρωπίνων πραγμάτων', καὶ δύο
15 ἐκ τοῦ τέλους, ἕνα μὲν ἐκ τοῦ προσεχοῦς τέλους τὸν λέγοντα ὅτι 'φιλοσοφία ἐστὶ μελέτη θανάτου', ἄλλον δὲ ἐκ τοῦ πόρρω τέλους τὸν λέγοντα ὅτι 'φιλοσοφία ἐστὶν ὁμοίωσις θεῷ κατὰ τὸ δυνατὸν ἀνθρώπῳ'.

Αὕτη μὲν οὖν ἡ ἀπὸ διαιρέσεως λύσις ἡ δεικνῦσα διὰ τί ἕξ εἰσιν οἱ τῆς φιλοσοφίας ὁρισμοί. ἡ δὲ ἀριθμητική ἐστιν αὕτη· τῶν ἀριθμῶν οἱ μέν
20 εἰσι τέλειοι οἱ δὲ ὑπερτέλειοι οἱ δὲ ἐλλιπεῖς, οἵτινες καὶ ἀτελεῖς καλοῦνται. καὶ τέλειος μὲν ἀριθμός ἐστιν οὗ τὰ μέρη συντιθέμενα ἐξισοῦνται τῷ ὅλῳ, ὡς ἐπὶ τοῦ ἕξ· τούτου γὰρ τὰ μέρη συντιθέμενα τὸν ἕξ ἀριθμὸν ἀποτελοῦσιν· ἔχει γὰρ τὸ ἥμισυ τρία, τὸ τρίτον δύο καὶ τὸ ἕκτον μονάδα· ἰδοὺ ἕξ· τέταρτον γὰρ προσλαβεῖν οὐ δύναται, ἐπειδὴ ἐὰν προσλάβῃ τέταρτον,
25 ἀναγκάζεται τμηθῆναι ἡ μονάς· οἱ δὲ ἀριθμητικοὶ οὐ τέμνουσι τὴν μονάδα. ὑπερτελὴς δὲ ἀριθμός ἐστιν οὗ τὰ μέρη συντιθέμενα ὑπὲρ τὸ ὅλον εὑρίσκονται, ὡς ἐπὶ τοῦ δώδεκα· τούτου γὰρ τὰ μέρη συντιθέμενα τὸν ἕξ καὶ δέκα ἀριθμὸν ἀποτελοῦσιν· ἔχει γὰρ τὸ ἥμισυ ἕξ, τὸ τρίτον τέσσαρα, τὸ τέταρτον τρία, τὸ ἕκτον δύο καὶ τὸ δωδέκατον μονάδα· ἰδοὺ δεκαέξ.
30 ἐλλιπὴς δὲ ἀριθμὸς ἤτοι ἀτελής ἐστιν οὗ τὰ μέρη συντιθέμενα ἐλάττονα τοῦ ὅλου εὑρίσκονται, ὡς ἐπὶ τοῦ ὀκτώ· τούτου γὰρ τὰ μέρη συντιθέμενα τὸν ἑπτὰ ἀριθμὸν ἀποτελοῦσιν· ἔχει γὰρ τὸ ἥμισυ τέσσαρα, τὸ τέταρτον δύο καὶ τὸ ὄγδοον μονάδα· ἰδοὺ ἑπτά. τούτων οὖν οὕτως ἐχόντων ἐπειδὴ πρῶτος τέλειος ἀριθμὸς ὁ ἕξ ἐστιν (πρὸ αὐτοῦ γὰρ ἄλλος
35 τέλειος οὐκ ἔστιν), τούτου χάριν ἕξ εἰσιν οἱ τῆς φιλοσοφίας ὁρισμοί· ἔδει

---

1 post alt. ναῦν add. ἢ τοιάνδε T 8 τοῦ] τὸ V 11 ἔχει ὅρους colloc. T 12 ὅτι om. T 13 εἰσίν T (cf. p. 28,16) 13. 16 ἄλλον] ἕνα T 14 ὅτι om. T 15 alt. τέλους om. T 21 ἐξισοῦται T 22 τοῦ ἕκτου (pr. l.) T τὸν ἕκτον (alt. l.) T 23 καὶ om. T 25 ἡ μονάς om. T 26 δὲ om. T 27 τοῦ δωδεκάτου TV 27. 28 τὸν ἕξ—ἀποτελοῦσιν] ὑπὲρ τὸ ὅλον εὑρίσκονται T ἕξ καὶ δέκατον V 29 ante τὸ ἕκτον add. καὶ KV 30 ἐστιν post ἀριθμὸς transp. KV 31 ὀκτώ] ὀγδόου TV 32 ἑπτὰ] ἑβδομον V 33 ante δύο add. ἔχει V οὖν om. K 34 ὁ ἕκτος TV 35 post τέλειος add. ἀριθμὸς K

Digitized by Google

γὰρ τὴν μητέρα τῶν τεχνῶν καὶ ἐπιστημῶν τῷ πρώτῳ καὶ τελείῳ ἀριθμῷ κεκοσμῆσθαι. ἐν οἷς σὺν θεῷ καὶ ἡ παροῦσα πρᾶξις.

Πρᾶξις η'.

Ἤλθωμεν ἐπὶ τὸ ὄγδοον κεφάλαιον καὶ εἴπωμεν τὴν τάξιν τῶν ὁρισμῶν τῆς φιλοσοφίας. ἰστέον ὅτι ἐξ ὄντων τῶν τῆς φιλοσοφίας ὁρισμῶν ἔσχατός ἐστιν ὁ ἐκ τῆς ἐτυμολογίας ὁ λέγων ὅτι 'φιλοσοφία ἐστὶ φιλία σοφίας'. τῶν δὲ πέντε τῶν ἄλλων ἔσχατός ἐστιν ὁ ἐκ τῆς ὑπεροχῆς ὁ λέγων ὅτι 'φιλοσοφία ἐστὶ τέχνη τεχνῶν καὶ ἐπιστήμη ἐπιστημῶν'. τῶν δὲ | τεσσάρων 137 οἱ μὲν ἐκ τοῦ ὑποκειμένου εἰσὶ πρῶτοι, οἱ δὲ ἐκ τοῦ τέλους ἔσχατοι. καὶ ἐν ἑκατέρῳ τούτων ὁ ἐκ τοῦ προσεχοῦς προτερεύει τοῦ ἐκ τοῦ πόρρω· καὶ γὰρ ὁ ἐκ τοῦ προσεχοῦς ὑποκειμένου ὁ λέγων ὅτι 'φιλοσοφία ἐστὶ γνῶσις τῶν ὄντων ᾗ ὄντα ἐστί' προτερεύει τοῦ ἐκ τοῦ πόρρω ὑποκειμένου τοῦ λέγοντος ὅτι 'φιλοσοφία ἐστὶν γνῶσις θείων τε καὶ ἀνθρωπίνων πραγμάτων'. καὶ πάλιν ὁ ἐκ τοῦ προσεχοῦς τέλους ὁ λέγων ὅτι 'φιλοσοφία ἐστὶ μελέτη θανάτου' προτερεύει τοῦ ἐκ τοῦ πόρρω τέλους τοῦ λέγοντος ὅτι 'φιλοσοφία ἐστὶν ὁμοίωσις θεῷ κατὰ τὸ δυνατὸν ἀνθρώπῳ'· ὥστε εἶναι τὴν τάξιν οὕτως· πρῶτος μέν ἐστιν ὁ λέγων ὅτι 'φιλοσοφία ἐστὶ γνῶσις τῶν ὄντων ᾗ ὄντα ἐστί', δεύτερος 'γνῶσις θείων τε καὶ ἀνθρωπίνων πραγμάτων', τρίτος 'μελέτη θανάτου', τέταρτος 'ὁμοίωσις θεῷ κατὰ τὸ δυνατὸν ἀνθρώπῳ', πέμπτος ὁ λέγων ὅτι 'φιλοσοφία ἐστὶ τέχνη τεχνῶν καὶ ἐπιστήμη ἐπιστημῶν', ἕκτος δέ ἐστιν ὁ λέγων ὅτι 'φιλοσοφία ἐστὶ φιλία σοφίας'. ταῦτα εἰπόντες ἔλθωμεν καὶ εἴπωμεν τὴν αἰτίαν τῆς τάξεως αὐτῶν. ἰστέον ὅτι ὁ ὁρισμὸς ὁ ἀπὸ τῆς ἐτυμολογίας ὁ λέγων ὅτι 'φιλοσοφία ἐστὶ φιλία σοφίας' τελευταίαν ἐπέχει τάξιν. καὶ τοῦτο εὐλόγως· πρῶτον γὰρ δεῖ ὑπάρχειν τὸ πρᾶγμα καὶ τελευταῖον ἐπιτίθεσθαι αὐτῷ ὄνομα, ὅθεν καὶ ὄνομα λέγεται οἱονεὶ τῷ ὄντι ὅμοιον· καὶ γὰρ οὐχ ὡς ἔτυχεν ἐπετίθεσαν οἱ ἀρχαῖοι τὸ ὄνομα, ἀλλ' ἁρμοζόντως τῷ ὑποκειμένῳ πράγματι, οἷον ἄνθρωπος λέγεται παρὰ τὸ ἀναθρεῖν καὶ ἀναλογίζεσθα ἃ ὄπωπε, καὶ πάλιν ἵππος λέγεται παρὰ τὸ ἵπτασθαι τοῖς ποσίν. οὕτως οὖν δεῖ ὑπάρχειν τὴν φιλοσοφίαν καὶ τελευταῖον ἐπιτίθεσθαι αὐτῇ ὄνομα καὶ καλεῖν αὐτὴν φιλοσοφίαν. ἐπειδὴ οὖν τὸ ὄνομα τελευταίαν ἐπέχει τάξιν, τούτου χάριν καὶ ὁ ἀπὸ τῆς ὀνομασίας ἤγουν ὁ ἀπὸ τῆς ἐτυμολογίας ὅρος τελευταίαν ἐπέχει τάξιν. ὁ δὲ

---

2 ἐν—πρᾶξις omisso add. εἰσὶ δὲ τέλειοι ἀριθμοὶ ὁ ἕκτος ὁ εἰκοστὸς ὄγδοος ὁ τετρακοσιοστὸς ἐνενηκοστὸς καὶ ὁ ὀκτακισχιλιοστὸς ἑκατοστὸς εἰκοστὸς ὄγδοος TV 4 ἔλθωμεν καὶ T 6 ἐκ om. KV ἐτοιμολογίας T¹ 7 ὁ ἐκ τῆς ὑπεροχῆς om. T 9 πρῶτοι εἰσὶ colloc. T 10 ἐκ τοῦ (ante πόρρω) om. T 11 ἐστὶ om. V 12 εἰσίν V (cf. p. 22,13) 18 εἰσὶ KV 21 ἐστιν om. T 24 τὴν τάξιν K τοῦτο om. T 25 ἐπιτιθέναι KV (cf. v. 30) 26 post οἱονεὶ add. τὸ T ἐτίθεσαν TV 28 ἀναθρεῖν El.: ἀνωθρεῖν KV: ἀναρθρεῖν T ὤπωπε V 29 παρὰ] περὶ T ἵπτασθαι] ἴεσθαι KV 32 ὅρος (post ἐτυμ.) om. KV

Digitized by Google

ὅρος ὁ ἐκ τῆς ὑπεροχῆς ὁ λέγων ὅτι 'φιλοσοφία ἐστὶ τέχνη τεχνῶν καὶ ἐπιστήμη ἐπιστημῶν' ἔσχατος τῶν ἄλλων ἐστὶ διὰ τοιαύτην αἰτίαν· τὰ κοινότερα προτερεύουσι τῶν ἰδίως τινὶ ὑπαρχόντων καὶ αὐτῷ μόνῳ τῷ πράγματι ἁρμοζόντων, ὥσπερ καὶ ἐπὶ τῶν ὅρων· καὶ γὰρ καὶ ἐν τούτοις
5 αἱ μὲν κοινότεραι λέξεις πρῶταί εἰσίν, αἱ δὲ ἰδίως αὐτῷ ὑπάρχουσαι καὶ τῷ ὁριστῷ μόνῳ ἁρμόζουσαι τελευταίαν ἐπέχουσι τάξιν, οἷον ὡς ἐπὶ τοῦ 'ἄνθρωπός ἐστι ζῷον λογικὸν θνητὸν καὶ τὰ ἑξῆς'· ἰδοὺ ἐνταῦθα αἱ μὲν κοινότεραι λέξεις πρῶταί εἰσιν, οἷον τὸ ζῷον (οὐ γὰρ μόνος ὁ ἄνθρωπός ἐστι ζῷον ἀλλὰ καὶ ἵππος καὶ κύων), καὶ πάλιν τὸ λογικόν (οὐ μόνον γὰρ ὁ
10 ἄνθρωπός ἐστι λογικὸν ἀλλὰ καὶ ἄγγελος καὶ δαίμων), ὁμοίως καὶ τὸ θνητόν (οὐ μόνον γὰρ ὁ ἄνθρωπός ἐστι θνητὸν ἀλλὰ καὶ αἱ μακραίωνες νύμφαι), αἱ δὲ ἰδίως | αὐτῷ ὑπάρχουσαι καὶ τῷ ὁριστῷ μόνῳ ἁρμόζουσαι 138r τελευταίαν ἐπέχουσι τάξιν· τὸ γὰρ νοῦ καὶ ἐπιστήμης δεκτικόν τῷ ἀνθρώπῳ μόνῳ ἁρμόζει· μόνος γὰρ ὁ ἄνθρωπος μανθάνει τὴν κατ' ἐνέργειαν γνῶσιν,
15 αἱ δὲ μακραίωνες νύμφαι οὔκ εἰσι νοῦ καὶ ἐπιστήμης δεκτικαί· οὐδὲ γὰρ μανθάνουσι τὴν κατ' ἐνέργειαν γνῶσιν, ἀλλ' οἴκοθεν αὐτὴν ἔχουσιν· αὗται γὰρ φύσει πάντα ἴσασιν. ἐπειδὴ οὖν τὰ κοινότερα προτερεύουσι τῶν ἰδίως τινὶ ὑπαρχόντων, τούτου χάριν καὶ οἱ ἀπὸ τοῦ ὑποκειμένου καὶ οἱ ἀπὸ τοῦ τέλους ὅροι προτερεύουσι τοῦ ἀπὸ τῆς ὑπεροχῆς ὅρου· καὶ γὰρ
20 κοινότερον μέν ἐστι τὸ ὑποκείμενον καὶ τὸ τέλος (οὐ μόνον γὰρ ἡ φιλοσοφία ἔχει καὶ ὑποκείμενον καὶ τέλος ἀλλὰ καὶ πᾶσα τέχνη καὶ πᾶσα ἐπιστήμη), ἰδίως δὲ ὑπάρχει τῇ φιλοσοφίᾳ ἡ ὑπεροχή· μόνη γὰρ ἡ φιλοσοφία ὑπερέχει πασῶν τῶν τεχνῶν καὶ ἐπιστημῶν. οἱ δὲ ἐκ τοῦ ὑποκειμένου ὅροι προτερεύουσι τῶν ἐκ τοῦ τέλους, ἐπειδὴ καὶ τὸ ὑποκείμενον
25 προτερεύει τοῦ τέλους· εἰ μὴ γὰρ ἦ ὑποκείμενον, οὐδὲ τέλος εὑρίσκεται· εἰ μὴ γὰρ ἔχει ὁ τέκτων ξύλα, οὐ δύναται ποιῆσαι θρόνον ἢ κλίνην ἤ τι τοιοῦτον. οἱ δὲ ἐκ τοῦ προσεχοῦς προτερεύουσι τῶν ἐκ τοῦ πόρρω, οἷον ὁ ἐκ τοῦ προσεχοῦς ὑποκειμένου ὁ λέγων ὅτι 'φιλοσοφία ἐστὶ γνῶσις τῶν ὄντων ᾗ ὄντα ἐστί' προτερεύει τοῦ ἐκ τοῦ πόρρω ὑποκειμένου τοῦ λέγοντος
30 ὅτι 'φιλοσοφία ἐστὶ γνῶσις θείων τε καὶ ἀνθρωπίνων πραγμάτων'. καὶ πάλιν ὁ ἐκ τοῦ προσεχοῦς τέλους ὁ λέγων ὅτι 'φιλοσοφία ἐστὶ μελέτη θανάτου' προτερεύει τοῦ ἐκ τοῦ πόρρω τέλους τοῦ λέγοντος ὅτι 'φιλοσοφία ἐστὶν ὁμοίωσις θεῷ κατὰ τὸ δυνατὸν ἀνθρώπῳ', ἐπειδὴ τὸ προσεχὲς προτερεύει τοῦ πόρρω· καὶ γὰρ τὸ προσεχὲς ἐγγύτερόν ἐστι καὶ δι' αὐτοῦ ἐπὶ τὸ πόρρω
35 ἐρχόμεθα· καὶ γὰρ εἰ μὴ ἔχει ὁ τέκτων τὰ ἁπλῶς ξύλα, οὐ δύναται διακρῖναι τὰ τοιάδε ξύλα, οἷον τὰ πεποιωμένα καὶ τὰ οὐ πεποιωμένα, καὶ

---

3 ἰδίως ex ἰδίων corr. K 4 τούτοις] τοῖς ὅροις T 6 τὴν τάξιν V
7 καὶ τὰ ἑξῆς] νοῦ καὶ ἐπιστήμης δεκτικόν T 8 μόνον V 8. 9 ὁ om. KV
ζῷόν ἐστι coll. T 9 ὁ ἵππος καὶ ὁ κύων T μόνος KT 10 ἐστι om. T
λογικός T ὁ ἄγγ. καὶ ὁ δ. T: ἄγγ. δ. (καὶ om.) V 11 γὰρ om. T θνητὸς
(alt. l.) T 17 φύσει om. K 24 τῶν] τοῦ T 25 οὐδὲ] οὔτε libri
27 προτερεύουσι om. V τῶν] τὸν V 28 pr. ὁ] οἱ V 31 ὅτι om. V
32 τέλους om. K 34 ἐγκύτερον T 35 τὰ om. K 36 πεποιωμένα (bis)
scripsi: πεποιημένα libri (cf. p. 21,33) καὶ τὰ οὐ πεποιημένα iter. del. K

Digitized by Google

πάλιν ὁ φιλόσοφος εἰ μὴ μελετήσῃ τὸν θάνατον, τοῦτ' ἔστι νέκρωσιν ἀπεργάσηται τῶν παθῶν, οὐ δύναται ὁμοιωθῆναι θεῷ. ταῦτα μὲν περὶ τῆς τάξεως τῶν ἓξ ὁρισμῶν.

Ἰστέον δὲ ὅτι καὶ ἄλλους δύο ὅρους θέλουσί τινες ἐπεισφέρειν τῇ φιλοσοφίᾳ, ἕνα μὲν οἱ ἰατροὶ ἕνα δὲ ἕτεροι· καὶ γὰρ οἱ ἰατροὶ θέλοντες τὴν οἰκείαν τέχνην σεμνῦναι, κατὰ τὸν ποιητὴν χρύσεα χαλκείων καταλλασσόμενοι, ὁρίζονται λέγοντες ὅτι 'φιλοσοφία ἐστὶν ἰατρικὴ ψυχῶν, ἰατρικὴ δέ ἐστι φιλοσοφία σωμάτων.' οὗτος δὲ ὁ ὅρος οὐκ εὖ ἔχει· διάλληλον γὰρ ἔχει δεῖξιν, ἥτις διαβέβληται παρὰ τοῖς φιλοσόφοις, ἐπειδὴ ἡ διάλληλος δεῖξις ἐκ τοῦ ζητουμένου τὸ ζητούμενον κατασκευάζει, ὡς ὅταν εἴπωμεν 'ποῦ μένει Πλάτων;' 'ὅπου μένει Δίων', | καὶ 'ποῦ μένει Δίων;' 'ὅπου μένει Πλάτων'. 138v οὕτως οὖν καὶ ἐπὶ τούτοις τοῖς ὁρισμοῖς διάλληλός ἐστι δεῖξις· τί γάρ ἐστι φιλοσοφία; 'ἰατρικὴ ψυχῶν', καὶ τί ἰατρική; 'φιλοσοφία σωμάτων'· καὶ ἰδοὺ ἐρωτώμενοι 'τί ἐστιν ἰατρική;' φασὶ 'φιλοσοφία', καὶ 'τί φιλοσοφία;' φασὶν 'ἰατρική', καὶ τὸ ζητούμενον ἐκ τοῦ ζητουμένου κατασκευάζουσιν. ἄλλως τε δὲ εἰ καὶ δῶμεν τὸν ὅρον τὸν λέγοντα ὅτι 'φιλοσοφία ἐστὶν ἰατρικὴ ψυχῶν' καλῶς ἔχειν, ἐμπεριέχεται ἐκ τοῦ ὅρου τοῦ λέγοντος ὅτι 'φιλοσοφία ἐστὶ μελέτη θανάτου'· καὶ γὰρ τὸ μελετᾶν τὸν θάνατον ἤγουν τὸ νέκρωσιν ἀπεργάζεσθαι τῶν παθῶν οὐδὲν ἕτερόν ἐστιν εἰ μὴ τὸ ἰατρεῦσαι ψυχήν. ἕτεροι δὲ ἄλλον ὅρον ἐπεισφέρουσι τῇ φιλοσοφίᾳ λέγοντες 'φιλοσοφία ἐστὶ μεγίστη μουσική'· οὕτω γὰρ ὁ Πλάτων ἐν τῷ Φαίδωνι ὁρίζεται αὐτήν. οὗτος δὲ ὁ ὅρος ἐμπεριέχεται ἐκ τοῦ ὅρου ἀπὸ τῆς ὑπεροχῆς τοῦ λέγοντος ὅτι 'φιλοσοφία ἐστὶ τέχνη τεχνῶν καὶ ἐπιστήμη ἐπιστημῶν'· καὶ γὰρ ὁ λέγων αὐτὴν μεγίστην μουσικὴν ἀπὸ τῆς ὑπεροχῆς ἐστι. ταῦτα μὲν τὸ ὄγδοον κεφάλαιον.

Ἔλθωμεν δὲ καὶ ἐπὶ τὸ ἔνατον καὶ εἴπωμεν τίνες ἐφεῦρον τούτους τοὺς ὅρους. ἰστέον ὅτι οἱ δύο, ὁ ἀπὸ τοῦ ὑποκειμένου καὶ ὁ ἐκ τῆς ἐτυμολογίας, εἰς τὸν Πυθαγόραν ἀναφέρονται. τοῦτο δὲ οὐκ ἔχομεν δεῖξαι ἀπὸ Πυθαγορείων συγγραμμάτων· οὐκ ἐποίησε γὰρ συγγράμματα ὁ Πυθαγόρας· ἔλεγε γὰρ ὅτι 'οὐ βούλομαι ἐν ἀψύχοις τὰ ἐμὰ καταλιπεῖν (ἄψυχα δὲ ἐκάλει τὰ βιβλία), ἀλλ' ἐν ἐμψύχοις ἤτοι ἐν τοῖς μαθηταῖς, οἵτινες καὶ ἐρωτώμενοι δύνανται ἀποκρίνασθαι'· καὶ γὰρ ὁ ἄνθρωπος δύναται πρὸς τὴν ἀπορίαν ἀποκρίνασθαι, τὸ δὲ βιβλίον οὐ δύναται ἀποκρίνασθαι, καὶ ὡς

---

1 μελετήσει libri τὴν νέκρωσιν V 2 ἀπεργάσεται KT 3 ἓξ om. KT 4 καὶ ἄλλους] καλοὺς V 5 οἱ (bis) om. T θέλοντες] μέλλοντες Brand. 6 οἰκείαν] ἰδίαν T σεμνῆναι T κατὰ τὸν ποιητὴν] Hom. Z 236 7 ὁρίζοντες λέγοντες Brand. 8 σώματος Brand. ὁ om. T 12 ἡ δεῖξις T 14 τί ἐστι φιλ. φασὶν ἰατρική, καὶ τί ἐστιν ἰατρ. φασὶ φιλ. T post alt. τί add. ἐστι K 15 τοῦ om. V 16 δὲ om. KT εἰ om. V καὶ om. K 16. 17 ὅτι om. T (bis) 17 ἐμπεριέχ.] περιέχεται T 19 εἰ μὴ] ἢ T ἰατρεῦσαι post ψυχήν colloc. T τὴν ψυχήν TV 20 ὅρον] ὁρισμὸν T ἐπεισφέροντες τῇ φιλ. λέγουσι T 21 ἐν τῇ Φαίδωνι] p. 61 A 22 ἀπὸ Vat. 2253: om. KTV (cf. v. 24) ὅτι om. T 23 ἐστι] πάντως λέγει T 25 ἔνατον KV 26. 27 ἑτοιμολ. T 28 σύγγραμμα Brand. 30. 31 οἵτινες καὶ ἐρωτώμενοι corr. Brand.: ἅτινα καὶ ἐρωτώμενα KTV 31 ἀποκρίνεσθαι T 31. 32 καὶ γὰρ—ἀπορ. ἀποκρίνασθαι om. T 32 δύναται ἀποκρίνασθαι om. T

Digitized by Google

ὅρος ὁ ἐκ τῆς ὑπεροχῆς ὁ λέγων ὅτι 'φιλοσοφία ἐστὶ τέχνη τεχνῶν καὶ ἐπιστήμη ἐπιστημῶν' ἔσχατος τῶν ἄλλων ἐστὶ διὰ τοιαύτην αἰτίαν· τὰ κοινότερα προτερεύουσι τῶν ἰδίως τινὶ ὑπαρχόντων καὶ αὐτῷ μόνῳ τῷ πράγματι ἁρμοζόντων, ὥσπερ καὶ ἐπὶ τῶν ὅρων· καὶ γὰρ καὶ ἐν τούτοις
5 αἱ μὲν κοινότεραι λέξεις πρῶταί εἰσίν, αἱ δὲ ἰδίως αὐτῷ ὑπάρχουσαι καὶ τῷ ὁριστῷ μόνῳ ἁρμόζουσαι τελευταίαν ἐπέχουσι τάξιν, οἷον ὡς ἐπὶ τοῦ 'ἄνθρωπός ἐστι ζῷον λογικὸν θνητὸν καὶ τὰ ἑξῆς'· ἰδοὺ ἐνταῦθα αἱ μὲν κοινότεραι λέξεις πρῶταί εἰσιν, οἷον τὸ ζῷον (οὐ γὰρ μόνος ὁ ἄνθρωπός ἐστι ζῷον ἀλλὰ καὶ ἵππος καὶ κύων), καὶ πάλιν τὸ λογικόν (οὐ μόνον γὰρ ὁ
10 ἄνθρωπός ἐστι λογικὸν ἀλλὰ καὶ ἄγγελος καὶ δαίμων), ὁμοίως καὶ τὸ θνητόν (οὐ μόνον γὰρ ὁ ἄνθρωπός ἐστι θνητὸν ἀλλὰ καὶ αἱ μακραίωνες νύμφαι), αἱ δὲ ἰδίως | αὐτῷ ὑπάρχουσαι καὶ τῷ ὁριστῷ μόνῳ ἁρμόζουσαι 138r τελευταίαν ἐπέχουσι τάξιν· τὸ γὰρ νοῦ καὶ ἐπιστήμης δεκτικόν τῷ ἀνθρώπῳ μόνῳ ἁρμόζει· μόνος γὰρ ὁ ἄνθρωπος μανθάνει τὴν κατ' ἐνέργειαν γνῶσιν,
15 αἱ δὲ μακραίωνες νύμφαι οὔκ εἰσι νοῦ καὶ ἐπιστήμης δεκτικαί· οὐδὲ γὰρ μανθάνουσι τὴν κατ' ἐνέργειαν γνῶσιν, ἀλλ' οἴκοθεν αὐτὴν ἔχουσιν· αὗται γὰρ φύσει πάντα ἴσασιν. ἐπειδὴ οὖν τὰ κοινότερα προτερεύουσι τῶν ἰδίως τινὶ ὑπαρχόντων, τούτου χάριν καὶ οἱ ἀπὸ τοῦ ὑποκειμένου καὶ οἱ ἀπὸ τοῦ τέλους ὅροι προτερεύουσι τοῦ ἀπὸ τῆς ὑπεροχῆς ὅρου· καὶ γὰρ
20 κοινότερον μέν ἐστι τὸ ὑποκείμενον καὶ τὸ τέλος (οὐ μόνον γὰρ ἡ φιλοσοφία ἔχει καὶ ὑποκείμενον καὶ τέλος ἀλλὰ καὶ πᾶσα τέχνη καὶ πᾶσα ἐπιστήμη), ἰδίως δὲ ὑπάρχει τῇ φιλοσοφίᾳ ἡ ὑπεροχή· μόνη γὰρ ἡ φιλοσοφία ὑπερέχει πασῶν τῶν τεχνῶν καὶ ἐπιστημῶν. οἱ δὲ ἐκ τοῦ ὑποκειμένου ὅροι προτερεύουσι τῶν ἐκ τοῦ τέλους, ἐπειδὴ καὶ τὸ ὑποκείμενον
25 προτερεύει τοῦ τέλους· εἰ μὴ γὰρ ἦ ὑποκείμενον, οὐδὲ τέλος εὑρίσκεται· εἰ μὴ γὰρ ἔχει ὁ τέκτων ξύλα, οὐ δύναται ποιῆσαι θρόνον ἢ κλίνην ἤ τι τοιοῦτον. οἱ δὲ ἐκ τοῦ προσεχοῦς προτερεύουσι τῶν ἐκ τοῦ πόρρω, οἷον ὁ ἐκ τοῦ προσεχοῦς ὑποκειμένου ὁ λέγων ὅτι 'φιλοσοφία ἐστὶ γνῶσις τῶν ὄντων ᾗ ὄντα ἐστί' προτερεύει τοῦ ἐκ τοῦ πόρρω ὑποκειμένου τοῦ λέγοντος
30 ὅτι 'φιλοσοφία ἐστὶ γνῶσις θείων τε καὶ ἀνθρωπίνων πραγμάτων'. καὶ πάλιν ὁ ἐκ τοῦ προσεχοῦς τέλους ὁ λέγων ὅτι 'φιλοσοφία ἐστὶ μελέτη θανάτου' προτερεύει τοῦ ἐκ τοῦ πόρρω τέλους τοῦ λέγοντος ὅτι 'φιλοσοφία ἐστιν ὁμοίωσις θεῷ κατὰ τὸ δυνατὸν ἀνθρώπῳ', ἐπειδὴ τὸ προσεχὲς προτερεύει τοῦ πόρρω· καὶ γὰρ τὸ προσεχὲς ἐγγύτερόν ἐστι καὶ δι' αὐτοῦ ἐπὶ τὸ πόρρω
35 ἐρχόμεθα· καὶ γὰρ εἰ μὴ ἔχει ὁ τέκτων τὰ ἁπλῶς ξύλα, οὐ δύναται διακρῖναι τὰ τοιάδε ξύλα, οἷον τὰ πεποιωμένα καὶ τὰ οὐ πεποιωμένα, καὶ

---

3 ἰδίως ex ἰδίων corr. K 4 τούτοις] τοῖς ὅροις T 6 τὴν τάξιν V
7 καὶ τὰ ἑξῆς] νοῦ καὶ ἐπιστήμης δεκτικόν T 8 μόνον V 8. 9 ὁ om. KV
ζῷόν ἐστι coll. T 9 ὁ ἵππος καὶ ὁ κύων T μόνος KT 10 ἐστι om. T
λογικός T ὁ ἄγγ. καὶ ὁ δ. T: ἄγγ. δ. (καὶ om.) V 11 γὰρ om. T θνητὸς
(alt. l.) T 17 φύσει om. K 24 τῶν] τοῦ T 25 οὐδὲ] οὔτε libri
27 προτερεύουσι om. V τῶν] τὸν V 28 pr. ὁ] οἱ V 31 ὅτι om. V
32 τέλους om. K 34 ἐγκύτερον T 35 τὰ om. K 36 πεποιωμένα (bis)
scripsi: πεποιημένα libri (cf. p. 21,33) καὶ τὰ οὐ πεποιημένα iter. del. K

Digitized by Google

πάλιν ὁ φιλόσοφος εἰ μὴ μελετήσῃ τὸν θάνατον, τοῦτ' ἔστι νέκρωσιν ἀπεργάσηται τῶν παθῶν, οὐ δύναται ὁμοιωθῆναι θεῷ. ταῦτα μὲν περὶ τῆς τάξεως τῶν ἐξ ὁρισμῶν.

Ἰστέον δὲ ὅτι καὶ ἄλλους δύο ὅρους θέλουσί τινες ἐπεισφέρειν τῇ φιλοσοφίᾳ, ἕνα μὲν οἱ ἰατροὶ ἕνα δὲ ἕτεροι· καὶ γὰρ οἱ ἰατροὶ θέλοντες τὴν οἰκείαν τέχνην σεμνῦναι, κατὰ τὸν ποιητὴν χρύσεα χαλκείων καταλλασσόμενοι, ὁρίζονται λέγοντες ὅτι 'φιλοσοφία ἐστὶν ἰατρικὴ ψυχῶν, ἰατρικὴ δέ ἐστι φιλοσοφία σωμάτων.' οὗτος δὲ ὁ ὅρος οὐκ εὖ ἔχει· διάλληλον γὰρ ἔχει δεῖξιν, ἥτις διαβέβληται παρὰ τοῖς φιλοσόφοις, ἐπειδὴ ἡ διάλληλος δεῖξις ἐκ τοῦ ζητουμένου τὸ ζητούμενον κατασκευάζει, ὡς ὅταν εἴπωμεν 'ποῦ μένει Πλάτων;' 'ὅπου μένει Δίων', | καὶ 'ποῦ μένει Δίων;' 'ὅπου μένει Πλάτων'. 138v οὕτως οὖν καὶ ἐπὶ τούτοις τοῖς ὁρισμοῖς διάλληλός ἐστι δεῖξις· τί γάρ ἐστι φιλοσοφία; 'ἰατρικὴ ψυχῶν', καὶ τί ἰατρική; 'φιλοσοφία σωμάτων'· καὶ ἰδοὺ ἐρωτώμενοι 'τί ἐστιν ἰατρική;' φασὶ 'φιλοσοφία', καὶ 'τί φιλοσοφία;' φασὶν 'ἰατρική', καὶ τὸ ζητούμενον ἐκ τοῦ ζητουμένου κατασκευάζουσιν. ἄλλως τε δὲ εἰ καὶ δῶμεν τὸν ὅρον τὸν λέγοντα ὅτι 'φιλοσοφία ἐστὶν ἰατρικὴ ψυχῶν' καλῶς ἔχειν, ἐμπεριέχεται ἐκ τοῦ ὅρου τοῦ λέγοντος ὅτι 'φιλοσοφία ἐστὶ μελέτη θανάτου'· καὶ γὰρ τὸ μελετᾶν τὸν θάνατον ἤγουν τὸ νέκρωσιν ἀπεργάζεσθαι τῶν παθῶν οὐδὲν ἕτερόν ἐστιν εἰ μὴ τὸ ἰατρεῦσαι ψυχήν. ἕτεροι δὲ ἄλλον ὅρον ἐπεισφέρουσι τῇ φιλοσοφίᾳ λέγοντες 'φιλοσοφία ἐστὶ μεγίστη μουσική'· οὕτω γὰρ ὁ Πλάτων ἐν τῷ Φαίδωνι ὁρίζεται αὐτήν. οὗτος δὲ ὁ ὅρος ἐμπεριέχεται ἐκ τοῦ ὅρου ἀπὸ τῆς ὑπεροχῆς τοῦ λέγοντος ὅτι 'φιλοσοφία ἐστὶ τέχνη τεχνῶν καὶ ἐπιστήμη ἐπιστημῶν'· καὶ γὰρ ὁ λέγων αὐτὴν μεγίστην μουσικὴν ἀπὸ τῆς ὑπεροχῆς ἐστι. ταῦτα μὲν τὸ ὄγδοον κεφάλαιον.

Ἔλθωμεν δὲ καὶ ἐπὶ τὸ ἔνατον καὶ εἴπωμεν τίνες ἐφεῦρον τούτους τοὺς ὅρους. ἰστέον ὅτι οἱ δύο, ὁ ἀπὸ τοῦ ὑποκειμένου καὶ ὁ ἐκ τῆς ἐτυμολογίας, εἰς τὸν Πυθαγόραν ἀναφέρονται. τοῦτο δὲ οὐκ ἔχομεν δεῖξαι ἀπὸ Πυθαγορείων συγγραμμάτων· οὐκ ἐποίησε γὰρ συγγράμματα ὁ Πυθαγόρας· ἔλεγε γὰρ ὅτι 'οὐ βούλομαι ἐν ἀψύχοις τὰ ἐμὰ καταλιπεῖν (ἄψυχα δὲ ἐκάλει τὰ βιβλία), ἀλλ' ἐν ἐμψύχοις ἤτοι ἐν τοῖς μαθηταῖς, οἵτινες καὶ ἐρωτώμενοι δύνανται ἀποκρίνασθαι'· καὶ γὰρ ὁ ἄνθρωπος δύναται πρὸς τὴν ἀπορίαν ἀποκρίνασθαι, τὸ δὲ βιβλίον οὐ δύναται ἀποκρίνασθαι, καὶ ὡς

---

1 μελετήσει libri τὴν νέκρωσιν V 2 ἀπεργάσεται KT 3 ἐξ om. KT 4 καὶ ἄλλους] καλοὺς V 5 οἱ (bis) om. T θέλοντες] μέλλοντες Brand. 6 οἰκείαν] ἰδίαν T σεμνῆναι T κατὰ τὸν ποιητὴν] Hom. Z 236 7 ὁρίζοντες λέγοντες Brand. 8 σώματος Brand. ὁ om. T 12 ἡ δεῖξις T 14 τί ἐστι φιλ. φασὶν ἰατρική, καὶ τί ἐστιν ἰατρ. φασὶ φιλ. T post alt. τί add. ἐστι K 15 τοῦ om. V 16 δὲ om. KT εἰ om. V καὶ om. K 16. 17 ὅτι om. T (bis) 17 ἐμπεριέχ.] περιέχεται T 19 εἰ μὴ] ἢ T ἰατρεῦσαι post ψυχήν colloc. T τὴν ψυχήν TV 20 ὅρον] ὁρισμὸν T ἐπεισφέροντες τῇ φιλ. λέγουσι T 21 ἐν τῇ Φαίδωνι] p. 61 A 22 ἀπὸ Vat. 2253: om. KTV (cf. v. 24) ὅτι om. T 23 ἐστι] πάντως λέγει T 25 ἔννατον KV 26. 27 ἑτοιμολ. T 28 σύγγραμμα Brand. 30. 31 οἵτινες καὶ ἐρωτώμενοι corr. Brand.: ἅτινα καὶ ἐρωτώμενα KTV 31 ἀποκρίνεσθαι T 31. 32 καὶ γὰρ—ἀπορ. ἀποκρίνασθαι om. T 32 δύναται ἀποκρίνασθαι om. T

Digitized by Google

ἔλεγέ τις τῶν Πυθαγορείων 'οὐ δύνανται τὰ βιβλία διδάξαι με ἀεί, ἄλλα καὶ ἄλλα ἀεὶ περὶ τῶν αὐτῶν φθεγγόμενον'· καὶ γὰρ τὸ βιβλίον ἀεὶ τὰ αὐτὰ περὶ τῶν αὐτῶν λέγει καὶ οὐ δύναται πρὸς τὸ ἐρωτώμενον ἀποκρίνασθαι, ὁ δὲ ἄνθρωπος δύναται πρὸς τὸ ἐρωτώμενον ἀποκρίνασθαι. ὡς οὖν εἴρηται, ἐκ τῶν Πυθαγορείων συγγραμμάτων οὐκ ἔχομεν δεῖξαι ὅτι οὗτοι οἱ ὅροι εἰς Πυθαγόραν ἀναφέρονται· οὐδὲ γὰρ συγγράμματα κατέλιπε· μηδὲ γάρ τις οἰέσθω τὰ Χρυσᾶ ἔπη αὐτοῦ εἶναι, ἀλλά τις τῶν Πυθαγορείων ἐποίησε ταῦτα καὶ πρὸς τιμὴν ἐπέγραψε τὸ ὄνομα τοῦ οἰκείου διδασκάλου. δείκνυμεν δὲ ὅτι οὗτοι οἱ ὅροι τοῦ Πυθαγόρου εἰσὶν ἐκ τῶν Πυθαγορείων· καὶ γὰρ ὁ Νικόμαχος (εἷς δὲ οὗτος τῶν Πυθαγορείων) λέγει ὅτι 'ὁ Πυθαγόρας οὕτως ὡρίζετο τὴν φιλοσοφίαν· φιλοσοφία ἐστὶ γνῶσις τῶν ὄντων ᾗ ὄντα ἐστί, καὶ πάλιν γνῶσις θείων τε καὶ ἀνθρωπίνων πραγμάτων, | καὶ πάλιν 139r φιλοσοφία ἐστὶ φιλία σοφίας'. οἱ δὲ δύο οἱ ἐκ τοῦ τέλους εἰς τὸν Πλάτωνα ἀναφέρονται, ὁ λέγων ὅτι 'φιλοσοφία ἐστὶ μελέτη θανάτου' καὶ πάλιν ὁ λέγων ὅτι 'φιλοσοφία ἐστὶν ὁμοίωσις θεῷ κατὰ τὸ δυνατὸν ἀνθρώπῳ'· καὶ γὰρ ἐν μὲν τῷ Φαίδωνι φαίνεται δοξάζων τὴν φιλοσοφίαν μελέτην θανάτου, δι' ὧν φησι 'κινδυνεύουσι γὰρ ὅσοι τυγχάνουσιν ὀρθῶς ἁπτόμενοι φιλοσοφίας λεληθέναι σφᾶς τε αὐτοὺς καὶ τοὺς ἄλλους μηδὲν ἕτερον μελετῶντες ἢ θνήσκειν τε καὶ τεθνάναι', ἐν δὲ τῷ Θεαιτήτῳ φαίνεται δοξάζων αὐτὴν ὁμοίωσιν θεῷ κατὰ τὸ δυνατὸν ἀνθρώπῳ, δι' ὧν φησιν 'ἀλλ' ἐπεί, ὦ Θεόδωρε (γεωμέτρης δὲ οὗτος), οὔτ' ἀπολέσθαι τὰ κακὰ δυνατόν (ὑπεναντίον γάρ τι τῷ ἀγαθῷ εἶναι ἀνάγκη) οὔτ' ἐν θεοῖς αὐτὰ ἱδρῦσθαι, τήνδε τὴν θνητὴν φύσιν καὶ τόνδε τὸν τόπον ἐξ ἀνάγκης περιπολεῖ. διὸ δεῖ πειρᾶσθαι φεύγειν ἐνθένδε ἐκεῖσε ὅτι τάχιστα. τίς οὖν ἡ φυγή ἐστιν; ὁμοίωσις θεῷ κατὰ τὸ δυνατὸν ἀνθρώπῳ. ὁμοίωσις δὲ θεῷ ἐστι τὸ ὅσιον καὶ δίκαιον γενέσθαι μετὰ φρονήσεως'. ὁ δὲ ἐκ τῆς ὑπεροχῆς ὅρος ὁ λέγων ὅτι 'φιλοσοφία ἐστὶ τέχνη τεχνῶν καὶ ἐπιστήμη ἐπιστημῶν' εἰς τὸν Ἀριστοτέλην ἀναφέρεται· οὕτω γὰρ τὴν φιλοσοφίαν ὁρίζεται ἐν τῇ Μετὰ τὰ φυσικά. ἐν οἷς σὺν θεῷ καὶ ἡ παροῦσα πρᾶξις.

Πρᾶξις θ'.

Μαθόντες πόσοι καὶ ποῖοι τῆς φιλοσοφίας εἰσὶν ὁρισμοὶ καὶ τὴν αἰτίαν δι' ἣν τοσοῦτοί εἰσι καὶ τὴν τάξιν αὐτῶν καὶ τίνες ἐφεῦρον αὐτούς,

---

1 διδάξαι με τὰ βιβλία colloc. T διδάξε V ἄλλα γὰρ ἀεὶ T 2 ἀεὶ (prius) om. T φθεγγόμενον scripsi: φθεγγόμενα KV: φθέγγομαι T καὶ γὰρ τὸ] τὸ δέ γε T post τὰ αὐτὰ coll. ἀεὶ Brand. 5 τῶν om. TV οὐκ ἔχ. δεῖξαι post εἴρ. (4) colloc. T 6 κατέλιπε] ἐποίησε V 7 πυθαγορίων (fere const.) V 8 ἔγραψε KV τὸ ὄνομα om. K 9 οἱ ὅροι οὗτοι colloc. K 10 ὁ om. Brand. Νικόμ.] cf. Zelleri Ph. Gr. V³ p. 108 11 οὗτος K ὁρίζει V 13 φιλία σοφίας] φιλοσοφία Brand. οἱ (ante ἐκ) supra scr. K 14 πάλιν om. T 15 ὅτι om. K φιλ. ἐστὶν om. T 16 Φαίδωνι] p. 64 A 18 ἑαυτοὺς T 19 τε om. V Θεαιτήτῳ] p. 176 A 20 ὁμοίωσις V 21 οὗτος ἦν T ὑπεναντίαν T γὰρ] δὲ V 22 αὐτὰ] ταῦτα K 24 τίς] τί V τὸ om. KV 27. 28 τὴν φιλ.] ἐκεῖνος αὐτὴν T 28 Μετὰ τὰ φ.] A 2 p. 982a4 sq. ἐν οἷς—πρᾶξις om. T post πρᾶξις add. σὺν θεῷ abhinc interdum etiam K 30 εἰσὶν om. K οἱ ὁρισμ. KT 31 αὐτούς] αὐτήν KV

Digitized by Google

ἔλθωμεν καὶ τούτους σαφηνίσωμεν εἰς μέσον αὐτοὺς ἀγαγόντες. ἰστέον ὅτι πρῶτος ὅρος ἐστὶν ὁ λέγων ὅτι 'φιλοσοφία ἐστὶ γνῶσις τῶν ὄντων ᾗ ὄντα ἐστί'. καὶ δεῖ γινώσκειν ὅτι ἀντὶ μὲν γένους εἴληπται τὸ γνῶσις· καὶ γὰρ ἡ γνῶσις κοινότερόν τί ἐστιν· ἔστι γὰρ γνῶσις καθολικὴ καὶ γνῶσις μερικὴ καὶ πάλιν γνῶσις μετ' αἰτίας καὶ γνῶσις ἄνευ αἰτίας, ὡς ἡ κατ' ἐμπειρίαν γνῶσις. αἱ δὲ λοιπαὶ λέξεις ἀντὶ συστατικῶν διαφορῶν λαμβάνονται διαχωρίζουσαι τὴν φιλοσοφίαν ἀπὸ τῶν ἄλλων τεχνῶν καὶ τῶν ἄλλων ἐπιστημῶν· καὶ γὰρ ἡ φιλοσοφία μὲν πάντων τῶν ὄντων ἐστὶ γνῶσις, αἱ δὲ ἄλλαι τέχναι καὶ ἐπιστῆμαι οὐ πάντων τῶν ὄντων εἰσὶ γνώσεις ἀλλὰ τινῶν ὄντων· καὶ γὰρ ἡ ἀστρονομία περὶ μόνους τοὺς ἀστέρας καταγίνεται καὶ ἡ ἰατρικὴ περὶ μόνα τὰ ἀνθρώπεια σώματα καταγίνεται καὶ ἡ τεκτονικὴ περὶ μόνα τὰ ξύλα καταγίνεται. ταῦτα μὲν ἐν τούτοις.

Ἀποροῦσι δέ τινες λέγοντες· διὰ τί εἶπε γνῶσις; τί γάρ; μόνη ἡ φιλοσοφία ἐστὶ γνῶσις καὶ οὐχὶ πᾶσα τέχνη; καὶ ἐπιλυόμενοί τινες λέγουσιν ὅτι ἐπειδὴ αἱ τέχναι ὀλίγα μὲν γινώσκουσαι πολλὰ δὲ ἀγνοοῦσαι μᾶλλον ἄγνοιαί εἰσιν ἤπερ γνώσεις, | ἡ δὲ φιλοσοφία ὡς πάντα γινώσκουσα κυρίως 139v γνῶσίς ἐστι. ταῦτα μὲν οὗτοι λέγουσιν ἐπιλυόμενοι. ἔστι δὲ εἰπεῖν ὅτι περιττή ἐστιν ἡ ἀπορία· κατὰ γὰρ τὸν λόγον αὐτῶν οὐδὲ τὸν ἄνθρωπον ὁριζόμενοι ὀφείλομεν λέγειν ζῷον, ἐπειδὴ οὐ μόνον ἄνθρωπός ἐστι ζῷον ἀλλὰ καὶ ἵππος καὶ βοῦς. πάλιν ἀποροῦσι λέγοντες· διὰ τί εἶπε μετὰ τοῦ ἄρθρου 'γνῶσις τῶν ὄντων' καὶ μὴ ἄνευ ἄρθρου 'γνῶσις ὄντων'; καὶ ἐπιλυόμενοι λέγουσιν ὅτι διὰ τοῦτο εἶπε μετὰ τοῦ ἄρθρου, ἵνα δείξῃ ὅτι ἔχουσι κοινωνίαν τὰ ὄντα· καὶ γὰρ τὰ ὄντα καὶ ἄνω ἔχουσι κοινωνίαν κατὰ τὸ ποιητικὸν αἴτιον, ἤγουν κατὰ τὸ δημιουργικόν, καὶ κάτω κατὰ τὸ ὑλικόν, ὡς καὶ ὁ Πλάτων λέγει 'συνέδησεν ὁ θεὸς τὰς κορυφὰς τῶν πραγμάτων ἄνω τε καὶ κάτω, ἄνω μὲν κατὰ τὸ ποιητικὸν αἴτιον, ἤγουν δημιουργικόν, κάτω δὲ κατὰ τὸ ὑλικόν'. ταῦτα μὲν οὗτοι. ἔστι δὲ εἰπεῖν πρὸς αὐτοὺς ὅτι κακῶς λέγετε· οὐδὲ γὰρ τὸ ἄρθρον δηλοῖ κοινωνίαν ἀλλ' ἢ ὅλως ἀναφορὰν καὶ ἀναπόλησιν προεγνωσμένου πράγματος· ἐὰν γὰρ εἴπω 'ἄνθρωπος ἦλθεν', ἀγνοούμενόν τινα δηλῶ, ἐὰν δὲ εἴπω 'ὁ ἄνθρωπος ἦλθε', προεγνωσμένον τινὰ εἰσάγω. ἔστιν οὖν εἰπεῖν ὅτι διὰ τοῦτο μετὰ τοῦ ἄρθρου εἶπεν οἷον 'γνῶσις τῶν ὄντων', ἵνα δηλώσῃ ὅτι πάντων τῶν ὄντων γνῶσίς ἐστιν ἡ φιλοσοφία καὶ οὐ τινῶν ὄντων· εἰ γὰρ εἶπε χωρὶς ἄρθρου οἷον 'γνῶσις ὄντων', τὸ αὐτὸ ἔλεγεν ὡς εἰ ἔλεγε 'γνῶσις τινῶν

---

4 τι supra scr. K 5 πάλιν om. T 8 μὲν om. T 9 ἐστὶ γνῶσις V εἰσὶ γνώσεις post τινῶν ὄντων colloc. T 11. 12 καταγ. (post σώμ. et ξύλα) om. T 14 καὶ ἐπιλ.] ἐπιλ. δὲ T 15. 16 ἄγνοιαι μᾶλλον colloc. T 16 ἤπερ] ἢ T: ὥσπερ (ἤ superscr.) V γνῶσις V ὡς om. KV 18 οὐδὲ] οὔτε libri 19 μόνος KT 20 βοῦς καὶ ἵππος καὶ κύων T 20. 21 εἶπε τῶν ὄντων μετὰ τοῦ ἄρθρου. καὶ ἐπιλυόμενοι (rel. om.) T 24 ante κατὰ τὸ ποιητ. add. καὶ T καὶ κάτω] κάτω δὲ K 25. 27 ὡς καὶ—ὑλικόν om. K 25 καὶ om. T ὁ Πλάτων] Phaedo. p. 60 C 25. 26 συνέδησεν—κάτω in mrg. suppl. V[1] 28 ἢ] εἰ V 31 εἰσάγω] δηλῶ T 32 οἷον om. T

Digitized by Google

ὄντων', ὡς καὶ ὁ Ἀριστοτέλης ἐν τῷ Περὶ ἑρμηνείας φησὶν ὅτι αἱ ἀπροσδιόριστοι προτάσεις ἰσοδυναμοῦσι ταῖς μεριναῖς προσδιωρισμέναις προτάσεσιν, οἷον ὁ λέγων 'ἄνθρωπος περιπατεῖ' τὸ αὐτὸ λέγει ὡς ἵνα λέγῃ 'τὶς ἄνθρωπος περιπατεῖ'. αἱ δὲ μετὰ τοῦ ἄρθρου προτάσεις ἰσοδυναμοῦσι ταῖς καθολικαῖς
5 προσδιωρισμέναις προτάσεσι· καὶ γὰρ 'ὁ ἄνθρωπος περιπατεῖ' ἐὰν εἴπῃ τις, τὸ αὐτὸ λέγει ὡς ἵνα λέγῃ 'πᾶς ἄνθρωπος περιπατεῖ'. ἵνα οὖν δηλώσῃ ὅτι πάντων τῶν ὄντων ἐστὶ γνῶσις ἡ φιλοσοφία καὶ οὐ τινῶν ὄντων, τούτου χάριν εἶπε μετὰ τοῦ ἄρθρου. πάλιν ἀποροῦσι λέγοντες· διὰ τί εἶπε 'γνῶσις τῶν ὄντων' καὶ οὐκ εἶπε 'καὶ τῶν μὴ ὄντων'; καὶ ἔστιν εἰπεῖν ὅτι πρῶτον
10 μὲν μὴ ὄντων οὐκ ἔστι γνῶσις (οὐδεὶς γὰρ τὰ μὴ ὄντα δύναται γνῶναι· ἡ γὰρ γνῶσις τῶν ὄντων ἐστί), δεύτερον δὲ εἰ καὶ δῶμεν τῶν μὴ ὄντων εἶναι γνῶσιν, διὰ τοῦ εἰπεῖν 'γνῶσις τῶν ὄντων' συμπεριέλαβε καὶ τὰ ἀντικείμενα, λέγω δὴ τὰ μὴ ὄντα· καὶ γὰρ ὁ γινώσκων τὸ ἓν τῶν ἀντικειμένων καὶ τὸ ἕτερον τῶν ἀντικειμένων γινώσκει· οἷον ὁ γινώσκων ὅτι τὸ λευκὸν ἐστι
15 χρῶμα διακριτικὸν ὄψεως οἶδεν ὅτι τὸ μέλαν χρῶμα συγκριτικὸν ὄψεώς ἐστι. ταῦτα μὲν ἐν τούτοις. ἰστέον δὲ ὅτι 'ᾗ ὄντα ἐστί' προσέθηκεν, ἵνα δηλώσῃ πῶς γινώσκει ἡ φιλοσοφία τὰ ὄντα, τοῦτ' ἔστιν ὅτι οὐ γινώσκει αὐτὰ κατὰ τὸ ποσόν· οὐ γὰρ γινώσκει τὸ πόσοι ἄνθρωποί εἰσιν ἢ ἵπποι ἢ ἀστέρες, ἀλλὰ τὴν φύσιν αὐτῶν γινώσκει. τοῦτο οὖν βούλεται δηλοῦν τὸ 'φιλοσοφία
20 ἐστὶ γνῶσις τῶν ὄντων ᾗ ὄντα ἐστί', τοῦτ' ἔστι καθὸ | ὑπάρχουσι καὶ 140r ὅπως ἔχουσι φύσεως· οὕτω γὰρ γινώσκει αὐτά, ὡς ἔχουσι φύσεως.

Ταῦτα μὲν ἡ σαφήνεια τοῦ πρώτου ὅρου τοῦ λέγοντος 'φιλοσοφία ἐστὶ γνῶσις τῶν ὄντων ᾗ ὄντα ἐστίν'. ἔλθωμεν δὲ καὶ ἐπὶ τὸν δεύτερον ὅρον καὶ τοῦτον σαφηνίσωμεν. ἰστέον ὅτι δεύτερος ὅρος τῆς φιλοσοφίας ἐστὶν ὁ
25 λέγων ὅτι 'φιλοσοφία ἐστὶ γνῶσις θείων τε καὶ ἀνθρωπίνων πραγμάτων'. καὶ δεῖ γινώσκειν ὅτι ἡ μὲν γνῶσις ἀντὶ γένους εἴληπται, αἱ δὲ λοιπαὶ λέξεις ἀντὶ συστατικῶν διαφορῶν· καὶ γὰρ ἡ φιλοσοφία περὶ τὰ θεῖα καὶ ἀνθρώπινα πράγματα καταγίνεται καὶ οὔτε τῶν θείων καταφρονεῖ διὰ τὸ καταγίνεσθαι περὶ τὰ ἀνθρώπινα οὔτε τῶν ἀνθρωπίνων ἀμελεῖ διὰ τὸ καταγίνεσθαι
30 περὶ τὰ θεῖα, ἀλλὰ τῶν μὲν θείων ἐφίεται ὡς μαθητιῶσα τὰ δὲ ἀνθρώπινα κοσμεῖ ἐπὶ τὸ τέλειον αὐτὰ ἀνάγουσα. ἀποροῦσι δέ τινες λέγοντες· πῶς φατε τὴν φιλοσοφίαν γνῶσιν θείων τε καὶ ἀνθρωπίνων πραγμάτων εἶναι, εἴ γε οὐ μόνον περὶ τὰ θεῖα καὶ ἀνθρώπινα πράγματα καταγίνεται ἀλλὰ καὶ περὶ ἄλλα τινά· διαλαμβάνει γὰρ περὶ οὐρανοῦ, ὅσπερ οὐκ ἔστι θεός, καὶ

---

1 ὁ om. V ἐν τῷ Περὶ ἑρμ.] p. 17b29 Amm. comm. p. 110,24 111,10 post ὅτι add. καὶ T 2 προδιωρισμ. V 3 ὡς ἵνα] ὡσεὶ T λέγῃ] λέγει V: ἔλεγε T 5 προτάσεσι ταῖς προσδ. T ἐὰν εἴπῃ τις ὁ ἄνθρ. περιπ. colloc. T 6 λέγῃ] λέγει V 7 γνῶσις ἐστὶ colloc. T 9 ὅτι post μὲν (10) colloc. T 14 οἷον] καὶ T: om. V τὸ (ante λευκόν) om. K 16 ἐστί om. T 17 ὅτι om. V 18 τὸ om. T (bis) 20 τοῦτ' ἔστι om. KT 23 εἰσίν (alt. l.) T 24 τῆς φιλοσοφίας ὅρος coll. T 25 ὅτι om. T 29. 30 ἀνθρώπεια (bis) VT 31 τέλειον] πλεῖον V αὐτά] ταῦτα T 32 εἴ] ἤ ex εἴ corr. V 34 ὅσπερ] ὅπερ libri

Digitized by Google

πάλιν Περὶ ζῴων ὁ Ἀριστοτέλης διαλαμβάνει, ἐν ᾧ οὐ μόνον περὶ ἀνθρώπων ἔγραψεν ἀλλὰ καὶ περὶ ἄλλων ζῴων, καὶ πάλιν περὶ φυτῶν, ἅπερ οὔτε θεός ἐστιν οὔτε ἄνθρωπος. ἔστιν οὖν εἰπεῖν ὅτι ἐπειδὴ τῶν ὄντων τὰ μὲν ἀίδιά εἰσι τὰ δὲ φθαρτά, καὶ ἐν μὲν τοῖς ἀιδίοις τιμιώτερά εἰσι τὰ θεῖα ἐν δὲ τοῖς φθαρτοῖς τὰ ἀνθρώπινα, τούτου χάριν ἐμνημόνευσε τούτων μόνων ὡς τιμιωτέρων. ἰστέον δὲ ὅτι ἑκάτερος τῶν ῥηθέντων ὅρων καὶ νικᾷ τὸν ἕτερον καὶ νικᾶται ὑπὸ τοῦ ἑτέρου· καὶ γὰρ ὁ μὲν πρῶτος ὅρος νικᾷ τὸν δεύτερον τῇ ἀκριβείᾳ· ἐδήλωσε γὰρ πῶς γινώσκει τὰ ὄντα ἡ φιλοσοφία διὰ τῆς προσθήκης 'ᾗ ὄντα ἐστίν'. ὁ δὲ δεύτερος ὅρος νικᾷ τὸν πρῶτον τῇ σαφηνείᾳ· διὰ γὰρ τοῦ εἰπεῖν 'γνῶσις θείων τε καὶ ἀνθρωπίνων πραγμάτων' ἐδήλωσε περὶ ποῖα ὄντα καταγίνεται ἡ φιλοσοφία. ἐν οἷς σὺν θεῷ καὶ ἡ παροῦσα πρᾶξις.

Πρᾶξις ι'.

Τρίτος ὅρος ἐστὶν ὁ ἀπὸ τοῦ προσεχοῦς τέλους ὁ λέγων ὅτι 'φιλοσοφία ἐστὶ μελέτη θανάτου'· οὕτω γὰρ ὁρίζεται αὐτὴν ὁ Πλάτων ἐν τῷ Φαίδωνι, δι' ὧν φησι 'κινδυνεύουσι γὰρ ὅσοι τυγχάνουσιν ὀρθῶς ἁπτόμενοι φιλοσοφίας λεληθέναι σφᾶς τε αὐτοὺς καὶ τοὺς ἄλλους μηδὲν ἕτερον μελετῶντες ἢ θνήσκειν τε καὶ τεθνάναι'. καλῶς δὲ τὰ δύο πρόσκειται, τὸ θνήσκειν τε καὶ τεθνάναι· διὰ μὲν γὰρ τοῦ θνήσκειν τὸ πρακτικὸν ἐδηλώθη· ὁ γὰρ φιλόσοφος ἐν τῷ τελευτᾶν τὸ πρακτικὸν ἔχει· τότε γὰρ νέκρωσιν ἀπεργάζεται τῶν παθῶν. διὰ δὲ τοῦ τεθνάναι τὸ θεωρητικὸν ἐδηλώθη· τὸ γὰρ τεθνάναι παρελθοῦσαν ἔχει τὴν σημασίαν, ὁ δὲ φιλόσοφος μετὰ τὸ τεθνάναι ἐστὶ θεω|ρητικός· μετὰ γὰρ τὸ νεκρῶσαι τὰ πάθη καὶ καθαρθῆναι τὴν ψυχὴν 140v πρὸς θεωρίαν ἀνατείνεται καὶ ἄρχεται θεολογεῖν· εἰ μὴ γὰρ νέκρωσιν τῶν παθῶν ἀπεργάσηται καὶ καθαρθῇ τὴν ψυχήν, οὐ δύναται θεολογῆσαι· κατὰ γὰρ τὸν Πλάτωνα 'τὸ μὴ καθαρὸν καθαροῦ ἐφάπτεσθαι οὐχὶ θεμιτόν'. τοῦτα μὲν ἐν τούτοις.

Ἀποροῦσι δέ τινες πρὸς τὸν Πλάτωνα λέγοντα τὴν φιλοσοφίαν μελέτην θανάτου λέγοντες· τί φής, ὦ Πλάτων; ὁ φιλόσοφος ἐξάγει ἤγουν ἀναιρεῖ ἑαυτὸν καὶ τυραννίδα μελετᾷ κατὰ τοῦ δημιουργοῦ βουλόμενος λῦσαι τὸν δεσμὸν ὃν ἐκεῖνος ἔδησεν, φημὶ δὲ τὸν τῆς ψυχῆς καὶ τοῦ σώματος; ὅτι γὰρ οὐ δεῖ τινα ἑαυτὸν ἐξάγειν ἤγουν ἀναιρεῖν, δείκνυται διὰ πολλῶν ἐπιχειρημάτων, πρῶτον μὲν ἐξ αὐτοῦ τοῦ Πλάτωνος· καὶ γὰρ αὐτὸς ὁ Πλάτων ἐν τῷ αὐτῷ διαλόγῳ φησὶν ὅτι 'ὡς ἄρα ἔν τινι φρουρᾷ ἐσμεν καὶ οὐ δεῖ

---

1 ζώου V 2 φυτῶν ἅπερ] ψυχῆς ὅπερ V 3 ἐπειδὴ om. V 4 μὲν om. T
5 ἐμνημόνευσεν ὁ ὅρος T μόνων om. K 6 δὲ om. K ῥηθέντων] τοιούτων T 7. 8 ἐν τῇ ἀκρ. T 9 ante ᾗ add. τοῦ T εἰσὶν T
11 ἐν οἷς—πρᾶξις om. T 13 ὁ (post ἐστὶν) om. T ὅτι om. KV
14 ὁρ. ὁ πλάτων ἐν τῷ φ. ταύτην K: ὁρ. πλάτων αὐτὴν ἐν τῷ φ. V ἐν τῷ Φαίδωνι] cf. p. 26,16 16 ἑαυτοὺς T 17 πρόκειται K τε om. V
18 ante alt. γὰρ add. μὲν T 24 ἀπεργάσεται libri 25 Πλάτωνα] Phaedo. p. 67 B
27 Πλάτωνα om. K λέγοντες V 28 θανάτου εἶναι K post Πλάτ. add. λέγοντες V 31 ἑαυτὸν om. T 33 ἐν τῷ αὐτῷ διαλ] Phaedo. p. 62 B

Digitized by Google

ταύτης ἑαυτὸν ἐξάγειν καὶ διαδιδράσκειν'. δεύτερον δὲ εἰ ἄρα ὁ φιλόσοφος ὅμοιος τῷ θεῷ ἐστιν, ὡς ἐδείξαμεν ἀνωτέρω δείξαντες αὐτὸν διὰ τῶν αὐτῶν χαρακτηριζόμενον δι' ὧνπερ καὶ τὸ θεῖον, ὁ δὲ ὅμοιος τῷ θεῷ οὐκ ἐξάγει ἤγουν οὐκ ἀναιρεῖ ἑαυτόν, δῆλον ὅτι οὐδὲ ὁ φιλόσοφος ἀναιρεῖ ἑαυτόν, κἂν μελετᾷ τὸν θάνατον· ὅτι γὰρ ὁ ὅμοιος τῷ θεῷ οὐκ ἀναιρεῖ ἑαυτόν, δῆλον, εἴ γε ὁ ἀναιρῶν ἑαυτὸν οὐ μόνον οὐκ ἔστιν ὅμοιος τῷ θεῷ ἀλλὰ καὶ ἐναντίος αὐτῷ ἐστι βουλόμενος λῦσαι τὸν δεσμὸν ὃν ἐκεῖνος ἔδησε, τοῦτ' ἔστι διαχωρίσαι τὴν ψυχὴν ἀπὸ τοῦ σώματος. τρίτον δὲ τὸ θεῖον οὐδέποτε ἑαυτὸ χωρίζει ἐκ τοῦ δευτερεύοντος, λέγω δὴ τοῦ ἀνθρώπου, ἀλλὰ παρὰ τὴν ἀνεπιτηδειότητα τοῦ ἀνθρώπου δοκεῖ ἑαυτὸ χωρίζειν ἐξ αὐτοῦ· οἷόν τί ἐστι τὸ λεγόμενον· ὥσπερ τὸ ἡλιακὸν φῶς πάντας ἐξ ἴσου φωτίζει, ἀλλὰ παρὰ τὴν ἀνεπιτηδειότητα τοῦ ὀργάνου δοκεῖ τοὺς μὲν μᾶλλον φωτίζειν τοὺς δὲ ἧττον (εὑρίσκονται γὰρ τινὲς μὲν ἔχοντες καλοὺς ὀφθαλμοὺς τινὲς δὲ ἀσθενεῖς, καὶ ἐκ τούτου οἱ μὲν νομίζουσι τὸν ἥλιον λαμπρότερον εἶναι οἱ δὲ ἀμαυρότερον), τὸν αὐτὸν τρόπον καὶ τὸ θεῖον οὐδέποτε χωρίζει ἑαυτὸ ἐκ τοῦ ἀνθρώπου ἀλλὰ πάντων ἐξ ἴσου προνοεῖται, παρὰ δὲ τὴν ἀσθένειαν τοῦ δεχομένου δοκεῖ ἑαυτὸ χωρίζειν ἐξ ἐκείνου· καὶ γὰρ ὁ κακὸς ἄνθρωπος ἑαυτὸν χωρίζει ἐκ τοῦ θείου. οὕτως οὖν καὶ ὁ φιλόσοφος οὐκ ὤφειλε μελετῆσαι θάνατον καὶ χωρίσαι τὴν ψυχὴν ἐκ τοῦ δευτερεύοντος, φημὶ δὴ ἀπὸ τοῦ σώματος· καὶ γὰρ τὸ σῶμα φθαρτὸν ὂν χεῖρόν ἐστι τῆς ψυχῆς ἀθανάτου οὔσης. τέταρτον δὲ εἰ ἄρα ἡ ἀρετὴ μεγίστη εὐδαιμονία ἐστί, χῶρος δὲ τῶν ἀρετῶν ἐστιν ἡ φιλοσοφία (διὰ γὰρ τῆς φιλοσοφίας τὰς ἀρετὰς προσκτώμεθα), ὁ δὲ εὐδαίμων καὶ ὁ κατ' ἀρετὴν ζῶν οὐκ ἀνιᾶται οὔτε ἐπὶ ταῖς σωματικαῖς συμφοραῖς οὔτε ἐπὶ | τοῖς ἐκτὸς ἤγουν τοῖς χρήμασιν, 141r ὁ δὲ μὴ ἀνιώμενος μήτε ἐπὶ ταῖς σωματικαῖς συμφοραῖς μήτε ἐπὶ τοῖς ἐκτὸς ἑαυτὸν οὐκ ἀναιρεῖ, δῆλον ὅτι καὶ ὁ φιλόσοφος ὡς κατ' ἀρετὴν ζῶν ἑαυτὸν οὐκ ἀναιρεῖ, ⟨οὐκ ἀνιώμενος⟩ οὔτε ἐπὶ ταῖς σωματικαῖς συμφοραῖς οὔτε ἐπὶ τοῖς ἐκτός, ἐπεὶ οἱ ἀνιώμενοι ἐπὶ ταῖς σωματικαῖς συμφοραῖς καὶ ἐπὶ τοῖς ἐκτὸς ἀκούσονται τοῦ ἐκ τοῦ Ἱπποκράτους λεγομένου· ἐπ' ἀλλοτρίαις γὰρ συμφοραῖς ἰδίας καρποῦνται λύπας. ἄλλως τε δὲ τοῦτο δηλοῖ καὶ ὁ Πλωτῖνος, τοῦτ' ἔστιν ὅτι ὁ κατ' ἀρετὴν ζῶν οὐκ ἀνιᾶται οὔτε ἐπὶ ταῖς σωματικαῖς συμφοραῖς οὔτε ἐπὶ τοῖς ἐκτός· καὶ γὰρ οὗτος ἐρωτηθεὶς ἔκ τινος ὅτι 'ὁ ἐν τῇ ζωῇ Πριαμικαῖς περιπεσὼν συμφοραῖς καὶ Ἰλιάδα κακῶν περιβεβλημένος καὶ μετὰ τελευτὴν ἐρριμμένος ἄταφος εὐδαίμων ἐστὶν ἢ

---

2 τῷ om. KV ἀνωτέρω] cf. p. 17,1 sq. 4 κἂν] καὶ KV 5 τῷ om. K 6 οὐ μόνον om. T 6. 7 αὐτῷ ἐστι om. T 7 διαχωρῆσαι TV 8 χωρίζει ἑαυτὸ colloc. T 9 ἐκ] ἀπὸ T τοῦ δευτερεύοντος TV²: τοῦ δευτέρου ὄντος KV¹ post δὴ add. ἐκ V παρὰ] περὶ T 10. 11 τὸ λεγόμενον] λέγομεν V¹ 11 πάντας Vat. 2253: πάντα KTV φωτίζει ἀλλὰ] φωτίζον T 12 τοῖς μὲν . . τοῖς δὲ T 15 ἑαυτὸ] αὐτὸ V 16 ἐκ] ἀπὸ K 18 χωρ. ἑαυτὸν colloc. V 20 χεῖρόν ἐστι om. T¹ (post ψυχῆς suppl. m.²) 23 καὶ iter. T 26 δῆλον—ἀναιρεῖ (27) om. K 27 οὐκ ἀνιώμενος inserui 29 τὸ . . λεγόμενον KV ἐκ τοῦ Ἱπποκρ.] Περὶ φυσῶν 1 (XXI p. 569 Kühn) 30 γὰρ om. T 31 Πλωτῖνος] cf. Enn. I 3,5 p. 22

Digitized by Google

οὔ;' ἀπεκρίνατο λέγων 'ἄπαγε τῆς μικρολογίας· οὐ γὰρ ἀφαιρεῖταί τις ψυχικὴν ἀρετήν'.

Τούτου οὖν οὕτως ἔχοντος τί ἔχομεν εἰπεῖν περὶ τοῦ Πλάτωνος πῇ μὲν λέγοντος ὅτι δεῖ μελετᾶν τὸν θάνατον, πῇ δὲ λέγοντος ὅτι οὐ δεῖ τινα
5 ἑαυτὸν ἀναιρεῖν; ἆρα ἐναντιοῦται ἑαυτῷ ἢ οὔ; καὶ ἔστιν εἰπεῖν ὅτι οὐκ ἐναντιοῦται ἑαυτῷ. ἀλλ' ἵνα δείξωμεν ὅτι οὐκ ἐναντιοῦται ἑαυτῷ, εἴπωμεν ὀλίγα τινά. ἰστέον ὅτι ἡ ζωὴ ἀντίκειται τῷ θανάτῳ· ἡ μὲν γὰρ ζωὴ ἕξις ἐστὶ καὶ αἰτία τοῦ εἶναι ἡμᾶς, ὁ δὲ θάνατος στέρησις. καὶ τούτων ἑκάτερον διττόν ἐστιν· καὶ γὰρ ἡ ζωὴ διττή ἐστιν· ἔστι γὰρ φυσική, ἔστι καὶ προ-
10 αιρετική. καὶ φυσικὴ μὲν ζωή ἐστι συνάφεια τῆς ψυχῆς καὶ τοῦ σώματος, καθ' ἣν χορηγεῖ τῷ σώματι ἡ ψυχὴ αἴσθησιν καὶ κίνησιν, καθ' ἣν ἅπαντες ζῶμεν, καθ' ἣν τὸ σῶμα δεσμεῖ τὴν ψυχήν, ὅθεν καὶ δέμας λέγεται οἱονεὶ δεσμὸς τῆς ψυχῆς, ὅθεν καὶ σῶμα λέγεται οἱονεὶ σῆμα καὶ τάφος τῆς ψυχῆς. προαιρετικὴ δὸ ζωή ἐστιν, ἡνίκα τὸ χεῖρον νικᾷ τὸ κρεῖττον, τοῦτ' ἔστιν ὡς ὅταν ἡ ψυχὴ
15 νικᾶται ἐκ τῶν σωματικῶν ἡδυπαθειῶν, ἥτις ζωὴ καὶ ἀκόλαστός ἐστι, τοῦτ' ἔστιν οὐ σώφρων. φυσικὸς δὲ θάνατός ἐστιν ὁ διαχωρισμὸς τῆς ψυχῆς ἐκ τοῦ σώματος, καθ' ὃν ἅπαντες τελευτῶμεν. προαιρετικὸς δὲ θάνατός ἐστιν ἡ κατ' ἀρετὴν ζωή, τοῦτ' ἔστιν ὡς ὅταν τοῦ ζῴου σωζομένου μελέτη γίνηται τοῦ θανάτου διὰ τοῦ νέκρωσιν ἀπεργάζεσθαι τῶν παθῶν. τούτων οὖν οὕτως ἐχόντων
20 τέσσαρά τινα ἐκ τούτων συνάγονται· τὸ εἶναι, τὸ μὴ εἶναι, τὸ εὖ εἶναι, τὸ κακῶς εἶναι. καὶ εἶναι μέν ἐστιν ἡ φυσικὴ ζωή, μὴ εἶναι δὲ ὁ φυσικὸς θάνατος, εὖ εἶναι δὲ ὁ προαιρετικὸς θάνατος, κακῶς δὲ εἶναι ἡ προαιρετικὴ ζωή. ἡνίκα οὖν ὁ Πλάτων λέγει ὡς δεῖ μελετᾶν τὸν θάνατον, τὸν προαιρετικὸν θάνατον δεῖ νοεῖν, τοῦτ' ἔστι τὸν κατ' ἀρετὴν θάνατον, ἤγουν τὴν νέκρωσιν τῶν παθῶν.
25 ἡνίκα δὲ λέγει ὅτι οὐ δεῖ τινα ἑαυτὸν ἀναιρεῖν, τὸν φυσικὸν θάνατον | δεῖ 141v
νοεῖν, καθ' ὃν ἅπαντες τελευτῶμεν. ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι Κλεόμβροτός τις νομίζων ὅτι ὁ Πλάτων τὸν φυσικὸν θάνατον λέγει τὸν φιλόσοφον μελετᾶν, ῥίψας ἑαυτὸν ἐκ τοῦ τείχους ἐτελεύτησε. περὶ οὗ φησιν ὁ Καλλίμαχος οὕτως·

30 Εἶπας Ἥλιε, χαῖρε' Κλεόμβροτος Ἀμβρακιώτης
ἧλατ' ἀφ' ὑψηλοῦ τείχεος εἰς Ἀίδην,
ἄξιον οὔτι παθὼν θανάτου κακόν, ἀλλὰ Πλάτωνος
ἓν τὸ περὶ ψυχῆς γράμμ' ἀναλεξάμενος.

πρὸς τοῦτο δὲ εἶπεν Ὀλυμπιόδωρος ὁ φιλόσοφος

---

3 τούτων . . ἐχόντων V² 4 ὅτι (ante οὐ) om. K 5. 6 καὶ ἔστιν—ἑαυτῷ] οὐδαμῶς T 10 τῆς et τοῦ om. T 11 χωρηγεῖ K 12 καθ' ἣν—τάφ. τ. ψυχῆς (13) eicias δεσμὸς—οἱονεὶ (13) suppl. V² δεσμός τις V 13 λέγεται (post σῶμα) om. V 16 ἐκ] ἀπὸ T 17 ἐστιν om. T 18 γίνεται TV 19 οὖν om. T 20 ἐκ τούτων ante τεσσ. coll. V ante τὸ κακῶς add. καὶ T 21 ἡ om. K ὁ om. K 22 δὲ (post εὖ εἶναι) om. K 23. 25 λέγῃ T 23 θάνατον (post προαιρ.) om. T 25 τινας ἑαυτοὺς T 25. 26 δεῖ νοεῖν θάν. colloc. T 29 ὁ Καλλίμαχος] fr. XXIII ed. Wilam. 30 εἰπὼν Brand. χαίρειν V 31 ἥλατ' libri τείχους libri 32 οὔτι παθὼν] οὐδὲν ἰδὼν Amm. 33 ἓν τὸ] ἐν τῷ KV τῆς ψυχῆς K 34 ante ὀλυμπ. add. ὁ KV

Digitized by Google

εἰ μὴ γράμμα Πλάτωνος ἐμὴν ἐπέδησεν ἐρωήν,
ἤδη λυγρὸν ἔλυσα βίου πολυκηδέα δεσμόν,

τοῦτ' ἔστιν εἰ μὴ ὠφελήθην ἐκ Πλάτωνος τρόπον εὐζωΐας, προέκρινα ἂν μὴ εἶναι ἢ κακῶς εἶναι· καὶ γάρ, ὡς ἐμάθομεν, ὁ Πλάτων λέγει ὅτι οὐ δεῖ τινα ἑαυτὸν ἀναιρεῖν. ἵνα δὲ μὴ πολλοὶ γένωνται Κλεόμβροτοι, προσθῶμεν ἐν τῷ ὅρῳ τινὰ τῆς αὐτῆς σημασίας φυλαττομένης καὶ εἴπωμεν αὐτὸν οὕτως· 'φιλοσοφία ἐστὶ μελέτη θανάτου τοῦ ζῴου σωζομένου', τοῦτ' ἔστιν οὐ τοῦ φυσικοῦ ἀλλὰ τοῦ προαιρετικοῦ θανάτου. ἐν οἷς σὺν θεῷ καὶ ἡ παροῦσα πρᾶξις.

Πρᾶξις ια'.

Ἐπειδὴ ὁ Πλάτων τὴν φιλοσοφίαν μελέτην θανάτου ὡρίσατο, νομίσαντες οἱ Στωϊκοὶ ὅτι θάνατον τὸν φυσικὸν λέγει ἔρχονται καὶ παραδιδόασι τρόπους τινάς, καθ' οὓς εὐλόγως τις ἀναιρεῖ ἑαυτόν, καὶ λέγουσιν ὅτι ἐπειδὴ ὁ βίος συμποσίῳ μεγάλῳ ἔοικε, δῆλον ὅτι καθ' ὅσους τρόπους τὸ συμπόσιον διαλύεται, κατὰ τοσούτους τρόπους τις εὐλόγως ἀναιρεῖ ἑαυτόν· καὶ γάρ, ὥς φασι, κατὰ ἓξ τρόπους διαλύεται τὸ συμπόσιον· καὶ γὰρ δι' ἔνδειαν βρωμάτων εὐλόγως ἀνίστανται οἱ ἑστιώμενοι καὶ διαλύεται τὸ συμπόσιον· οὕτως οὖν καὶ δι' ἔνδειαν χρημάτων εὐλόγως τις ἀναιρεῖ ἑαυτὸν βουλόμενος μὴ καταδαπανᾶσθαι ὑπὸ λιμοῦ, ὡς καὶ ὁ Θέογνις τοῦτο δηλοῖ πρὸς Κύρνον τινὰ οὕτω λέγων·

χρὴ πενίην φεύγοντα καὶ ἐς μεγακήτεα πόντον
ῥιπτεῖν καὶ πετρῶν, Κύρνε, κατ' ἠλιβάτων.

ἰστέον δὲ ὅτι οὐ λέγει ὡς δεῖ τὸν πένητα ἀναιρεῖν ἑαυτόν, ἀλλὰ λέγει ὅτι δεῖ τὸν πένητα πανταχοῦ σπείρειν, καὶ ἐν ἀβάτοις πέτραις καὶ ἐν θαλάσσῃ, εἰ ἔστιν εἰπεῖν, ὅπως τοῦ λιμοῦ ἐλευθερωθῇ. πάλιν διαλύεται τὸ συμπόσιον διὰ τὸ εἶναι κακόχυμα καὶ δηλητηριώδη τὰ βρώματα· καὶ γὰρ τοιούτων ὄντων τῶν βρωμάτων εὐλόγως ἀνίστανται οἱ ἑστιώμενοι καὶ διαλύεται τὸ συμπόσιον. οὕτως οὖν καὶ τοῦ σώματος κακοχύμου ὄντος καὶ ἀνεπιτηδείου πρὸς τὸ δέξασθαι τὰς ψυχικὰς ἀρετὰς εὐλόγως τις ἀναιρεῖ ἑαυτὸν βουλόμενος τῆς νόσου ἀπαλλαγῆναι. ὅθεν καί τις Κυνικὸς φιλόσοφος ἡμίξηρος ὢν προσῆλθεν Ἰουλιανῷ τῷ βασιλεῖ λέγων αὐτῷ ταῦτα·

---

1 ἐρρωήν TV 2 λυτρὸν K 3 τοῦ Πλάτ. K προέκρινον V
6 ἐν om. V 7 τοῦ (ante ζῴου) superscr. V 8. 9 ἐν οἷς—πρᾶξις om. T
12 οἱ Στωϊκοὶ] cf. Olymp. in Phaedonem (Finckh) p. 3 sq. ἔρχονται καὶ om. T
παραδιδόασιν ἡμῖν T 15 εὐλόγως om. V ἑαυτὸν ἀν. coll. T 16 φησι KV
καὶ γὰρ δι' ἔνδ.] δι' ἐνδ. γὰρ T 18 καὶ (post οὖν) om. T 19 ὑπὸ τοῦ λιμοῦ K
θεόγνης T (v. 175 Bergk) 20 λέγων οὕτω colloc. V 23 post ὅτι add. τοῦτο T
ὡς] ὅτι T ἑαυτὸν ἀναιρεῖν colloc. K λέγει ὅτι om. T 24 πανταχοῦ
τὸν πένητα colloc. T post σπείρειν add. τουτέστι KV ἀβάτις T
26 κακόχυμα εἶναι colloc. T γὰρ om. T 27 ἀνίστ. εὐλόγως coll. T
31 Ἰουλιανῷ] cf. Zelleri Ph. Gr. V³ p. 733 αὐτῷ om. K ταῦτα om. T

Digitized by Google

ἥμισύ μου τέθνηκε, τὸ δ' ἥμισυ δέρκεται ἠώς·
οἴκτειρον, βασιλεῦ, Κυνικὸν ἡμίτομον,
τοῦτ' ἔστιν κέλευσον ἢ ἵνα περιοδευθῶ ἢ ἵνα φονευθῶ. ὁ δὲ εἶπε πρὸς αὐτὸν
ἀμφοτέρους ἀδικεῖς, καὶ Πλουτέα καὶ Φαέθοντα,
5 τὸν μὲν ἔτ' εἰσορόων, τοῦ δ' ἀπολειπόμενος.

πάλιν διαλύεται τὸ συμπόσιον διὰ περίστασίν τινα ἰδικήν· καὶ γὰρ τοῦ ἑστιάτορος ἐξαίφνης ἢ ἀρρωστήσαντος ἢ ἀκούσαντος φίλων ἀπώλειαν ἀνίστανται οἱ ἑστιώμενοι καὶ διαλύεται τὸ συμπόσιον. οὕτως οὖν καὶ ἰδικῆς τινος περιστάσεως καταλαβούσης εὐλόγως τις ἀναιρεῖ ἑαυτόν. ὅθεν καὶ Πυθα-
10 γορεία τις γυνὴ ἡ καὶ Θεανὼ λεγομένη κρατηθεῖσα ὑπὸ τοῦ ἐν Σικελίᾳ τυράννου καὶ ἐρωτωμένη διὰ τί οὐ τρώγουσιν οἱ Πυθαγόρειοι κυάμους, ἔλεγε 'φάγοιμι ἂν ἢ εἴποιμι'. καὶ πάλιν ἐκείνου λέγοντος αὐτῇ 'οὐκοῦν φάγε', ἔλεγεν 'εἴποιμι ἂν ἢ φάγοιμι'. καὶ οὕτω καταδάκνουσα τὴν γλῶσσαν ἐτελεύτησε. πάλιν διαλύεται τὸ συμπόσιον διὰ μέθην· καὶ γὰρ μεθυόντων
15 τῶν ἑστιωμένων εὐλόγως διαλύεται τὸ συμπόσιον. οὕτως οὖν εὐλόγως τις ἀναιρεῖ ἑαυτόν, ἡνίκα ἔλθῃ ἐν τῷ ἐσχάτῳ γήρᾳ καὶ ἄρξηται ληρεῖν καὶ παραφρονεῖν. πάλιν διαλύεται τὸ συμπόσιον, ἡνίκα οἱ ἑστιώμενοι ἄρχονται μάχεσθαι ἀλλήλοις καὶ ἀθέμιτά τινα πρὸς ἑαυτοὺς διαπράττεσθαι. οὕτως οὖν εὐλόγως τις ἀναιρεῖ ἑαυτόν, ἡνίκα κρατηθεὶς ὑπὸ πολεμίων ἀναγκάζεται
20 ἀθέμιτά τινα διαπράξασθαι, τοῦτ' ἔστιν ἢ μητρογαμῆσαι ἢ φαγεῖν τι ἀθέμιτον. πάλιν διαλύεται τὸ συμπόσιον διὰ κοινὴν περίστασιν· καὶ γὰρ κοινῆς περιστάσεως καταλαβούσης, οἷον ἐμπρησμοῦ ἢ ἐπιδρομῆς βαρβάρων, ἀνίστανται οἱ ἑστιώμενοι καὶ εὐλόγως διαλύεται τὸ συμπόσιον. οὕτως οὖν εὐλόγως τις ἀναιρεῖ ἑαυτὸν διὰ κοινὴν περίστασιν, οἷον ὡς ὅταν πολεμίων ἐπελθόντων
25 τῇ πόλει καὶ μελλόντων αὐτὴν πορθεῖν ὁ πολίτης τῷ φόβῳ νικώμενος ἀναιρεῖ ἑαυτόν. ταῦτα μὲν οὖτοι.

Ἰστέον δὲ ὅτι ἕτεροί τινες τρεῖς μόνους τρόπους παραδιδόασι, καθ' οὓς εὐλόγως τις ἀναιρεῖ ἑαυτόν· φασὶ γὰρ ὅτι φύσει ἡ ζωὴ τριττή ἐστιν· ἢ γὰρ ἀρίστη ἐστὶν ἢ μέση ἢ χειρίστη. ἡνίκα οὖν ἐστί τις ἐν τῇ ἀρίστῃ ζωῇ
30 ἢ ἐν τῇ μέσῃ καὶ ὁρᾷ ἑαυτὸν μᾶλλον ἐπὶ τὸ χεῖρον ἐκκλίνοντα, εὐλόγως ἀναιρεῖ ἑαυτόν. πάλιν ἡνίκα τις ἐν τῇ χειρίστῃ ζωῇ ἐστι καὶ ὁρᾷ ἑαυτὸν ἀεὶ ἐν τοῖς αὐτοῖς ὄντα καὶ μηδέποτε ἐπὶ τὴν ἀρίστην μετερχόμενον, εὐλόγως ἀναιρεῖ ἑαυτόν. ταῦτα μὲν ἐν τούτοις.

---

1 ἥμισυ] cf. Anth. IX 137 ἠώς] ὡς T 3 pr. ἢ om. K 4 ἀμφοτέρους ἀδικεῖς om. T πλούτωνα V 6 διὰ περιστατικήν τινα δίκην KV 9 ὅθεν] ὥσπερ V² 10 γυνή] τῇ μοιχόη V¹: ἡ μοιχεία V² (cf. Eliae comm. p. 15,1)
11 ante διὰ add. εἰπὲ V 12 ἔλεγε post εἴποιμι colloc. T post εἴποιμι add. ἂν V¹ αὐτῇ om. KT 13 φάγε] ἔφαγε V¹ post φάγοιμι add. ἂν V
14 μέθης V 15 τις post ἑαυτόν (16) colloc. T 16 ἄρξεται KV: ἄρχεται T
20 τοῦτ' ἔστιν om. T ἀθέμιτον] τῶν οὐ θεμιτῶν T 21 κοινῆς] τινὸς V
23 οὖν om. T 24 οἷον ὡς om. T 25 καὶ μελλ. αὐτὴν πορθεῖν om. T τῷ φόβῳ νικ. ὁ πολ. colloc. T an ἀναιρῇ? 26 οὗτοι] οὕτως Brand.
27 μόνους om. T: post τρόπους colloc. V 28 ἡ ζωὴ φύσει colloc. Brand. φύσει om. K 31 ἐστὶ ζωῇ colloc. T 31. 32 ἀεὶ ἑαυτὸν colloc. V

Digitized by Google

Ἔστι δὲ εἰπεῖν ὅτι οὔτε εὐλόγως οὔτε ἀλόγως δεῖ τινα ἀναιρεῖν ἑαυτόν (ὁ γὰρ τοῦτο ποιῶν τῷ δημιουργῷ ἐναντιοῦται καὶ τυραννίδα κατ' αὐτοῦ μελετᾷ βουλόμενος λῦσαι τὸν δεσμόν, ὃν ἐκεῖνος ἔδησε, φημὶ δὲ τὸ διαχωρίσαι τὴν ψυχὴν ἐκ τοῦ σώματος), καὶ δεῖ πείθεσθαι | τῷ Πλάτωνι λέγοντι 142v
5 ὡς ἄρα ἔν τινι φρουρᾷ ἐσμεν καὶ οὐ δεῖ ταύτης ἑαυτὸν ἐξάγειν καὶ ἀποδιδράσκειν, ἀλλὰ δεῖ μένειν τὸν δήσαντα, ἄχρις ἂν αὐτὸς λύσῃ· αὗται γὰρ αἱ περιστάσεις αἱ συμβαίνουσαι οὐ συμβαίνουσι διὰ τό τινα ἑαυτὸν ἀναιρεῖν ἀλλὰ διὰ τὸ δοκιμάζεσθαι τὴν ψυχήν· ὥσπερ γὰρ ὁ ἄριστος κυβερνήτης οὐκ ἐν γαλήνῃ ἀλλ' ἐν ζάλῃ δοκιμάζεται, τὸν αὐτὸν τρόπον καὶ ἡ ἀρίστη
10 ψυχὴ ἐν ταῖς περιστάσεσι δοκιμάζεται. ὅθεν οἱ Περιπατητικοὶ καὶ βουλόμενοι τὸ καρτερικὸν τῆς ψυχῆς ἐνδείξασθαι ἔλεγον 'ὦ Ζεῦ, ὄρεξον ἡμῖν περιστάσεις'. ἐν οἷς σὺν θεῷ ἡ πρᾶξις.

Πρᾶξις ιβ'.

Ἄνεισιν ἐντεῦθεν ὁ Πλάτων ἐπὶ τὸ πόρρω τέλος, καὶ οὐχ ἁπλῶς ἐπὶ
15 τὸ πόρρω, ἀλλ' ἐπὶ τὸ πορρωτάτω καὶ οὗ ἐπέκεινα οὐκ ἔστιν ἀνελθεῖν· ὁρίζεται γὰρ τὴν φιλοσοφίαν 'ὁμοίωσιν θεῷ κατὰ τὸ δυνατὸν ἀνθρώπῳ'· τί γὰρ οὕτω μακάριον ἐν τῷ βίῳ καὶ πρέπον ἀνθρώπῳ τέλος; ὡς τὸ ὁμοιωθῆναί τινα θεῷ; ἰστέον δὲ ὅτι λέγουσί τινες ὅτι οὐ δύναται ὁ φιλόσοφος ἅτε δὴ ἄνθρωπος ὢν ὁμοιοῦσθαι θεῷ, καὶ τοῦτο κατασκευάζουσιν
20 οὕτως· ἡ οὐσία θεοῦ καὶ ἀνθρώπου διάφορος, ὡς καὶ ὁ ποιητὴς δηλοῖ λέγων

ἐπεὶ οὔ ποτε φῦλον ὁμοῖον
ἀθανάτων τε θεῶν χαμαὶ ἐρχομένων τ' ἀνθρώπων.

ὧν δὲ αἱ οὐσίαι διάφοροι, τούτων διάφοροι καὶ αἱ τελειότητες· οἷον ἄλλη ἐστὶν ἡ οὐσία τοῦ ἀνθρώπου καὶ ἄλλη τοῦ ἵππου, καὶ ἄλλη ἡ τελειότης τοῦ
25 ἵππου παρὰ τὸν ἄνθρωπον. εἰ ἄρα οὖν ἡ οὐσία θεοῦ καὶ ἀνθρώπου διάφορός ἐστιν, ὧν δὲ αἱ οὐσίαι διάφοροι, τούτων διάφοροι καὶ αἱ τελειότητες, δῆλον ὅτι ἄλλη τελειότης ἐστὶ τοῦ θεοῦ παρὰ τὸν ἄνθρωπον· ἄρα οὖν οὐκ ἔστιν ἡ φιλοσοφία ὁμοίωσις θεῷ.

Ἵνα δὲ τὴν ἀπορίαν ταύτην ἐπιλύσωμεν, εἴπωμεν ἐπὶ ποίου σημαι-
30 νομένου λέγομεν ἐνταῦθα τὸ ὅμοιον. ἀλλὰ πρῶτον εἴπωμεν ποσαχῶς λέγεται τὸ ὅμοιον. ἰστέον ὅτι τὸ ὅμοιον τετραχῶς λέγεται· λέγεται γὰρ ὅμοιον, ἡνίκα ἡ αὐτὴ ποιότης ἐν ὅλῳ τῷ εἴδει θεωρῆται, οἷον ὡς ὅταν ὅλους τοὺς Αἰθίοπας λέγωμεν ὁμοίους εἶναι κατὰ τὸ μέλαν καὶ ὅλους τοὺς κύκνους ὁμοίους εἶναι κατὰ τὸ λευκόν. πάλιν λέγεται ὅμοιον, ἡνίκα ἡ
35 αὐτὴ ποιότης ἐν διαφόροις εἴδεσι θεωρῆται κατὰ τὸ μᾶλλον καὶ ἧττον,

---

1 ἑαυτὸν ἀναιρεῖν colloc. T 3. 4 διαχωρίσαι] διαχωρῆσαι T 4 ἐκ] ἀπὸ V Πλάτωνι] cf. p. 29,33 7 αἱ συμβ. περιστάσεις T 11 ὄρεξον scripsi: βρέξον libri 12 ἐν οἷς—πρᾶξις om. T ἡ] καὶ ἡ παροῦσα K 14 ἐντεῦθεν om. K: post Πλάτ. colloc. T 15 ἀνελθ. οὐκ ἔστιν colloc. T 18. 19 ἰστέον—θεῷ in mrg. suppl. K 19 τῷ θεῷ K 20 ὁ ποιητὴς] Hom. E 441 24 alt. ἡ om. KT 24. 25 τοῦ ἀνθρ. παρὰ τὸν ἵππον corr. V² 25. 27 παρὰ] περὶ T 25 ἀνθρώπων (alt. l.) V 27 τοῦ om. K τοῦ θεοῦ supra suppl. V² 28 τῷ θεῷ KV 32.35 θεωρεῖται KV (cf. p. 35,5) 35 et p. 35,2 καὶ τὸ ἧττον T

Digitized by Google

οἷον ὡς ὅταν τὸ πέπερι τὸ λευκὸν καὶ τὸ μέλαν λέγωμεν ὅμοιον εἶναι κατὰ τὸ θερμόν· ἀμφότερα γὰρ θερμά ἐστιν, ἀλλὰ κατὰ τὸ μᾶλλον καὶ ἧττον· τὸ μὲν γὰρ μέλαν πέπερι μᾶλλον θερμόν ἐστι, τὸ δὲ λευκὸν ἧττον θερμόν ἐστιν. πάλιν λέγεται ὅμοιον, ἡνίκα διάφοροι ποιότητες καὶ αἱ αὐταὶ ἐν διαφόροις εἴδεσιν εὑρεθῶσιν, οἷον ὡς ὅταν τὴν φάσσαν καὶ τὴν περιστερὰν ὅμοια λέγωμεν εἶναι, ἐπειδὴ ὥσπερ ἡ φάσσα διαφόρους ποιότητας ἔχει (ἔχει γὰρ μέλαν, λευκόν, ξανθόν), οὕτω καὶ ἡ περιστερὰ διαφόρους καὶ τὰς αὐτὰς ποιότητας ἔχει· ἔχει γὰρ καὶ αὕτη μέλαν, ξανθόν λευκόν. πάλιν ὅμοιον λέγεται ὡς ἐπὶ τῆς εἰκόνος καὶ τοῦ παραδείγματος, | οἷον ὡς ὅταν τὴν 143r εἰκόνα Σωκράτους ὁμοίαν εἶναι λέγωμεν τῷ Σωκράτει. ἰστέον δὲ ὅτι παράδειγμα λέγεται τὸ ἀρχέτυπον καὶ οἱονεὶ πρὸς ὃ ἐγένετο ἡ εἰκών· οἷον παράδειγμα τῆς εἰκόνος Σωκράτους λέγομεν τὸν Σωκράτην· πρὸς γὰρ τοῦτον ἐγένετο ἡ εἰκὼν αὐτοῦ. κατὰ τοῦτο οὖν τὸ σημαινόμενον λέγομεν τὸν φιλόσοφον ὅμοιον τῷ θεῷ εἶναι· ὥσπερ γὰρ τὴν εἰκόνα Σωκράτους λέγομεν ὁμοίαν εἶναι τῷ Σωκράτει, εἰ καὶ ἄλλο ἐστὶν ἡ εἰκὼν τοῦ Σωκράτους καὶ ἄλλος ὁ Σωκράτης (ἡ μὲν γὰρ ἄψυχός ἐστιν, ὁ δὲ ἔμψυχος), κατὰ τοῦτο τὸ σημαινόμενον λέγομεν τὸν φιλόσοφον ὅμοιον εἶναι τῷ θεῷ, εἰ καὶ ἄλλη ἐστὶν ἡ οὐσία τοῦ θεοῦ καὶ ἄλλη τοῦ ἀνθρώπου· ὅτι γὰρ ὁ φιλόσοφος ὅμοιός ἐστι τῷ θεῷ, δῆλον ἐντεῦθεν· οἷς γὰρ τὸ θεῖον χαρακτηρίζεται, τούτοις καὶ ὁ τέλειος φιλόσοφος χαρακτηρίζεται· καὶ γὰρ τρισὶ τὸ θεῖον χαρακτηρίζεται, τῷ τε ἀγαθῷ καὶ τῷ γνωστικῷ καὶ τῷ δυνατῷ, καὶ ὁ τέλειος φιλόσοφος τοῖς αὐτοῖς χαρακτηρίζεται, φημὶ δὲ τῷ τε ἀγαθῷ καὶ τῷ γνωστικῷ καὶ τῷ δυνατῷ, καὶ τῷ μὲν ἀγαθῷ, ὅτι ὥσπερ τὸ θεῖον πάντων προνοεῖται, οὕτω καὶ ὁ τέλειος φιλόσοφος τῶν ἀτελῶν ψυχῶν προνοεῖται διὰ τῆς γνώσεως (καὶ γὰρ τὴν ἀτελῆ ψυχὴν ἤγουν τὴν ἀγνοοῦσαν ἐπὶ τὸ τέλειον μεταφέρει διὰ τῆς γνώσεως), τῷ δὲ γνωστικῷ, ὅτι ὥσπερ τὸ θεῖον πάντα γινώσκει, οὕτω καὶ ὁ τέλειος φιλόσοφος πάντα ἐπαγγέλλεται γινώσκειν, τῷ δὲ δυνατῷ, ὅτι ὥσπερ τὸ θεῖον ὅσα δύναται, καὶ βούλεται, οὕτω καὶ ὁ τέλειος φιλόσοφος ὅσα δύναται, καὶ βούλεται. ταῦτα μὲν ἐν τούτοις.

Ἀποροῦσι δέ τινες· πῶς φατε τὸν φιλόσοφον ὁμοιοῦσθαι τῷ θεῷ τῷ τε ἀγαθῷ καὶ τῷ γνωστικῷ καὶ τῷ δυνατῷ, εἴ γε κατὰ τὸν ποιητὴν

---

1 οἷον om. T ante πέπερι add. τε V 1. 3 πέπερ V¹ 3 μὲν om. T
4 καὶ αἱ αὐταὶ] καὶ αὗται KV: αἱ αὐταὶ T 6 λέγομεν V ἔχει ποιότητας colloc. T 8 ante ἔχει γὰρ iter. μέλαν—ποιότητας ἔχει V αὕτη] αὐτὴ V
10 τοῦ σωκρ. K (pr. l.) τῷ om. T δὲ om. K 11 γίνεται T
11. 13 οἷον—εἰκὼν in mrg. suppl. K 12 τοῦτο T 14. 17 ὥσπερ—τῷ θεῷ in mrg. suppl. K 16 ὁ μὲν γὰρ ἔμψυχός ἐστιν ἡ δὲ ἄψυχος K ὁ δὲ] ἡ δὲ V
17 τὸν φιλ. λέγ. colloc. K 21 τε om. KT καὶ (post ἀγαθῷ) om. T
post δυνατῷ add. ὡς καὶ ἡ ποίησις μαρτυρεῖ λέγουσα ἐπὶ μὲν τοῦ ἀγαθοῦ θεοὶ δωτῆρες (δοτῆρες K) ἐάων, ἐπὶ δὲ τοῦ γνωστικοῦ θεοὶ δέ τε πάντα ἴσασιν, ἐπὶ δὲ τοῦ δυνατοῦ θεοὶ δέ τε πάντα δύνανται KV (cf. p. 17,3 sqq.) 22 δὲ] δὴ T τε om. TV
23 τῷ δυνατῷ καὶ τῷ γνωστ. colloc. T 26 ὅτι supra scr. K 28 καὶ (ante βούλεται) om. K 32 κατὰ τὸν ποιητὴν] Hom. E 441. 442

Digitized by Google

οὔ ποτε φῦλον ὁμοῖον
ἀθανάτων τε θεῶν χαμαὶ ἐρχομένων τ' ἀνθρώπων;

πρὸς οὓς ἔστιν εἰπεῖν ὅτι διὰ τοῦτο πρόσκειται ἐν τῷ ὅρῳ 'κατὰ τὸ δυνατὸν ἀνθρώπῳ'· ὡς γάρ ἐστι δυνατὸν καὶ ἐφικτὸν ἀνθρώπῳ, δοκεῖ ὁμοιοῦσθαι ὁ φιλόσοφος τῷ θεῷ, ἐπεὶ οὐχ ὡσαύτως ἐστὶν οὔτε τὸ ἀγαθὸν οὔτε τὸ γνωστικὸν οὔτε τὸ δυνατὸν παρὰ τῷ θεῷ καὶ παρὰ τῷ ἀνθρώπῳ· καὶ γὰρ ἄλλως πώς ἐστι τὸ ἀγαθὸν παρὰ τῷ θεῷ καὶ ἄλλως πως παρὰ τῷ ἀνθρώπῳ· καὶ γὰρ τὸ ἀγαθὸν συνουσίωται τῷ θεῷ καὶ οὐσία τοῦ θεοῦ ἐστιν ἡ ἀγαθότης, ὅθεν καὶ ἀδυναμίαν λέγεται ἔχειν κακοῦ δι' ὑπερβολὴν ἀγαθότητος, ὥσπερ καὶ ὁ ἥλιος ἀνεπίδεκτος λέγεται εἶναι τοῦ σκότους δι' ὑπερβολὴν φωτός. ὁ δὲ ἄνθρωπος κατὰ μέθεξιν ἔχει τὸ ἀγαθόν, ὅθεν καὶ δεκτικός ἐστι κακίας, ὥσπερ καὶ ὁ ἀὴρ κατὰ μέθεξιν λέγεται ἔχειν τὸ φῶς (τοῦ γὰρ ἡλίου ἀνατέλλοντος φωτίζεται), ὅθεν καὶ δεκτικός ἐστι σκότους· δύνοντος γὰρ τοῦ ἡλίου σκοτίζεται. καὶ πάλιν ἄλλως πώς ἐστι τὸ γνωστικὸν παρὰ τῷ θεῷ καὶ ἄλλως πως παρὰ τῷ ἀνθρώπῳ· καὶ γὰρ ὁ μὲν θεὸς ἀεὶ καὶ ἅμα πάντα γινώσκει καὶ οὐκ ἔστι χρόνος ἡνίκα οὐ γινώσκει, ὁ δὲ ἄνθρωπος οὔτε ἀεὶ οὔτε ἅμα πάντα γινώσκει· ἰδοὺ γὰρ τὸ νεωστὶ τικτόμενον παιδίον οὐδὲν γινώσκει ἐνεργείᾳ ἀλλὰ δυνάμει λέγεται γινώσκειν, καὶ πάλιν ἐνδέχεταί | τινα 143v σήμερον μὲν εἰ τύχοι γινώσκειν αὔριον δὲ ἐπιλαθέσθαι τοῦ γινωσκομένου καὶ μὴ γινώσκειν αὐτό. ἀλλ' οὔτε δὲ ἅμα πάντα γινώσκει ἀλλὰ κατὰ μέρος· ἐν μὲν γὰρ τῷδε τῷ χρόνῳ τόδε γινώσκει καὶ ἐν ἄλλῳ ἄλλο, ὡς δηλοῖ καὶ ὁ Πλάτων λέγων 'ἀγαπητόν, ὅτῳ κἂν ἐν γήρᾳ σοφία τε καὶ φρόνησις παρῇ'. καὶ πάλιν ἄλλως πώς ἐστι τὸ δυνατὸν παρὰ τῷ θεῷ καὶ ἄλλως πως παρὰ τῷ ἀνθρώπῳ· καὶ γὰρ ἐπὶ μὲν τοῦ θεοῦ ἀντιστρέφει· ὅσα γὰρ βούλεται, δύναται καὶ ὅσα δύναται, βούλεται καὶ οὐδὲν ἀδύνατόν ἐστι παρὰ τῷ θεῷ. ἐπὶ δὲ τοῦ φιλοσόφου οὐκ ἀντιστρέφει· ὅσα μὲν γὰρ δύναται, βούλεται, οὐχ ὅσα δὲ βούλεται, δύναται· καὶ γὰρ ἐὰν βουληθῇ ἀδύνατόν τι ποιῆσαι, οἱονεὶ ἅψασθαι τοῦ οὐρανοῦ τῷ δακτύλῳ ἢ δημιουργῆσαι οὐρανόν, οὐ δύναται τοῦτο ποιῆσαι. εἰ δέ τις εἴποι 'ἀλλ' οὐ βούλεταί τι ἀδύνατον ὁ τέλειος φιλόσοφος, ἀλλὰ τούτων ἐρᾷ, ὧν καὶ τυχεῖν δύναται· κατὰ γὰρ τοὺς Στωϊκοὺς μεγίστη ἔνδειά ἐστιν ἡ τῶν ὀρέξεων ἀπληστία', λέγομεν ὅτι ὡς γινώσκων τὴν τῆς οἰκείας φύσεως ἀσθένειαν οὐ βούλεταί τι ἀδύνατον, ἀλλ' ὧν δύναται τυχεῖν, τούτων καὶ ἐρᾷ, παρὰ μέντοι τῷ θεῷ οὐδέν ἐστιν ἀδύνατον. ταῦτα μὲν ἐν τούτοις.

---

1 ante οὐ add. ἐπεὶ KV 2 post θεῶν additum καὶ ἀνθρώπων del. V 5 ὡσαύτως] ὡς αὐτὰ V¹ 6 παρὰ (ante τῷ ἀνθρ.) om. K 7 alt. πως om. K 8 τῷ γὰρ θεῷ συνουσίωται τὸ ἀγαθὸν T συνουσιοῦται V 9 διὰ τὴν ὑπερβ. τῆς ἀγαθ. K 10 ὥσπερ δὴ καὶ T τοῦ om. T 13. 14 ὅθεν—σκοτίζεται om. KV 15 καὶ ἄλλως—ἀνθρώπῳ om. K πως om. V περὶ τῷ ἀνθρ. T 19 μὲν σήμερον coll. T τύχῃ V τοῦ γινωσκομένου] αὐτοῦ KV 20 αὐτό] αὐτά V² γινώσκει] γινώσκειν TV 21 γινώσκειν V 22 καὶ ὁ om. T ὁ Πλάτων] Leg. II 1 p. 653 A τε om. V 23 παρὰ] περὶ T 23. 24 τῷ θεῷ—παρὰ om. T 24 τῷ (ante ἀνθρ.) om. KV 28 τῷ δακτ. τοῦ οὐρ. coll. T 29 τοῦτο om. K 32 ante γινώσκων add. ὁ V

Digitized by Google

Ἀποροῦσι δέ τινες λέγοντες· ποῦ ὡρίσατο ὁ Πλάτων οὕτω τὴν φιλοσοφίαν 'ὁμοίωσιν θεῷ κατὰ τὸ δυνατὸν ἀνθρώπῳ'; καὶ ἔστιν εἰπεῖν ὅτι ἐν τῷ Θεαιτήτῳ· ἐκεῖ γὰρ πρὸς Θεόδωρόν τινα γεωμέτρην ποιούμενος τὸν λόγον λέγει οὕτως· 'ἀλλ' ἐπεί, ὦ Θεόδωρε, οὔτ' ἀπολέσθαι τὰ κακὰ δύναται (ὑπεναντίον γάρ τι τῷ ἀγαθῷ εἶναι ἀνάγκη), οὔτ' ἐν θεοῖς ταῦτα ἱδρῦσθαι, τήνδε τὴν θνητὴν φύσιν καὶ τόνδε τὸν τόπον περιπολεῖ ἐξ ἀνάγκης. διὸ χρὴ πειρᾶσθαι φεύγειν ἐνθένδε ἐκεῖσε ὅτι τάχιστα. τίς οὖν ἐστιν ἡ φυγή; ὁμοίωσις θεῷ κατὰ τὸ δυνατὸν ἀνθρώπῳ. ὁμοίωσις δέ ἐστι τὸ ὅσιον καὶ δίκαιον γενέσθαι μετὰ φρονήσεως'. πάλιν ἀποροῦσιν ὅτι οὐχ ὡρίσατο τὴν φιλοσοφίαν ἀλλὰ τὴν φυγὴν τῶν κακῶν. πρὸς οὓς ἔστιν εἰπεῖν ὅτι καὶ ἡ φυγὴ τῶν κακῶν οὐδὲν ἕτερόν ἐστιν εἰ μὴ φιλοσοφία· εἰ γὰρ ἡ φιλοσοφία νέκρωσιν ἀπεργάζεται τῶν παθῶν, ὡς ἀνωτέρω ἐλέγομεν ὁριζόμενοι αὐτὴν μελέτην θανάτου, ἡ δὲ νέκρωσις τῶν παθῶν οὐδὲν ἕτερόν ἐστιν εἰ μὴ φυγὴ τῶν κακῶν, δῆλον ὅτι τὴν φιλοσοφίαν ὡρίσατο. ἄλλως τε δὲ εἰ ἄρα ἡ δικαιοσύνη καὶ ἡ φρόνησις ἀρεταί εἰσι, χωρίον δὲ τῶν ἀρετῶν ἡ φιλοσοφία ἐστί (διὰ γὰρ τῆς φιλοσοφίας τὰς ἀρετὰς προσκτώμεθα), δῆλον ὅτι διὰ τοῦ εἰπεῖν 'ὅσιον καὶ δίκαιον γενέσθαι μετὰ φρονήσεως' τὴν φιλοσοφίαν ὡρίσατο. ἔτι δὲ διὰ μὲν τοῦ εἰπεῖν 'μετὰ φρονήσεως' τὸ θεωρητικὸν ὡρίσατο· εἰ γὰρ φρόνησίς ἐστιν ἡ τελειότης τοῦ λόγου, τέλος δὲ τοῦ θεωρητικοῦ ἡ τελειότης τοῦ λόγου ἐστί, τοῦτ' ἔστιν ἡ τοῦ λόγου εἴδησις, δῆλον ὅτι διὰ τοῦ εἰπεῖν 'μετὰ φρονήσεως' τὸ θεωρητικὸν ὡρίσατο. | διὰ δὲ τοῦ εἰπεῖν 'τὸ ὅσιον καὶ δίκαιον' 144r τὸ πρακτικὸν ὡρίσατο· εἰ γὰρ τὸ ὅσιον καὶ δίκαιον ἀρετὴ ἤθους ἐστί, τέλος δὲ τοῦ πρακτικοῦ ἡ ἀρετὴ τοῦ ἤθους ἐστὶν ἤγουν ὁ τοῦ ἤθους καλλωπισμός, δῆλον ὅτι διὰ τοῦ εἰπεῖν 'ὅσιον καὶ δίκαιον' τὸ πρακτικὸν ὡρίσατο. ταῦτα μὲν ἐν τούτοις.

Ἀποροῦσι δέ τινες λέγοντες· διὰ τί τὰ δύο πρόσκειται, τοῦτ' ἔστι τὸ ὅσιον καὶ τὸ δίκαιον; καί τινες ἐπιλυόμενοι λέγουσιν ὅτι τὸ ὅσιον ἐπίτασίς ἐστι τοῦ δικαίου, ὅθεν καὶ τοὺς πάνυ ὄντας ἀδίκους ἀνοσίους λέγομεν. κρεῖττον δέ ἐστιν εἰπεῖν ὅτι διαφέρει ὅσιον δικαίου· καὶ γὰρ δίκαιος μὲν λέγεται ὁ τὴν ἰσότητα τοῖς ὁμοειδέσι φυλάττων, ὅσιος δὲ ὁ περὶ τὰ θεῖα ἐσπουδακώς· ὅτι γὰρ διαφέρει τὸ ὅσιον τοῦ δικαίου, δηλοῖ ὁ Πλάτων ποιήσας ⟨δύο⟩ διαλόγους καὶ ἐν τινὶ μὲν αὐτῶν ἐπιγράψας "Περὶ δικαίου ἢ περὶ πολιτείας", ἐν τινὶ δὲ αὐτῶν "Εὐθύφρων ἢ περὶ ὁσίου", ἐν ᾧ περὶ τῶν θείων διαλαμβάνει. ταῦτα μὲν ἐν τούτοις. ἀποροῦσι δέ τινες λέγοντες·

---

3 ἐν τῷ Θεαιτήτῳ] p. 176 A sq. 5 ἀγαθῷ] θεῷ K 6 θνητὴν om. K 7 ante ἐνθένδε add. ἐκεῖσε T 11 εἰ μὴ] ἢ T 12 εἰ] ἡ T ἡ om. TV ὡς ἀνωτέρω ἐλέγομεν] p. 29,22 sq. 16 χωρίον] χῶρος T 19 εἰ] ἡ T 22. 23 διὰ δέ—ὡρίσατο in mrg. suppl. KV² 22 alt. τὸ om. K 23 ὡρίσατο om. V 24 τοῦ ἤθους ἐστὶν om. T 29. 30 ὅθεν—δικαίου in mrg. suppl. K 29 πάνυ] πάντως V 30 ὅσιος V² ὅσ. τοῦ δικαίου K 31 ὁμοειδέσι TV²: μονοειδέσι KV¹ 33 δύο inserui ex Elia (p. 18,19) ἐπιγράψας] γράψας KV 34 ἢ Vat. 2253: om. KTV ἐν ᾧ καὶ περὶ T 35 ταῦτα μὲν ἐν τούτοις om. T

Digitized by Google

εἰ ἄρα τέσσαρές εἰσιν αἱ ἀρεταὶ τῆς ψυχῆς, ἀνδρία δικαιοσύνη σωφροσύνη φρόνησις, διὰ τί μιᾶς μόνης ἐνταῦθα ἐμνημόνευσε, φημὶ δὴ τῆς δικαιοσύνης; πρὸς οὓς ἔστιν εἰπεῖν ὅτι πρῶτον μὲν καὶ τῆς φρονήσεως ἐμνημόνευσεν: εἶπε γὰρ 'τὸ ὅσιον καὶ δίκαιον γενέσθαι μετὰ φρονήσεως'. δεύτερον δέ, εἰ καὶ αὐτῆς ἐμνημόνευσε μόνης, οὐδὲν ἄτοπόν ἐστιν, ὡς δείξομεν· ἰστέον γὰρ ὅτι τριμεροῦς οὔσης τῆς ψυχῆς (ἔστι γὰρ λόγος θυμὸς καὶ ἐπιθυμία) τέσσαρές εἰσιν αἱ ἀρεταὶ τῆς ψυχῆς· ἔστι γὰρ ἀνδρία δικαιοσύνη σωφροσύνη φρόνησις. καὶ τοῦτο εἰκότως· δεῖ γὰρ ἕκαστον μέρος τῆς ψυχῆς ἰδίᾳ κεκοσμῆσθαι ἀρετῇ, ὅθεν ὁ μὲν λόγος τῇ φρονήσει κεκόσμηται, ὁ δὲ θυμὸς τῇ ἀνδρίᾳ, ἡ δὲ ἐπιθυμία τῇ σωφροσύνῃ. καὶ ἐπειδὴ οὐ μόνον δεῖ ἕκαστον τῶν μερῶν ἰδίᾳ κεκοσμῆσθαι ἀρετῇ ἀλλὰ καὶ τὴν πρὸς ἄλληλα ἁρμονίαν καὶ εὐταξίαν φυλάττειν δεῖ, τούτου χάριν ἡ δικαιοσύνη διὰ πάντων πεφοίτηκεν, ἵνα μὴ ἐν ἑνὶ μόνῳ μέρει ἀλλ' ἐν πᾶσι θεωρουμένη τοῖς μέρεσιν ἁρμονίαν καὶ εὐταξίαν φυλάξῃ. καὶ ὥσπερ ἐν τῷ παντὶ ὁρῶμεν τὰ μὲν μόνως ἄρχοντα οἷον τὰ θεῖα, τὰ δὲ καὶ ἄρχοντα καὶ ἀρχόμενα οἷον τὰ ἀνθρώπεια (ταῦτα γὰρ καὶ ἄρχονται ἐκ τῶν θείων καὶ ἄρχουσι τῶν ἀλόγων ζῴων), τὰ δὲ μόνως ἀρχόμενα ὥσπερ τὰ ἄλογα ζῷα, τὸν αὐτὸν τρόπον καὶ ἐν τῷ ἀνθρώπῳ μικρῷ κόσμῳ ὄντι κατὰ τὸν Δημόκριτον ταῦτα θεωροῦνται, καὶ τὰ μὲν μόνως ἄρχουσιν ὥσπερ ὁ λόγος, τὰ δὲ καὶ ἄρχονται καὶ ἄρχουσιν ὥσπερ ὁ θυμός (ἄρχεται μὲν γὰρ οὗτος ἐκ τοῦ λόγου, ἄρχει δὲ τῆς ἐπιθυμίας), τὰ δὲ μόνως ἄρχονται ὥσπερ ἡ ἐπιθυμία. τούτων οὖν οὕτως ἐχόντων ἐπειδὴ ἡ δικαιοσύνη ὑπὲρ τὰς ἄλλας ἀρετάς ἐστιν ὥσπερ διὰ πάντων φοιτῶσα καὶ τὴν εὐταξίαν αὐτῶν φυλάττουσα, τούτου χάριν αὐτῆς ὡς ἀναγκαιοτάτης ἐμνήσθη. τρίτον δὲ τῆς δικαιο|σύνης μνημονεύσας καὶ 144v τὰς ἄλλας ἀρετὰς συμπεριέλαβε· καὶ γὰρ αἱ ἐπιστημονικαὶ ἀρεταὶ ἤγουν αἱ μετὰ λόγου ἀλλήλαις ἕπονται· καὶ γὰρ ὁ μετὰ λόγου ὢν σώφρων, τοῦτ' ἔστιν ὁ γινώσκων διὰ τί ἐστι σώφρων, οἷον ὁ γινώσκων ὅτι δεῖ τινα εἶναι σώφρονα, ἐπειδὴ ἐκ τῆς ἀκολασίας ἀδικίαι καὶ πλεονεξίαι γίνονται, ὁ τοιοῦτος ἐξ ἀνάγκης καὶ ἀνδρεῖός ἐστι, διότι τὰ πάθη ὑποτάττει, ὁ τοιοῦτος δὲ καὶ φρόνιμός ἐστιν (οἶδε γὰρ τὴν αἰτίαν, δι' ἣν δεῖ τινα εἶναι σώφρονα), ὁ τοιοῦτος δὲ καὶ δίκαιός ἐστι· καὶ γὰρ ἐκ τῶν σωματικῶν ἡδυπαθειῶν ἀδικίαι γίνονται. πρόσκειται δὲ 'αἱ ἐπιστημονικαὶ ἀρεταί' διὰ τὰς φυσικάς· φυσικαὶ δέ εἰσιν αἱ ἀπὸ κράσεως οὖσαι· αὗται γὰρ οὐχ ἕπονται ἀλλήλαις· καὶ γὰρ ὁ ἀπὸ κράσεως ὢν σώφρων οὐ πάντως ἐστὶ καὶ ἀνδρεῖος ἢ φρονι-

---

1 αἱ om. V 2 καὶ φρόν. T δὴ] δὲ K δικαιοσύνης V²: φρονήσεως KTV¹ 3 φρονήσεως Vat. 2253: δικαιοσύνης KTV 4 post δέ add. ὅτι T 5 ἐδείξαμεν KV¹ γὰρ] δὲ KV 7 αἱ om. T 7. 8 ἐστὶ γὰρ—φρόνησις om. T 11. 12 εὐτ. καὶ ἁρμ. colloc. T 12 δεῖ om. T 14 παντὶ] παρόντι T 15 ἄρχοντα (prius)] ἄρχουσι KV¹ καὶ ἄρχοντα καὶ ἀρχόμενα] καὶ (καὶ om. V) ἄρχονται καὶ ἄρχουσιν KV 16 ἐκ] ὑπὸ T 17 ὥσπερ] ὡς οἷον T ζῷα om. T 18 κατὰ τὸν Δημόκρ.] fr. 34 Diels cf. Zelleri Phil. Gr. I⁵ p. 901 19. 20 ὡς T 19 καὶ (post δὲ) om. TV 20 ἐκ] ὑπὸ T 21 τὰ] ταῦτα V 25 ἤγουν om. T 26 ὁ om. T 29 διότι] ὅτι K 32 πρόσκεινται V αἱ om. KT 34 ὢν om. T πάντος T alt. καὶ Vat. 2253: ἢ KTV

Digitized by Google

μος ἢ δίκαιος· αὗται γὰρ καὶ ἀνδραποδώδεις καὶ ἄλογοι καλοῦνται, καὶ ἀνδραποδώδεις μέν, διότι ἐξ ἀνάγκης ταῖς κράσεσιν ἕπονται· καὶ γὰρ ὁ ψυχροτέρας ὢν κράσεως ἐξ ἀνάγκης ἐστὶ σώφρων. ἄλογοι δὲ καλοῦνται, ἢ ἐπειδὴ ὁ ἐκ κράσεως ὢν σώφρων οὐ πάντως μετὰ λόγου ἐστὶ σώφρων (οὐδὲ γὰρ πάντως γινώσκει τὴν αἰτίαν, δι' ἣν δεῖ τινα εἶναι σώφρονα), ἢ ἄλογοι λέγονται, ἐπειδὴ καὶ ἐν τοῖς ἀλόγοις ζῴοις θεωροῦνται, ὥσπερ ἡ μὲν τρυγὼν ἐκ φύσεώς ἐστι σώφρων ἡ δὲ ἀλώπηξ φρόνιμος ὁ δὲ λέων ἀνδρεῖος ὁ δὲ πελαργὸς δίκαιος· καὶ γὰρ οὗτος γηράσαντα τὸν πατέρα γηροτροφεῖ. ἢ καὶ πάλιν 'ἐπιστημονικαί' πρόσκειται διὰ τὰς ἠθικὰς ἀρετάς· ἠθικαὶ δέ εἰσιν αἱ ἀπὸ παραδόσεώς τινος καὶ παραγγελίας οὖσαι, οἷον ὡς ὅταν τις ἀπὸ παραδόσεως ἢ παραγγελίας τινός ἐστι σώφρων. αὗται δὲ οὐχ ἕπονται ἀλλήλαις· καὶ γὰρ ἐνδέχεταί τινα εἶναι σώφρονα ἀπὸ παραδόσεως καὶ μὴ εἶναι φρόνιμον. ἐν οἷς ἡ πρᾶξις.

Πρᾶξις ιγ'.

Μετὰ τὸ τὸν Πλάτωνα καὶ τὸν Πυθαγόραν διχῶς ὁρίσασθαι τὴν φιλοσοφίαν, τὸν μὲν ἐκ τοῦ ὑποκειμένου τὸν δὲ ἐκ τοῦ τέλους, ἔρχεται ὁ Σταγειρίτης, φημὶ δὴ ὁ Ἀριστοτέλης (Στάγειρα γάρ ἐστι πόλις τῆς Μακεδονίας, ὅθεν ἦν ὁ Ἀριστοτέλης), καὶ ὁρίζεται αὐτὴν οὐ σμικρόν τι φρονῶν, καθὸ μονοειδῶς αὐτὴν ὡρίσατο ἑκατέρου ἐκείνων διχῶς αὐτὴν ὁρισαμένου, ἀλλὰ μέγα καὶ ἐπηρμένον φρονῶν, καθὸ ἐκ τῆς ὑπεροχῆς αὐτὴν ὡρίσατο λέγων 'φιλοσοφία ἐστὶ τέχνη τεχνῶν καὶ ἐπιστήμη ἐπιστημῶν'. ἀλλὰ δεῖ ζητῆσαι τί βούλεται ἑκάτερος τῶν ἀναδιπλασιασμῶν, τοῦτ' ἔστι τέχνη τεχνῶν καὶ ἐπιστήμη ἐπιστημῶν· ἤρκει γὰρ εἰπεῖν ὅτι φιλοσοφία ἐστὶ τέχνη καὶ ἐπιστήμη. καὶ ἔστιν εἰπεῖν ὅτι διὰ τοῦ πρώτου ἀναδιπλασιασμοῦ, τοῦ τέχνη τεχνῶν, βασιλεῖ παρείκασε τὴν φιλοσοφίαν, διὰ δὲ τοῦ δευτέρου ἀναδιπλασιασμοῦ, τοῦτ' ἔστι τοῦ ἐπιστήμη ἐπιστημῶν, θεῷ· ὥσπερ γὰρ ἄρχοντα ἀρχόντων λέγοντες δηλοῦμεν τὸν βασιλέα, τὸν αὐτὸν τρόπον καὶ τέχνην τεχνῶν λέγοντες τὴν φιλοσοφίαν | βασιλεῖ αὐτὴν παρεικάζομεν. καὶ πάλιν ὥσπερ βασιλέα βασι- 145r
λέων λέγοντες δηλοῦμεν τὸν θεόν, τὸν αὐτὸν τρόπον καὶ ἐπιστήμην ἐπιστημῶν λέγοντες τὴν φιλοσοφίαν θεῷ αὐτὴν παρεικάζομεν· καὶ γὰρ κρείττων ἡ ἐπιστήμη τῆς τέχνης, καθὸ ἡ ἐπιστήμη δίδωσι τῇ τέχνῃ τὰς ἀρχάς· καὶ γὰρ ὁ γραμματικὸς οἶδε μὲν ὅτι τὸ ἢ καὶ τὸ ὦ μακρά ἐστι, τὴν δὲ

---

1 tert. καὶ] καὶ γὰρ V: om. T 3. 4 ἄλογοι—σώφρων om. K 5 πάντως (ante γινώσκει) om. T 5. 6 ἢ ἄλ.] ἄλογοι δέ K 7 ἡ δὲ] καὶ ἡ T 7. 8 ὁ δὲ] καὶ ὁ T (bis) 9 πρόσκειται K¹V 10 ἠθ. δὲ ἀρεταί εἰσιν T 12 παραδόσεως] φύσεως K: παραγγελίας T 13 καὶ μὴ εἶναι] οὐχὶ δὲ καὶ V² ἐν οἷς ἡ πρ. om. TV 15 τὸ om. V¹ διχῶς ὁρ.] διαχωρίσασθαι V¹ 17 φημὶ δὴ ὁ om. T ὁ Ἀριστ.] cf. Metaph. A 2 p. 982ª4 sq. 17. 18 Στάγειρα—ὁ Ἀριστοτέλης om. T 18 αὐτὴν] ταύτην K 19 ὡρισαμένου V 22 τί βούλεται om. T ἑκατέρους T 25. 26 τοῦτ' ἔστι om. T 26 λέγοντες] λέγομενκαι T 31 ἡ μὲν ἐπιστ. (alt. l.) K 32 μὲν om. T

Digitized by Google

αἰτίαν τῇ μουσικῇ παραπέμπει. ὥσπερ δὲ ὁ βασιλεὺς οὐ ῥυποῖ ἑαυτὸν ἀμέσως τῷ πολλῷ ὄχλῳ διαλεγόμενος, ἀλλ' ἵστησιν ἄρχοντας, δι' ὧν καὶ τῶν ἐσχάτων φροντίδα ποιεῖται, τὸν αὐτὸν τρόπον καὶ ἡ φιλοσοφία προβάλλεται τὰς τέχνας, δι' ὧν τὰ ὑποβεβλημένα αὐτῇ γινώσκει. καὶ πάλιν ὥσπερ τὸ θεῖον ἔχει
5 δυνάμεις τινάς, δι' ὧν τῶν τῇδε προνοεῖται, οὕτω καὶ ἡ φιλοσοφία προβάλλεται τὰς ἐπιστήμας, δι' ὧν τὰ ὑποβεβλημένα αὐτῇ γινώσκει.

Ἄλλως τε δὲ διὰ τοῦτο εἶπε τὴν φιλοσοφίαν τέχνην τεχνῶν καὶ ἐπιστήμην ἐπιστημῶν, ἐπειδὴ δν λόγον ἔχουσι τὰ ὑποκείμενα πρὸς τὰς τέχνας καὶ ἐπιστήμας, τοῦτον τὸν λόγον ἔχουσι καὶ αἱ ἐπιστῆμαι καὶ αἱ τέχναι
10 πρὸς τὴν φιλοσοφίαν· καὶ γὰρ τῇ ἰατρικῇ ὑπόκεινται τὰ ἀνθρώπεια σώματα, τῇ δὲ φιλοσοφίᾳ αὐτὴ ἡ ἰατρικὴ ὑπόκειται. καὶ πάλιν τῇ ἀστρονομίᾳ ὑπόκεινται τὰ οὐράνια σώματα, τῇ δὲ φιλοσοφίᾳ αὐτὴ ἡ ἀστρονομία ὑπόκειται. ἔτι δὲ διὰ τοῦτο εἶπε τὴν φιλοσοφίαν τέχνην τεχνῶν καὶ ἐπιστήμην ἐπιστημῶν, ἐπειδὴ αὕτη μὲν τὴν φύσιν τῶν πραγμάτων γινώσκει, τὰ δὲ
15 παρεπόμενα δίδωσι γινώσκειν ταῖς τέχναις καὶ ἐπιστήμαις· καὶ γὰρ αὕτη λαμβάνουσα κατὰ τὴν γνῶσιν τὸ εἶδος καὶ τὴν ὕλην ἀποτελεῖ τὰ τέσσαρα στοιχεῖα καὶ ἐκ τούτων ἀποτελεῖ τὰ ὁμοιομερῆ καὶ ἐκ τῶν ὁμοιομερῶν τὰ ὀργανικὰ καὶ ἐκ τούτων τὸ ἀνθρώπειον σῶμα, καὶ λοιπὸν τὰ ἄλλα δίδωσι γινώσκειν τῇ ἰατρικῇ, φημὶ δὲ τὴν νόσον καὶ τὴν ὑγίειαν, οὐχ ὡς ἀγνοοῦσα
20 αὐτά (γινώσκει γὰρ καὶ ταῦτα), ἀλλ' ὡς μὴ βουλομένη καταρρυποῦν ἑαυτὴν καὶ ἐπὶ τὰ ἔσχατα ἔρχεσθαι. καὶ πάλιν ἡ φιλοσοφία γινώσκει τὴν φύσιν τῆς φωνῆς, τὰ δὲ παρεπόμενα δίδωσι τῇ γραμματικῇ, τοῦτ' ἔστι τοὺς τόνους καὶ τὰ πνεύματα. καὶ πάλιν ἡ φιλοσοφία γινώσκει τὰ σχήματα καὶ τὴν φύσιν τῆς γεωμετρίας, τὰ δὲ λοιπὰ δίδωσι τῇ γεωμετρίᾳ γινώσκειν,
25 οἷον ὅτι τὸ σημεῖον ἀμερές ἐστιν. ἔτι δὲ διὰ τοῦτο εἶπε τὴν φιλοσοφίαν τέχνην τεχνῶν καὶ ἐπιστήμην ἐπιστημῶν, ἐπειδὴ ταῖς τέχναις καὶ ταῖς ἐπιστήμαις αὕτη δίδωσι τὰς ἀρχάς· καὶ γὰρ ἡ γραμματική, ὡς εἴρηται, οἶδεν ὅτι τὸ η̄ καὶ τὸ ω̄ μακρά ἐστι, τὴν δὲ αἰτίαν οὐκ οἶδεν, ἀλλὰ παραπέμπει ταύτην τῇ μουσικῇ. καὶ πάλιν ὁ ἰατρὸς οἶδεν ὅτι ἐκ τῶν τεσσάρων στοι-
30 χείων τὰ ἀνθρώπεια συνίστανται σώματα, τὴν δὲ αἰτίαν παραπέμπει τῇ φυσικῇ φιλοσοφίᾳ. καὶ πάλιν ὁ γεωμέτρης οἶδεν ὅτι τὸ σημεῖον ἀμερές ἐστι, τὴν δὲ αἰτίαν παραπέμπει τῇ φυσικῇ φιλοσοφίᾳ· οὐδὲ γὰρ οἶδε τὴν αἰτίαν, | δι' ἣν τὸ σημεῖον ἀμερές ἐστι. πάλιν ἡ ῥητορικὴ κέχρηται τῷ 145v
τοιῷδε δικαίῳ, τοῦτ' ἔστι τῷ πολιτικῷ, τὴν δὲ φύσιν οὐκ οἶδε τοῦ δικαίου,
35 ἀλλὰ ταύτην ὁ φιλόσοφος οἶδεν. ὅθεν ἀγνοοῦντες οἱ ῥήτορες τὴν φύσιν τοῦ δικαίου μᾶλλον αἱροῦνται ἀδικεῖν ἤπερ ἀδικεῖσθαι, ὁ δὲ φιλόσοφος ὡς γινώσκων τὴν φύσιν τοῦ δικαίου οὐδὲν μὲν τούτων αἱρεῖται, εἰ δὲ καὶ συμβῇ αἱρεῖσθαί τι τούτων τὸν φιλόσοφον, μᾶλλον αἱρεῖται ἀδικεῖσθαι ἢ

---

2 ἄρχοντα V 4 αὐτῇ] αὐταῖς V² 4. 6 καὶ πάλιν—γινώσκει om. KV (καὶ πάλιν—προνοεῖται suppl. V²) 10 ὑπόκειται T 14. 15 αὕτη] αὐτὴ KV
19 δὲ] δὴ T 20 ταῦτα] αὐτὰ KV 25 δὲ om. K 26 ἐπειδὴ in mrg. suppl. V² 27 αὕτη] αὐτὴ KV 29 τῶν om. K 33 καὶ πάλιν T
37 μὲν om. T καὶ supra scr. K

Digitized by Google

ἀδικεῖν· καὶ γὰρ λέγουσιν ὅτι οὐ δύναταί τίς τινος ψυχὴν ἀδικῆσαι, εἰ μὴ ἄρα αὐτὸς τὴν ἰδίαν ψυχὴν ἀδικήσῃ ἄδικά τινα καὶ ἄτοπα διαπραττόμενος· καὶ γὰρ ὁ ἀδικῶν τινα ἢ περὶ τὸ σῶμα αὐτὸν ἀδικεῖ διὰ τοῦ πληγὰς αὐτῷ ἐπιφέρειν ἢ περὶ τὰ ἐκτός, ἤγουν τὰ χρήματα, διὰ τοῦ ἀφαρπάζειν
5 τὴν οὐσίαν αὐτοῦ. αὐτὸς δὲ τὴν ὕπαρξιν ἐν τῇ ψυχῇ ἔχει· τὸ γὰρ σῶμα ὄργανόν ἐστι τῆς ψυχῆς. ὅθεν λέγομεν ὅτι ἔστιν ἐγὼ καὶ ἐμὸν καὶ τὰ τοῦ ἐμοῦ, καὶ ἐγὼ μὲν ἔλεγον τὴν ψυχήν, καθὸ ἕκαστος τὴν ὕπαρξιν ἐν τῇ ψυχῇ ἔχει, ἐμόν δὲ ἔλεγον τὸ σῶμα (καὶ γὰρ ὄργανον τῆς ψυχῆς τὸ σῶμά ἐστι), τὰ τοῦ ἐμοῦ δὲ ἔλεγον τὰ ἐκτός· καὶ γὰρ τὰ κτήματα τοῦ σώματός
10 εἰσιν. ὁ οὖν ἀδικῶν εἰ μὴ τὴν ἰδίαν ψυχὴν οὐκ ἀδικεῖ.

Ἰστέον δὲ ὅτι οὐ μόναις ταῖς ἐπιστήμαις καὶ ταῖς λογικαῖς τέχναις ἡ φιλοσοφία δίδωσι τὰς ἀρχὰς ἀλλὰ καὶ ταῖς βαναύσοις τέχναις. ἰστέον δὲ ὅτι βάναυσοι τέχναι καταχρηστικῶς μὲν πᾶσαι αἱ ἄλογοι λέγονται, κυρίως δὲ αἱ διὰ πυρὸς ἐργαζόμεναι λέγονται βάναυσοι παρὰ τὸ βαίνειν περὶ τὸν
15 αὐσόν· αὐσὸς δέ ἐστιν ἡ κάμινος παρὰ τὸ ἀτμόν τινα ἀφιέναι· καὶ γὰρ ὁ τέκτων γινώσκει μὲν ὅτι τῇ στάθμῃ, ἤγουν τῷ σχοινίῳ, διακρίνεται τὰ ὀρθὰ καὶ τὰ καμπύλα ξύλα, ὅθεν καὶ ὁ ποιητὴς δηλοῖ λέγων

ἐπὶ στάθμην ἴθυνε,

τὴν δὲ αἰτίαν, δι' ἣν τῇ στάθμῃ διακρίνεται, οὐκ οἶδεν ἀλλὰ παραπέμπει
20 τὴν αἰτίαν τῷ φιλοσόφῳ· τούτου γὰρ τὴν αἰτίαν ὁ γεωμέτρης οἶδε. ταῦτα μὲν ἐν τούτοις. ἰστέον δὲ ὅτι ἄλογοι τέχναι λέγονται οὐ παρὰ τὸ μὴ ἔχειν λόγον καὶ αἰτίαν, εἰ καὶ μὴ ὁ τεχνίτης ἐπίσταται τὴν αἰτίαν, ἀλλ' ἐπειδὴ δύναταί τις καὶ μὴ φθεγγόμενος μετέρχεσθαι αὐτάς· δύναται γὰρ ὁ τέκτων καὶ μὴ λαλῶν ἀποτελέσαι θρόνον. ἰστέον δὲ ὅτι οὐ μόνον τὰς ἀρχὰς ταῖς
25 τέχναις καὶ ταῖς ἐπιστήμαις ἡ φιλοσοφία δίδωσιν, ἀλλὰ καὶ ἐπανορθοῦται τὰ ἐν αὐταῖς ἡμαρτημένα· καὶ γὰρ οἱ μὲν γραμματικοὶ τὴν φωνὴν ὁρίζονται πληγὴν ἀέρος, ὁ δὲ φιλόσοφος διορθούμενος λέγει ὅτι κακῶς ἔχει ὁ ὅρος· οὐδὲ γὰρ ἀντιστρέφει· εἴ τι μὲν γὰρ φωνή, τοῦτο πληγὴ ἀέρος, οὐκ εἴ τι δὲ πληγὴ ἀέρος, τοῦτο φωνή· καὶ γὰρ ἐὰν ἐρίῳ πλήξω τὸν ἀέρα, οὐκ ἀπο-
30 τελεῖ φωνήν. θέλουσι δὲ οἱ εὖ ἔχοντες ὅροι ἀντιστρέφειν, ὡς ἐμάθομεν. | ὁρίζονται δὲ τὴν φωνὴν οὕτως· φωνή ἐστιν ἀποτέλεσμα τοῦ ἐν ἡμῖν ἀπο- 146r τεθησαυρισμένου πνεύματος διοδευομένη διὰ τραχείας ἀρτηρίας καὶ εἰδοποιουμένη διὰ γλώττης καὶ ἐπιγλωττίδος. ἔτι δὲ διὰ τοῦτο εἶπε τὴν φιλοσοφίαν τέχνην τεχνῶν καὶ ἐπιστήμην ἐπιστημῶν, ἐπειδὴ αἱ τέχναι καὶ αἱ
35 ἐπιστῆμαι κέχρηνται καὶ ὅροις καὶ διαιρέσεσι καὶ ἀποδείξεσι· μήτηρ δὲ τούτων ἡ φιλοσοφία ἐστίν. ἐν οἷς ἡ πρᾶξις.

---

2 ἀδικήσῃ] ἀδικήσει KT: compend. V 3 τοῦ] τὸ T 4 post ἤγουν add. περὶ T τοῦ] τὸ T 7 ἑκάστῳ V 8 ἔχειν V 9 ἐστι post ὄργ. (8) coll. T 12. 13 ἰστέον δὲ ὅτι om. T: δὲ om. K 13 βάναυσοι δὲ T 14 λέγ. βάναυσοι om. T περὶ] παρὰ V 15 αὐσός δὲ] αὔσον δὲ V: ὁ αὐσός Brand. 17 τὰ (ante καμπύλα) om. K ὁ ποιητὴς] Hom. ε 245 alias 18 στάθμης K 19 διακρίν.] διαμένεται V 20 pr. τὴν αἰτίαν om. T 21 ἰστέον—θρόνον (24) eicias 23 μετέρχεσθαι in mrg., ἐργάζεσθαι in contextu K 30 ἐμάθομεν] cf. p. 19,10 31 τὴν om. T 33 δὲ om. K 34 post ἐπειδὴ add. καὶ KT αἱ (ante ἐπιστ.) om. T 36 ἐν οἷς ἡ πρ.] τέλος V: om. T

Digitized by Google

Πρᾶξις ιδ'.

Ἐπειδὴ ἀνωτέρω ὅλον ὡς ὅλον τὸν ὁρισμὸν μεμαθήκαμεν, ἔλθωμεν καὶ τὰ μέρη αὐτοῦ πολυπραγμονήσωμεν. ἰστέον δὲ ὅτι φασί τινες ὡς ὅτι κακῶς τὴν φιλοσοφίαν τέχνην τεχνῶν εἴπατε εἶναι· εἰ γὰρ τέχνη τεχνῶν ἐστι, δῆλον ὅτι καὶ τέχνη ἐστίν· εἰ δὲ τέχνη ἐστί, δῆλον ὅτι πταιστή ἐστιν, ὅπερ ἄτοπον. πρὸς οὓς ἔστιν εἰπεῖν ὅτι οὐ πάντως τὰ ἅμα λεγόμενα καὶ ἰδίᾳ λέγεται· ἰδοὺ γὰρ λέγεται νεκρὸς ἄνθρωπος, καὶ οὐ δύναται λέγεσθαι ἄνθρωπος, διότι οὐκ ἔχει τὰ ἴδια τοῦ ἀνθρώπου· οὔτε γὰρ ἔμψυχός ἐστιν οὔτε αἰσθητικός. καὶ πάλιν λέγεται λιθίνη ναῦς, καὶ οὐ λέγεται μόνον ναῦς, διότι οὐ νήχεται ὥσπερ ἡ ναῦς. καὶ πάλιν ὡς ἐπὶ τοῦ γρίφου ἤγουν τοῦ αἰνίγματος τοῦ λέγοντος 'ἄνθρωπος οὐκ ἄνθρωπος, ἄνθρωπος δὲ ὅμως, ὄρνιν οὐκ ὄρνιν, ὄρνιν δ' ὅμως, ἐπὶ ξύλου καὶ οὐ ξύλου καθημένην λίθῳ τε καὶ οὐ λίθῳ βαλὼν διώλεσε'· λέγει δὲ ὅτι εὐνοῦχος νυκτερίδα καθημένην ἐν νάρθηκι ῥίψας κίσσηριν ἐφόνευσε. καὶ ἄνθρωπον μὲν οὐκ ἄνθρωπον ἐκάλεσε τὸν εὐνοῦχον, ἄνθρωπον μέν, διότι ἐπιδέχεται τὸν ὅρον τοῦ ἀνθρώπου (καὶ αὐτὸς γὰρ ζῷον λογικὸν θνητὸν νοῦ καὶ ἐπιστήμης δεκτικόν ἐστιν), οὐκ ἄνθρωπον δέ, διότι οὐ γεννᾷ ὅμοιον ἑαυτῷ ὥσπερ ὁ τέλειος ἄνθρωπος. ὄρνιν οὐκ ὄρνιν τὴν νυκτερίδα ἐκάλεσεν, ὄρνιν μέν, διότι ἵπταται, οὐκ ὄρνιν δέ διότι οὐκ ᾠοτοκεῖ ὥσπερ τὰ ἄλλα ὄρνεα ἀλλὰ ζωοτοκεῖ, καὶ πάλιν ἡ νυκτερὶς σάρκινα πτερὰ ἔχει, ὅπερ τοῖς ἄλλοις ὀρνέοις οὐ παρέπεται. ξύλον δὲ καὶ οὐ ξύλον τὸν νάρθηκα ἐκάλεσε, ξύλον μέν, διότι ξυλοειδές ἐστιν, οὐ ξύλον δέ, διότι οὐκ ἔστι στερέμνιον ὥσπερ τὰ ἄλλα ξύλα. λίθον δὲ καὶ οὐ λίθον τὴν κίσσηριν εἶπε, λίθον μέν, διότι λιθοειδές ἐστιν, οὐ λίθον δέ, διότι οὐκ ἔστι στερρά, ὥσπερ οἱ ἄλλοι λίθοι, ἀλλὰ σομφώδης, ἤγουν χαῦνόν τί ἐστιν. ὡς οὖν εἴρηται, οὐ πάντως τὰ ἅμα λεγόμενα καὶ ἰδίᾳ λέγονται, ὥσπερ καὶ ἐκ τοῦ ἐναντίου οὐ πάντως τὰ ἰδίᾳ λεγόμενα καὶ ἅμα δύνανται λέγεσθαι· ὑποκείσθω γάρ τις Σίμων τὴν τέχνην σκυτεὺς καὶ τοὺς μὲν τρόπους ἀγαθὸς τὴν δὲ τέχνην φαῦλος· ἐπὶ τούτου τὰ ἰδίᾳ λεγόμενα καὶ ἅμα οὐ δύναται λέγεσθαι· οἷόν τι λέγω 'Σίμων σκυτεύς ἐστι', καὶ πάλιν 'Σίμων ἀγαθός ἐστιν', | οὐ δύναμαι δὲ ταῦτα ἅμα εἰπεῖν πάντα, οἷον 'Σίμων σκυτεὺς 146v ἀγαθός ἐστιν', ἐπεὶ εὑρίσκεται ἀγαθὸς ἐπὶ τοῦ σκυτέως, ὅπερ ἄτοπον· ὑπεθέμεθα γὰρ αὐτὸν κατὰ τὴν τέχνην φαῦλον. ὥστε οὖν ὁ εἰπὼν τέχνην τεχνῶν τὴν φιλοσοφίαν οὐκ εἶπεν αὐτὴν τέχνην· ὡς γὰρ εἴρηται, οὐ πάντως τὰ ἅμα λεγόμενα καὶ ἰδίᾳ λέγονται. ἄλλως τε δὲ εἰ καὶ τέχνην αὐτὴν

---

2 ἐπειδὴ δὲ V ὡς ὅλον om. V alt. ὅλον] ὅρον T[1] 3 μέρη] περὶ T δὲ om. T alt. ὅτι eicias 7 καὶ ἰδοὺ γὰρ V 7. 8 δύν. λέγ. ἄνθρ.] λέγεται ἄνθρ. μόνον T 8 διότι] ὅτι T 9 λέγεται (ante μόνον) om. T 14 κισσήριον V[1] 15 post εὐνοῦχον add. καὶ V διότι] δὴ ὅτι V 17. 19 διότι] ὅτι T 18 ὅτι K ἵππαται V 19 post ζωοτοκεῖ add. οὐδὲ γάρ τίκτει ᾠόν, ἀλλὰ ζῶον (τὸ ζ. αὐτό V) KV 22 alt. δὲ om. K 24 χαύνη (τί ἐστιν om.) T 27 καὶ om. K 28 τέχνην δὲ colloc. V δύνανται T 29. 30 ἐστι—σκυτεὺς om. T 30 πάντα om. K 32 ὁ om. KV εἰπεῖν V

Digitized by Google

εἶπεν, οὐδὲν ἄτοπον· πολλάκις γὰρ τὸ τῆς τέχνης ὄνομα καὶ ἐπὶ τῆς ἐπιστήμης λαμβάνεται· καὶ γὰρ ὁ Πλάτων ἐν τῷ Γοργίᾳ τῷ διαλόγῳ τὴν ἐπιστήμην τέχνην ἐκάλεσε· φησὶ γὰρ 'τίνος σε φῶμεν τέχνης ἐπιστήμονα;' ἀντὶ τοῦ ἐπιστήμης· ὁ γὰρ ἐπιστήμων ἐπιστήμης ἐστὶν ἐπιστήμων. ἐν δὲ τῷ Σοφιστῇ τῷ διαλόγῳ τὸν δημιουργὸν τεχνίτην ἐκάλεσε, καὶ ταῦτα πάντα ἀπταίστως γινώσκοντα. ἔτι δὲ εἰ ἄρα οὗτος ὁ ὅρος ἐκ τῆς ὑπεροχῆς ἐστιν, ὁ δὲ ὑπερέχων οὐκ ἔστι ταὐτὸν τῷ ὑπερεχομένῳ ἀλλὰ κρείττων, δῆλον ὅτι καὶ ἡ φιλοσοφία ὡς ὑπερέχουσα τῆς τέχνης οὐκ ἔστι ταὐτὸν τῇ τέχνῃ. ταῦτα μὲν ἐν τούτοις. λέγουσι δέ τινες· διὰ τί τὴν φιλοσοφίαν ἐπιστήμην ἐπιστημῶν ἐκάλεσε; τί γάρ; ἔστιν ἄλλη ἐπιστήμη παρὰ ταύτην; καὶ ἔστιν εἰπεῖν ὅτι διττή ἐστιν ἡ ἐπιστήμη, ἡ μὲν ἐνυπόθετος ἡ δὲ ἀνυπόθετος. καὶ ἐνυπόθετος μέν ἐστιν ἡ λαμβάνουσα ἀρχὰς δεομένας ἀποδείξεων καὶ ὧν τὴν αἰτίαν ἀγνοεῖ, οἷον ὡς ὅταν ὁ γεωμέτρης λάβῃ ὁμολογούμενον ὅτι τὸ σημεῖον ἀμερές ἐστι, καὶ τούτου τὴν αἰτίαν οὐκ οἶδεν ἀλλὰ παραπέμπει τῷ φυσικῷ φιλοσόφῳ. ἀνυπόθετος δέ ἐστιν ἡ λαμβάνουσα κοινὰς ἐννοίας μὴ δεομένας ἀποδείξεων, οἷον ὡς ὅταν εἴπωμεν ὅτι ὁ θεὸς ἀγαθός ἐστιν· αὕτη γὰρ κοινὴ ἔννοιά ἐστι· πᾶς γὰρ ὁμολογεῖ ὅτι ὁ θεὸς ἀγαθός ἐστι καὶ οὐ δέεται τοῦτο ἀποδείξεως. ταῦτα μὲν ἐν τούτοις.

Ἐπειδὴ δὲ τέχνης καὶ ἐπιστήμης ἐποιησάμεθα μνήμην, ἔλθωμεν καὶ περὶ τούτων διαλάβωμεν. ἀλλὰ πρὸ τούτου ὀλίγα τινὰ περὶ γνώσεως εἴπωμεν. ἰστέον ὅτι ἡ γνῶσις ἢ μερική ἐστιν ἢ καθόλου καὶ ἢ μετὰ λόγου ἐστὶν ἢ ἄνευ λόγου, ὥστε ἐκ τούτων τέσσαρά τινα γίνεσθαι· ἔστι γὰρ πεῖρα, ἐμπειρία, τέχνη, ἐπιστήμη. καὶ πεῖρα μέν ἐστιν ἡ ἑνὸς πράγματος ἄλογος γνῶσις, οἷον ὡς ὅταν τις ἓν μόνον ἐπίσταται βοήθημα καὶ τούτῳ κέχρηται μὴ γινώσκων τὴν αἰτίαν μηδὲ τὸ πῶς ὤφειλε χρήσασθαι αὐτῷ. ἐμπειρία δέ ἐστιν ἡ τῶν καθόλου ἄλογος γνῶσις, οἷον ὡς ἐπὶ τῶν ἐμπειρικῶν ἰατρῶν· οὗτοι γὰρ πολλὰ βοηθήματα γινώσκουσι, τὴν δὲ αἰτίαν οὐ γινώσκουσιν. ἐμπειρία οὖν ἐστι μνήμη καὶ τήρησις ἄλογος ἀνθρωπίνη τῶν πολλάκις καὶ ὡσαύτως ὀφθέντων· ὁ γὰρ ἐμπειρικὸς ἰατρὸς μνημονεύων καὶ τηρῶν τὰ πολλάκις καὶ ὡσαύτως ὀφθέντα κέχρηται τοῖς βοηθήμασι. τέχνη δέ ἐστιν ἡ τῶν καθόλου γνῶσις μετὰ λόγου, ἢ τέχνη ἐστὶν ἕξις ὁδῷ βαδίζουσα μετὰ φαντασίας· καὶ γὰρ ἡ | τέχνη ἕξις τις καὶ γνῶσίς ἐστιν, ἀλλὰ 147r καὶ ὁδῷ βαδίζει· πάντα γὰρ κατὰ τάξιν ποιεῖ. μετὰ φαντασίας δὲ πρόσκειται διὰ τὴν φύσιν· καὶ γὰρ ἡ φύσις ἕξις ἐστίν (ἔχει γὰρ τὸ εἶναι ἐν τοῖς ἔχουσιν αὐτήν, οἷον ἐν ἀνθρώπῳ, ἐν λίθῳ, ἐν ξύλῳ) καὶ ὁδῷ βαδίζει (κατὰ

---

1 εἴπομεν T post οὐδὲν add. εἴπομεν T 2 ἐν τῷ Γοργίᾳ] p. 449 A
5 ἐν δὲ τῷ Σοφ.] p. 219 A 6 γινώσκων KV οὗτος] αὐτὸς V
7 κρεῖττον K¹ 10 ἔστιν TV²: ἔνι KV¹ 13 post ὅταν add. ἀγνοῶν T
ὁ om. V 14 ὡς ὅτι V 16 οἷον om. K 17. 18 αὕτη γὰρ — ἀγαθός ἐστι in mrg. suppl. V²: om. KTV¹ 19 ἐποιησ. μνήμην] ἐμνημονεύσαμεν T
23 ἡ Vat. 2253: om. KTV 24 οἷον om. V 25 μηδὲ τὸ Vat. 2253: om. KTV
ὀφείλει T 26 οἷον om. K post ἰατρῶν add. ἄλογος γνῶσις V 31 ἕξις post βαδίζ. colloc. T 34 καὶ γὰρ καὶ K 35 καὶ ὁδῷ δὲ T

Digitized by Google

γὰρ τάξιν προέρχεται), ἀλλ' οὐ μετὰ φαντασίας ὥσπερ ἡ τέχνη· καὶ γὰρ ὁ τεχνίτης κεχρημένος τῷ λόγῳ, ἡνίκα βούλεται τι ποιῆσαι, πρότερον διατυποῖ ἐν ἑαυτῷ ὃ βούλεται ποιῆσαι καὶ εἶθ' οὕτως ἀποτελεῖ αὐτό, ἡ δὲ φύσις οὐδὲν τοιοῦτον ποιεῖ· οὐδὲ γὰρ προδιατυποῖ ἐν ἑαυτῇ ὃ βούλεται κατα-
5 σκευάσαι. ἢ πάλιν τέχνη ἐστὶ σύστημα ἐκ καταλήψεων ἐμπειρίᾳ συγγεγυμνασμένη πρός τι τέλος εὔχρηστον τῶν ἐν τῷ βίῳ. ἡ δὲ σαφήνεια τοῦ ὅρου τοῦτον ἔχει τὸν τρόπον· τέχνη ἐστὶ 'σύστημα ἐκ καταλήψεων', τοῦτ' ἔστιν ἄθροισμα ἐξ ἐφευρέσεων (καὶ γὰρ τῶν μὲν τόδε ἐφευρηκότων τῶν δὲ τόδε ἀπετελέσθη ἡ τέχνη), 'ἐμπειρίᾳ συγγεγυμνασμένη', τοῦτ' ἔστι δεδοκιμασμένη
10 μετὰ πολυπειρίας (καὶ γὰρ μετὰ πολυπειρίας δοκιμάζονται τὰ θεωρήματα καὶ οὕτως ἀνατιθέασιν αὐτὰ τῇ τέχνῃ), 'πρός τι τέλος εὔχρηστον τῶν ἐν τῷ βίῳ' πρόσκειται διὰ τὰς ματαιοτεχνίας καὶ κακοτεχνίας· αὗται γὰρ οὐκ εὐχρηστοῦσι τῷ βίῳ. καὶ ματαιοτεχνία μέν ἐστιν ἡ μήτε ὠφελοῦσα τὸν βίον μήτε βλάπτουσα ὡς ἐπὶ τοῦ νευροβάτου καὶ τοῦ κοντοπαίκτου,
15 κακοτεχνία δέ ἐστιν ἡ πρὸς τῷ μὴ ὠφελεῖν τὸν βίον καὶ βλάπτουσα ὡς ἐπὶ τῶν γοήτων· οὗτοι γὰρ πρὸς οἷς οὐκ ὠφελοῦσι τὸν βίον ἀλλὰ καὶ βλάπτουσιν αὐτόν. ταῦτα μὲν καὶ περὶ τῆς τέχνης. ἐπιστήμη δέ ἐστιν ἡ τῶν καθόλου ἄπταιστος καὶ ἀμετακίνητος γνῶσις (ἀπταίστως γὰρ γινώσκει τὰ γινωσκόμενα), ἢ γνῶσις ἄπταιστος τῶν ὑποκειμένων αὐτῇ πραγμάτων,
20 καθὸ ἔχουσι φύσεως· ὡς γὰρ ἔχουσι φύσεως καὶ οἱονεὶ τὴν φύσιν τῶν ὑποκειμένων αὐτῇ πραγμάτων γινώσκει. ταῦτα μὲν ἐν τούτοις περὶ τῆς ἐπιστήμης.

Ἀποροῦσι δέ τινες λέγοντες· εἰ ἄρα καὶ ἡ τέχνη μετὰ λόγου πάντα ποιεῖ καὶ ἡ ἐπιστήμη μετὰ λόγου πάντα ποιεῖ, κατὰ τί διαφέρουσιν ἀλλήλων;
25 καὶ λέγουσί τινες ὅτι διαφέρει ἡ ἐπιστήμη τῆς τέχνης, καθὸ ἡ μὲν ἐπιστήμη ἄπταιστός ἐστιν ἡ δὲ τέχνη πταιστή. πρὸς οὓς ἔστιν εἰπεῖν ὅτι κακῶς λέγετε· καὶ γὰρ ἡ τέχνη κατὰ τοὺς οἰκείους λόγους ἄπταιστός ἐστιν, ἀλλὰ παρὰ τὴν τοῦ ὑποκειμένου αἰτίαν δοκεῖ πταιστὴ εἶναι, ὡς μετ' ὀλίγον δείξομεν. ἔστιν οὖν εἰπεῖν ὅτι διαφέρει ἡ ἐπιστήμη τῆς τέχνης κατὰ τὸ ὑπο-
30 κείμενον· καὶ γὰρ ἡ μὲν τέχνη περὶ τὰ ῥευστὰ καταγίνεται καὶ μὴ ἀεὶ ὡσαύτως ἔχοντα· οἷον ἡ ἰατρικὴ περὶ τὰ ἀνθρώπεια σώματα καταγίνεται, ἅτινα ῥευστά εἰσι καὶ οὐκ ἀεὶ ὡσαύτως ἔχουσι. καὶ πάλιν ἡ γραμματικὴ περὶ λέξεις καταγίνεται, αἵτινες οὐκ ἀεὶ ὡσαύτως ἔχουσι· καὶ γὰρ αἱ λέξεις ἄλλοτε ἄλλως | ἔχουσι· ποτὲ μὲν γὰρ τοιῶσδέ εἰσιν εἰσφερόμεναι ποτὲ δὲ 147v
35 τοιῶσδε. ὅθεν νομίζονται αἱ τέχναι πταισταὶ εἶναι. τοῦτο δὲ γίνεται παρὰ

---

1 τάξιν γὰρ colloc. K 5 ἐκ καταλ.] ἐγκαταλήψεων V (constanter) 5. 6 συγγεγυμν.] γεγυμνασμένη T 11 ἀνατίθεσθαι ἂν V¹: ἀνετίθεσαν V² 12 post βίῳ add. τοῦτο V² 12 καὶ κακοτεχνίας in mrg. suppl. K 15 τῷ] τὸ T μὴ] μηδὲν V 16 ἀλλὰ καὶ] μᾶλλον KT 17 αὐτόν om. KT ταῦτα—τέχνης om. T τῆς om. K 21 ante γινώσκει add. ἀκριβῶς T 23 πάντα μετὰ λόγου colloc. T 24 καὶ ἡ ἐπιστ.—ποιεῖ Vat. 2253: καὶ ἡ ἐπιστήμη πάντα V²: om. KTV¹ διαφέρει V 27 λέγεται TV καὶ γὰρ καὶ T 28 εἶναι πταιστὴ colloc. T 30 τὰ om. T 34 γὰρ om. K 35 παρὰ] περὶ T

Digitized by Google

τὴν τοῦ ὑποκειμένου αἰτίαν· καὶ γὰρ τοῦ ὑποκειμένου ῥευστοῦ ὄντος καὶ ἄλλοτε ἄλλως ἔχοντος γίνεται ἀποτυχία καὶ νομίζεται ἡ τέχνη πταιστὴ εἶναι. οἷον τοῦ ἰατροῦ βουλομένου δοῦναί τινι καθάρσιον ἐν δέοντι καιρῷ ἐξαίφνης ἐτράπη τὸ κατάστημα τοῦ ἀέρος καὶ τὸ ὑποκείμενον ῥευστὸν ὂν
5 ἄλλως ἔσχε, καὶ δεδωκότος τοῦ ἰατροῦ τὸ καθάρσιον οὐδὲν ὠφελήθη ὁ κάμνων διὰ τὸ στέγνωσιν γενέσθαι περὶ τὴν ἐπιφάνειαν καὶ μὴ γενέσθαι ἔκκρισιν δι' ἱδρώτων. καὶ ὅσον μὲν κατὰ τοὺς λόγους τῆς ἰατρικῆς ὠφέλεῖτο πάντως ὁ κάμνων, ἀλλ' ἐπειδὴ τὸ ὑποκείμενον ῥευστόν ἐστι καὶ ἄλλως ἔσχε, τούτου χάριν ἐγένετο ἡ ἀποτυχία. ἡ δὲ ἐπιστήμη περὶ τὰ ἀεὶ ὡσαύ-
10 τως ἔχοντα καταγίνεται· διαλαμβάνει γὰρ περὶ τοῦ καθόλου ἀνθρώπου καὶ περὶ τοῦ καθόλου ἵππου, ἅτινα ἀεὶ ὡσαύτως ἔχουσι· κατὰ τοῦτο οὖν διαφέρει ἡ ἐπιστήμη τῆς τέχνης, καὶ ὅτι ἡ μὲν ἐπιστήμη ἀεὶ τῷ λόγῳ κέχρηται (καὶ γὰρ ἡ ἀστρονομία λόγῳ μόνῳ κατορθοῦται), ἡ δὲ τέχνη ἢ ἔργῳ μόνῳ κέχρηται, ὡς ἐπὶ τῆς ζωγραφικῆς (ὁ γὰρ ζωγράφος ἔργῳ μόνῳ
15 κέχρηται· δύναται γὰρ καὶ μὴ λαλῶν ζωγραφῆσαι), ἢ ἐπίσης καὶ ἔργῳ καὶ λόγῳ κέχρηται ὡς ἐπὶ τῆς κιθαρῳδίας (αὕτη γὰρ ἐπίσης καὶ ἔργῳ καὶ λόγῳ κέχρηται· καὶ γὰρ κρούει ταῖς χερσὶ καὶ ᾄδει τῷ στόματι· κιθαρῳδίαν δὲ εἶπον, οὐ μὴν κιθαριστικήν, ἐπειδὴ ἐκείνη μόνον κρούει ταῖς χερσίν, οὐ μὴν καὶ ᾄδει), ἢ μᾶλλον μὲν λόγῳ κέχρηται ἧττον δὲ ἔργῳ ὡς
20 ἐπὶ τῆς γραμματικῆς (αὕτη γὰρ μᾶλλον μὲν λόγῳ κέχρηται ὡς ἐν τῷ ἐξηγεῖσθαι, ἧττον δὲ ἔργῳ ὡς ἐν τῷ ποιεῖν τόνους ἢ στιγμάς), ἢ μᾶλλον μὲν ἔργῳ κέχρηται ἧττον δὲ λόγῳ ὡς ἐπὶ τῆς ἰατρικῆς· αὕτη γὰρ μᾶλλον μὲν ἔργῳ κέχρηται, ὡς ἡνίκα σφυγμολογεῖ καὶ προσφέρει βοηθήματα, ἧττον δὲ τῷ λόγῳ, ὡς ἡνίκα ἐρωτᾷ τὰ προκαταρκτικὰ αἴτια καὶ λέγει τὴν αἰτίαν
25 τῆς νόσου. ἐν οἷς σὺν θεῷ καὶ ἡ παροῦσα πρᾶξις.

Πρᾶξις ιε'.

Ἀρχὴ καὶ πέρας ἡμῖν γενέσθω ὁ Πυθαγόρας· καὶ γὰρ τῷ ἀνδρὶ φίλιόν ἐστι τὸ εἰς ἑαυτὸν συννεύειν καὶ τὴν ἀρχὴν συνάπτειν τῷ πέρατι, ὥσπερ καὶ ὁ κύκλος· καὶ γὰρ ἐν τῷ κύκλῳ συνημμένη ἐστὶν ἡ ἀρχὴ τῷ πέρατι.
30 οὕτως οὖν καὶ αὐτὸς καὶ ἀρχὴ καὶ πέρας ἡμῖν γέγονεν, ἀρχὴ μέν, διότι οἱ αὐτοῦ ὅροι ἐν τῇ ἀρχῇ προῆλθον οἱ λέγοντες 'φιλοσοφία ἐστὶ γνῶσις τῶν ὄντων ᾗ ὄντα ἐστί' καὶ πάλιν 'γνῶσις θείων τε καὶ ἀνθρωπίνων πραγμάτων', πέρας δέ, διότι πάλιν ὁ αὐτοῦ ὅρος ἐν τῷ πέρατι προῆλθεν ὁ

---

1 τοῦ ὑποκ. τὴν colloc. K 3 τινὶ δοῦναι colloc. T 7 ὅσω V
7. 8 ὠφελεῖται V 11 περὶ om. V 12 pr. ἡ om. V καὶ om. K
13 μόνῳ om. T ἢ om. V 14 alt. μόνῳ om. KT 15 ἢ ἐπίσης om. V
post ἢ add. καὶ T 15. 16 καὶ λόγῳ om. V 17 post γὰρ add. καὶ T
18 μόνῃ K 20 μὲν ante γὰρ coll. T 22 μὲν om. KV 23 ἡνίκα μὲν TV 24 προκαθαρτικὰ T 25 ἐν οἷς—πρ. om. T 27 γινέσθω K
30 αὐτὸς] an οὗτος? καὶ (ante ἀρχὴ) om. V 31 αὐτοὶ K¹V¹ 32 εἰσί KV

Digitized by Google

λέγων ὅτι 'φιλοσοφία ἐστὶ φιλία σοφίας'. ἰστέον δὲ ὅτι λαμβάνονταί τινες τοῦ παρόντος ὅρου λέγοντες | ὅτι οἱ εὖ ἔχοντες ὅροι ἀντιστρέφειν θέλουσιν, 148r ὁ δὲ παρὼν ὅρος οὐκ ἀντιστρέφει· εἴ τι μὲν γὰρ φιλοσοφία, τοῦτο φιλία σοφίας, οὐκ εἴ τι δὲ φιλία σοφίας, τοῦτο φιλοσοφία· καὶ γὰρ πᾶσα τέχνη
5 ἐφίεται τοῦ ἰδίου ὑποκειμένου. ἔστιν οὖν εἰπεῖν ὅτι καλῶς ἔχει ὁ παρὼν ὅρος, ἐπειδὴ Πυθαγόρου ἐστί· πρῶτος γὰρ ὁ Πυθαγόρας τὸ τῆς σοφίας ὄνομα φερόμενον καὶ ἐπὶ τῶν βαναύσων τεχνῶν, ὡς καὶ ὁ ποιητὴς δηλοῖ λέγων

ἐπεὶ σοφὸς ἤραρε τέκτων,

τὸ σοφὸς κατὰ τοῦ τέκτονος θείς, ἀφώρισεν ἐπὶ τῆς ἐν τῷ ὄντι γνώσεως·
10 πρῶτος γὰρ οὗτος σοφίαν ἐκάλεσε μόνην τὴν τοῦ ὄντος γνῶσιν ἤγουν τοῦ θείου· κυρίως γὰρ ὄντα τὰ θεῖα λέγεται ὡς ἀεὶ ὑπάρχοντα· ὂν γάρ ἐστι τὸ ἀεὶ ὡσαύτως ἔχον καὶ μηδέποτε ἐξιστάμενον. τὴν ἔφεσιν οὖν τῆς σοφίας τοῦ ὄντος ἤγουν τοῦ θείου φιλοσοφίαν ἐκάλεσεν. ἰστέον δὲ ὅτι καὶ μᾶλλον τὸ τῆς σοφίας ὄνομα κυρίως ἐπὶ τῶν θείων ὤφειλε λέγεσθαι, ἐπειδὴ
15 σοφία λέγεται οἱονεὶ σαοφία τις οὖσα, τοῦτ' ἔστιν ἡ τὸ φῶς σώζουσα· καὶ γὰρ τὰ θεῖα ἄυλα ὄντα καὶ μὴ ὄντα δεκτικὰ τῶν ἐναντίων σώζουσι τὸ φῶς τῆς οἰκείας φύσεως, τὰ δὲ ἔνυλα ἤγουν τὰ τῇδε ὡς ὄντα δεκτικὰ τῶν ἐναντίων οὐ σώζουσι τὸ φῶς τῆς οἰκείας φύσεως ἀλλ' ἐπισκοτίζονται διὰ τῶν ἐναντίων. καὶ ἀποροῦσί τινες λέγοντες· εἰ ἄρα τὰ θεῖα κατὰ τὴν φύσιν
20 σαφῆ εἰσι, πῶς ἡμῖν ἀσαφῆ εἰσι; καὶ ἔστιν εἰπεῖν ὅτι ὥσπερ ὁ ἥλιος φύσει φωτεινὸς ὢν ταῖς νυκτερίσι δοκεῖ ἀμυδρότερος διὰ τὸ ἀνεπιτήδειον τοῦ ὀργάνου, τοῦτ' ἔστι διὰ τὸ ἐν ἡμέρᾳ μὴ καθορᾶν, τὸν αὐτὸν τρόπον καὶ τὰ θεῖα κατὰ τὴν φύσιν σαφῆ καὶ εἰλικρινῆ ὄντα ἡμῖν ἀσαφῆ εἰσι διὰ τὸ τὸ τῆς ψυχῆς ὄμμα ὑπὸ τῆς σωματικῆς ἀχλύος ἤγουν διὰ τῶν ἡδυ-
25 παθειῶν ἐπισκοτίζεσθαι. ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι ἡ φιλοσοφία πολλοῖς ἀναβαθμοῖς κέχρηται· καὶ γὰρ πολλοῖς ἀναβαθμοῖς κέχρηταί τις, ἵνα γνῷ τὴν φιλοσοφίαν· θέλει γὰρ γινώσκειν τὰς πέντε γνωστικὰς δυνάμεις. εἰσὶ δὲ αὗται· αἴσθησις, φαντασία, δόξα, διάνοια καὶ νοῦς. καὶ αἴσθησις μέν ἐστιν ἡ τοῦ παρόντος μερικὴ
30 γνῶσις· καὶ γὰρ ἡ αἴσθησις τοῦ παρόντος ἀντιλαμβάνεται· ἡ γὰρ ὅρασις εἰ μὴ θεωρήσῃ τι, οὐ δύναται ἀντιλαβέσθαι αὐτοῦ, καὶ πάλιν ἡ ἀκοὴ οὐ δύναται ψόφου ἀντιλαβέσθαι, εἰ μὴ πλησίον ᾖ ὁ ψόφος. φαντασία δέ ἐστιν ἡ τοῦ ἀπόντος μερικὴ γνῶσις, οἷον ὡς ὅταν χθὲς θεωρήσας ἄνθρωπον σήμερον φαντασθῶ αὐτὸν ἤγουν ἀναπολήσω αὐτόν· κατὰ τοῦτο γὰρ δια-
35 φέρει ἡ φαντασία τῆς ψιλῆς ἐπινοίας, ὅτι ἡ μὲν φαντασία τῶν ὄντων ἐστὶν ἀναπόλησις (καὶ γὰρ τὸ ὀφθὲν φαντάζεται καὶ ἀναπολεῖ τις), ἡ δὲ ψιλὴ ἐπίνοια τῶν μὴ ὄντων ἐστὶ διατύπωσις, ὡς ὅταν τις τραγέλαφον | 148v

---

1 δὲ om. K 8 ἐπεὶ σοφὸς . .] cf. Ammon. *In Porph. Isag.* p. 9,13 not. 10 οὗτος Vat. 2253: αὐτὸς KTV 11 ὄν] ὢν V 13 δὲ om. T 15 σαοφία] σοαφία K: σοφία T 21 post ἀμυδρ. add. εἶναι K 22 post καθορᾶν add. αὐτάς T 23 τὴν om. K 24 alt. τὸ om. KV τὸ ὄμμα τῆς ψ. coll. T διὰ (post ἤγουν) om. K 25 ἐν τούτοις] οὕτως T 31 θεωρήσῃ Vat. 2253: θεωρήσει KTV (cf. v. 32) 31. 32 ἀντιλαμβάνεσθαι KV (bis) 31 πάλιν om. T 32 γ'] ἐστὶν T 37 ante ὡς add. οἷον KT

Digitized by Google

ἢ ἱπποκένταυρον ἀναπλάττηται· ταῦτα γὰρ οὐκ εἰσίν. ἡ δὲ δόξα διττή ἐστιν· ἢ γὰρ μετὰ λόγου ἐστὶν ἢ ἄνευ λόγου, καὶ ἄνευ μὲν λόγου, ὡς ὅταν τις τὴν λογικὴν ψυχὴν δοξάζῃ ἀθάνατον εἶναι μὴ λέγων αἰτίαν, μετὰ λόγου δέ, ὡς ὅταν τις τὴν λογικὴν ψυχὴν δοξάζῃ ἀθάνατον εἶναι λέγων
5 αἰτίαν. καὶ ἰστέον ὅτι δόξα μετὰ λόγου ἐστὶ τὸ συμπέρασμα τῶν προτάσεων, οἷον ἡ ψυχὴ αὐτοκίνητος, τὸ αὐτοκίνητον ἀεικίνητον, τὸ ἀεικίνητον ἀθάνατον ὥσπερ ἄγγελος, ἡ ψυχὴ ἄρα ἀθάνατος. ἰδοὺ τὸ συμπέρασμα τῶν προτάσεων, λέγω δὴ τὸ 'ἡ ψυχὴ ἄρα ἀθάνατος'. τοῦτο δέ, ὃ αἱ προτάσεις συνεπέραναν, δόξα μετὰ λόγου λέγεται. διάνοια δέ ἐστιν ἡ τῶν καθόλου μετὰ λόγου γνῶσις·
10 κατὰ τοῦτο γὰρ διαφέρει ἡ διάνοια τῆς μετὰ λόγου δόξης, ὅτι ἡ μὲν μετὰ λόγου δόξα συμπέρασμά ἐστιν, ὡς εἴρηται, τῶν προτάσεων, ἡ δὲ διάνοια λαμβάνουσα τὰς προτάσεις ὁμολογουμένας κατασκευάζει τὸ ζητούμενον· λαμβάνουσα γὰρ ὁμολογούμενον ὅτι ἡ ψυχὴ αὐτοκίνητός ἐστι καὶ ὅτι τὸ αὐτοκίνητον ἀεικίνητον καὶ ὅτι εἴ τι ἀεικίνητον, ἀθάνατον, κατασκευάζει ἐκ τού-
15 του τὸ ζητούμενον, φημὶ δὲ τὸ ὅτι ἡ ψυχὴ ἀθάνατός ἐστιν. ὁ δὲ νοῦς ἁπλῇ προσβολῇ, τοῦτ' ἔστιν εὐθέως καὶ κατ' αὐτὸν [ἄνευ λόγου] τὸν χρόνον, πάντα τὰ ὑποπίπτοντα αὐτῷ γινώσκει, τοῦτ' ἔστι τὰ νοητά. τούτων οὖν οὕτως ἐχόντων ἐκ μὲν τῆς αἰσθήσεως καὶ τῆς φαντασίας ἐγείρεται ἡ πεῖρα (καὶ γὰρ καὶ αὕτη μερική ἐστι γνῶσις), ἐκ δὲ τῆς ἄνευ λόγου δόξης ἐγείρε-
20 ται ἡ ἐμπειρία· καὶ γὰρ καὶ αὕτη ἄνευ λόγου γινώσκει τὰ γινωσκόμενα ὥσπερ καὶ ἡ δόξα ἡ ἄλογος. καὶ μὴν καὶ ἐκ τῆς αἰσθήσεως καὶ τῆς φαντασίας ἐγείρεται ἡ ἐμπειρία· καὶ γὰρ ἐκ τῶν μερικῶν συνίσταται· δοκιμάζοντες γὰρ ἓν καὶ ἕκαστον τῶν βοηθημάτων καὶ φανταζόμενοι αὐτὰ ἀλόγως ἤγουν ἀναπολοῦντες αὐτὰ ἀποτελοῦνται ἐμπειρικοί. ἰστέον ὅτι
25 ἡνίκα μὲν ἐκ τῆς αἰσθήσεως καὶ τῆς φαντασίας ἐγείρεται ἡ ἐμπειρία, τότε αὐτοψία λέγεται (καὶ γὰρ αὐτόπτης ἐγένετο ὁ ἐμπειρικὸς τῆς φύσεως τῶν βοηθημάτων καὶ αὐτὸς διὰ τῆς αἰσθήσεως καὶ τῆς φαντασίας βασανίσας ἕκαστον τῶν βοηθημάτων ἔγνω τὴν φύσιν αὐτῶν), ἡνίκα δὲ ἐκ τῆς δόξης τῆς ἀλόγου ἐγείρεται ἡ ἐμπειρία, καλεῖται ἱστορία, ὡς ὅταν ⟨τις⟩ νομίσῃ τὴν
30 φύσιν τοῦδε τοῦ βοηθήματος τοιάνδε εἶναι, οὐ πειραθεὶς αὐτὸς ἀλλ' ἀπ' ἄλλων ἀκούσας καὶ τοῦτο δοξάσας. ἡ δὲ τέχνη ἐγείρεται ἔκ τε τῆς μετὰ λόγου δόξης καὶ τῆς διανοίας· καὶ γὰρ καὶ αὕτη ὁμοίως αὐταῖς τὰ καθόλου μετὰ

---

1 ἀναπλάττεται V 3 δοξάζει V 4 δόξάση KV 5 καὶ om. T 6 οἷον] λέγω δὴ τὸ ἡ ψυχὴ ἄρα ἀθάνατος. συμπεραίνεται δὲ οὕτως T 7 ὥσπερ ἄγγ. eicias 7. 8 ἰδοὺ—ἀθάνατος om. T 8 δὲ] γὰρ KV 10 μὲν om. T 11 ὡς εἴρηται om. T (cf. v. 5) 15 δὲ] δὴ T 16 τὸν ἄνευ λ. χρ. coll. V²; ἄνευ λόγου delevi 17 γινώσκειν V 18 post ἐχόντων add. ἰστέον ὅτι ὁ Ὀλυμπιόδωρος οὕτω λέγει τὴν ἀνάβασιν ἤγουν τὴν γνῶσιν τῆς φιλοσοφίας· πρώτη ἐστὶν αἴσθησις, δευτέρα φαντασία, τρίτη δόξα, τετάρτη πεῖρα (πέμπτη ἐμπειρία Hamilt. 382), ἕκτη γνῶσις, ἑβδόμη ἐπιστήμη, ὀγδόη μνήμη, ἐνάτη σοφία, ἧς ἐστιν ἔφεσις ἡ φιλοσοφία T 19 αὕτη] αὐτὴ KV 20 καὶ (post γὰρ) om. V αὕτη] αὐτὴ K 21 ante τῆς φαντ. add. ἐκ K 22 καὶ γὰρ καὶ T συνίστανται V 23 ἓν ἕκαστον (καὶ om.) T: ἓν καὶ ἓν ἕκαστον V αὐτὰ Vat. 2253: αὐτὸ KTV 25 ἐκ] ἀπὸ T 26 post ἐμπειρικὸς add. ἰατρὸς KTV: eieci secundum Vat. 2253 29 τις inserui 31 τε om. T 32 αὕτη] αὐτὴ KV

Digitized by Google

λόγου γινώσκει. ἡ δὲ ἐπιστήμη ἐγείρεται ἔκ τε τῆς διανοίας καὶ τοῦ νοῦ· ἡνίκα μὲν ἀρχὰς λαμβάνῃ δεομένας ἀποδείξεων, οἷον τὸ σημεῖον ἀμερές ἐστι (τοῦτο γὰρ ὡς δεόμενον ἀποδεί|ξεως) ἐκ τῆς διανοίας ἐγείρεται, ἡνίκα δὲ 149r ἢ ὅρους λαμβάνῃ ἢ κοινὰς ἐννοίας μὴ δεομένας ἀποδείξεων, οἷον ὅτι ὁ θεὸς φιλάνθρωπός ἐστι (τοῦτο γὰρ παρὰ πᾶσιν ὁμολογεῖται καὶ οὐ δέεται ἀποδείξεως), τότε ἐκ τοῦ νοῦ ἐγείρεται. ὥστε οὐ μόνον κατὰ τὰ λεχθέντα ἐν τῇ προτέρᾳ πράξει διαφέρει ἡ τέχνη τῆς ἐπιστήμης ἀλλὰ καὶ κατὰ τοῦτο, ὅτι ἡ μὲν τέχνη ἔκ τε τῆς δόξης τῆς μετὰ λόγου καὶ τῆς διανοίας ἐγείρεται, ἡ δὲ ἐπιστήμη ἔκ τε τῆς διανοίας καὶ τοῦ νοῦ. δέδεικται οὖν διὰ τούτων τῶν προλεχθέντων ὅτι πολλοῖς ἀναβαθμοῖς κέχρηται ἡ φιλοσοφία καὶ ὅτι κάλλιστον πάντων ἐστὶν ἡ φιλοσοφία, ὡς καὶ ὁ Πλάτων πρός τινα Θεόδωρον γεωμέτρην ποιούμενος τὸν λόγον δηλοῖ λέγων ὅτι 'τοιοῦτόν τι, ὦ Θεόδωρε, οὔτε ἦκέ ποτε εἰς ἀνθρώπους οὔτε ἥξει ποτὲ δωρηθὲν ἐκ θεοῦ'.

Τούτων οὕτως ἐχόντων ἔγνωμεν ὅτι ἕξ εἰσιν ὁρισμοὶ τῆς φιλοσοφίας καὶ τὴν αἰτίαν ἔγνωμεν. οὐ μόνον δὲ τοῦτο ἔγνωμεν, ἀλλ' ὅτι καὶ τέσσαρές εἰσι διαφοραὶ τῶν ὁρισμῶν τῆς φιλοσοφίας· οἱ μὲν γὰρ ἀπὸ τοῦ ὑποκειμένου ἐλήφθησαν, οἷον ὁ λέγων ὅτι 'φιλοσοφία ἐστὶ γνῶσις τῶν ὄντων ᾗ ὄντα ἐστί' καὶ ὁ λέγων ὅτι 'φιλοσοφία ἐστὶ γνῶσις θείων τε καὶ ἀνθρωπίνων πραγμάτων', οἱ δὲ ἐκ τοῦ τέλους, ὁ λέγων ὅτι φιλοσοφία ἐστὶ μελέτη θανάτου' καὶ ὁ λέγων ὅτι 'φιλοσοφία ἐστὶ ὁμοίωσις θεῷ κατὰ τὸ δυνατὸν ἀνθρώπῳ', ὁ δὲ ἐκ τῆς ὑπεροχῆς ὁ λέγων ὅτι 'φιλοσοφία ἐστὶ τέχνη τεχνῶν καὶ ἐπιστήμη ἐπιστημῶν', ὁ δὲ ἐκ τῆς ἐτυμολογίας ὁ λέγων ὅτι 'φιλοσοφία ἐστὶ φιλία σοφίας'. διὰ τοῦτο δὲ τέσσαρές εἰσι διαφοραὶ τῶν ὁρισμῶν τῆς φιλοσοφίας, ὅτι ὁ τέσσαρα ἀριθμὸς πάνυ ἦν τίμιος παρὰ τοῖς Πυθαγορείοις, ὡς καὶ αὐτοὶ ὀμνύοντες εἰς τὸν Πυθαγόραν δηλοῦσι λέγοντες 'ναὶ μὰ τὸν ἁμετέραις ψυχαῖς παραδόντα τετρακτὺν παγὰν ἀεννάου φύσεως', τοῦτ' ἔστι 'ναὶ μὰ τὸν Πυθαγόραν τὸν παραδόντα ἡμῖν τὸν τέσσαρα ἀριθμὸν τὴν πηγὴν τῆς ἀεννάου φύσεως'. πηγὴν δὲ τῆς ἀεννάου φύσεως ἐκάλεσε τὸν τέσσαρα ἀριθμόν, ἐπειδὴ ἐκ τῶν τεσσάρων στοιχείων συνίσταται τὰ ἡμέτερα σώματα (διὰ τοῦτο γὰρ ὁ τέσσαρα ἀριθμὸς πάνυ ἦν τίμιος παρὰ τοῖς Πυθαγορείοις), ἢ ἐπειδὴ καὶ τέσσαρά εἰσι τὰ στοιχεῖα, οἷον γῆ ὕδωρ ἀὴρ πῦρ, ἢ ἐπειδὴ καὶ τέσσαρές εἰσιν αἱ ἀρεταὶ τῆς ψυχῆς, οἷον ἀνδρία δικαιοσύνη σωφροσύνη φρόνησις, ἢ ἐπειδὴ ὁ τέσσαρα ἀριθμὸς συντιθέμενος μετὰ τῶν πρὸ

---

1 νοῦ] νοός V 2. 4 λαμβάνει KV 3 ὡς] an ἐστὶ 7 πράξει] τάξει T ἡ ἐπιστήμη τῆς τέχνης T 8 τῆς μετὰ λ. δόξης T 10 post τούτων add. καὶ T 11 καὶ ὅτι—φιλοσοφία om. K ὁ Πλάτων] Tim. p. 47 B 12 τοὺς λόγους V 13 alt. ποτε om. T 15 an ἀλλὰ καὶ ὅτι? 17 ὅτι φιλ. ἐστὶ om. T: ὅτι om. K: ἐστὶ om. V 18 ὅτι φιλ. ἐστὶ om. T 19 ὁ λέγων ὅτι φιλ. ἐστὶ om. T: ὅτι om. K 20 ὅτι φιλ. ἐστὶ om. T 23 τῶν ὁρ. τῆς φιλ. ante διαφοραὶ colloc. K 24 τέσσαρα] τέσσαρις (sic) K: τέταρτος V πυθαγορίοις V 25 ναὶ μὰ κτλ.] cf. Zelleri Phil. Gr. I⁵ p. 398 not. 5 ἁμετέραν ψυχὰν V 26 τοῦτ' ἔστι—φύσεως (28) om. T 27. 28 τέταρτον V 29 συνίστανται TV 30 τέσσαρις (sic) KT: τέταρτος V 31 pr. ἢ om. V πῦρ ἀὴρ coll. V ἢ—φρόνησις (33) om. V 32 αἱ om. K οἷον om. K 33 τέσσαρις K: τέταρτος V (constanter) συντεθειμένος V

Digitized by Google

αὐτοῦ ἀποτελεῖ τὸν δέκα ἀριθμόν· καὶ γὰρ προσλαμβάνων τὸν τρία ἀποτελεῖ τὸν ἑπτὰ ἀριθμόν, καὶ πάλιν προσλαμβάνων τὸν δύο ἀποτελεῖ τὸν ἐννέα, καὶ πάλιν προσλαμβάνων τὴν μονάδα ἀποτελεῖ τὸν δέκα. καὶ τὸν δέκα δὲ ἀριθμὸν τίμιον ἔλεγον, καθὸ ὁ δέκα ἀριθμὸς τῶν πρὸ αὐτοῦ ἀριθμῶν
5 δεκτικός ἐστιν, ὅθεν καὶ δεκὰς λέγεται οἱονεὶ δεχάς τις οὖσα. ἐν οἷς σὺν θεῷ καὶ ἡ παροῦσα πρᾶξις. |

Πρᾶξις ις'. 149v

Ἐπειδὴ ἐν τοῖς προλαβοῦσιν εἰρήκαμεν ἀριθμητικὴν αἰτίαν δεικνύουσαν διὰ τί ἓξ εἰσιν οἱ τῆς φιλοσοφίας ὁρισμοί, ἐντεῦθεν λαβόντες οἱ ἐξηγηταὶ
10 ἀφορμὴν ἔρχονται καὶ διαλαμβάνουσι περὶ τῶν ἀριθμῶν τῶν ὄντων ἄχρι τῆς δεκάδος, καί φασιν ὅτι μονὰς λέγεται παρὰ τὸ μένειν· καὶ γὰρ ἡ μονὰς ἐφ' ὃν ἂν γένηται ἀριθμὸν φυλάττει τὸ αὐτὸ εἶδος, οἷον τὰ ἅπαξ τρία τρία, ἅπαξ τέσσαρα τέσσαρα, ἅπαξ πέντε πέντε· ἰδοὺ ἐπὶ τούτων προσελθοῦσα ἡ μονὰς τὸ αὐτὸ εἶδος ἐφύλαξε καὶ οὐκ ἐποίησεν ἕτερον ἀριθμόν.
15 εἰ δέ τις εἴποι 'ἰδοὺ λέγω μία καὶ τέσσαρα, καὶ οὐκέτι φυλάττεται ὁ αὐτὸς ἀριθμὸς ἀλλὰ γίνεται ὁ πέντε', λέγομεν ὅτι ἐνταῦθα σύνθεσις γέγονε καὶ τούτου χάριν οὐκ ἐφυλάχθη ὁ αὐτὸς ἀριθμός. τούτων οὖν οὕτως ἐχόντων λέγομεν ὅτι οὐκ ἔστιν ἡ μονὰς ἀριθμὸς ἀλλ' ἀρχὴ ἀριθμοῦ. καὶ εἴ τις εἴποι 'εἰ ἄρα ἀρχή ἐστιν ἀριθμοῦ, πῶς λέγετε αὐτὴν μὴ εἶναι ἀριθμόν;'
20 λέγομεν ὅτι οὐ πάντως ἡ ἀρχή τινος ταὐτόν ἐστιν ἐκείνῳ οὗ τινος λέγεται εἶναι ἀρχή· καὶ γὰρ ἀρχὴ τοῦ οἴκου ὁ θεμέλιός ἐστι, καὶ οὐκ ἔστιν ὁ θεμέλιος οἶκος. οὕτως οὖν καὶ τὴν μονάδα ἐνδέχεται εἶναι ἀρχὴν ἀριθμοῦ καὶ μὴ εἶναι ἀριθμόν· ὅτι μὲν γὰρ οὐκ ἔστιν ἡ μονὰς ἀριθμός, δείκνυμεν ὀλίγα τινὰ προειπόντες. ἰστέον ὅτι ἡνίκα ἐν τοῖς ἀριθμοῖς τὴν ἐπί πρό-
25 θεσιν λέγομεν, πολυπλασιασμός ἐστιν, οἷον πέντε ἐπὶ πέντε εἰκοσιπέντε (ἀντὶ γὰρ τοῦ πεντάκις πέντε), καὶ πάλιν τρία ἐπὶ τρία ἐννέα (ἀντὶ γὰρ τοῦ τρὶς τρία), ἡνίκα δὲ ὁ καί σύνδεσμός ἐστιν, σύνθεσίς ἐστιν, οἷον τρία καὶ τρία ἕξ, τέσσαρα καὶ τέσσαρα ὀκτώ. τούτων οὖν οὕτως ἐχόντων οἱ ἀριθμοὶ πολυπλασιαζόμενοι ἐφ' ἑαυτοὺς μείζονα ἀριθμὸν ἀποτελοῦσιν ἤπερ
30 συντιθέμενοι ἑαυτοῖς, οἷον τρὶς τρία ἐννέα, τρία δὲ καὶ τρία ἕξ· ἰδοὺ δὴ πολυπλασιασθεὶς μὲν ὁ τρία τὸν ἐννέα ἀριθμὸν ἀπετέλεσε, συντεθεὶς δὲ τὸν ἕξ, ὁ δὲ ἐννέα μείζων ἐστὶ τοῦ ἕξ. καὶ πάλιν τετράκις τέσσαρα δεκαέξ,

---

3 τὴν om. KV 4 δὲ om. KT ὁ δέκα] ὁ δέκατος KTV ἀριθμῶν om. K
5. 6 ἐν οἷς—πρᾶξις om. TV 9 ἐνταῦθα T 10 διαλ.] διαβάλλουσι T
11 παρά] περὶ T 12 ὧν . . ἀριθμῶν V τὰ] τὸ T 13 ἐπὶ τούτων post μονὰς (14) colloc. T 13. 14 προελθ. KV 17 οὖν om. T 18 ἀρχ. τοῦ ἀρ. KV 19 ἄρα om. V λέγετε] λέγεται T 20 ὅτι om. KV
24 ἰστέον δὲ V 25 λέγωμεν T οἷον πέντε] πέντε γὰρ T 26 γὰρ om. T 31 ἀριθμὸν om. T 32 post μείζων add. μὲν V: eras. K

Digitized by Google

λόγου γινώσκει. ἡ δὲ ἐπιστήμη ἐγείρεται ἔκ τε τῆς διανοίας καὶ τοῦ νοῦ· ἡνίκα μὲν ἀρχὰς λαμβάνῃ δεομένας ἀποδείξεων, οἷον τὸ σημεῖον ἀμερές ἐστι (τοῦτο γὰρ ὡς δεόμενον ἀποδεί|ξεως) ἐκ τῆς διανοίας ἐγείρεται, ἡνίκα δὲ 149r ἢ ὅρους λαμβάνῃ ἢ κοινὰς ἐννοίας μὴ δεομένας ἀποδείξεων, οἷον ὅτι ὁ θεὸς φιλάνθρωπός ἐστι (τοῦτο γὰρ παρὰ πᾶσιν ὁμολογεῖται καὶ οὐ δέεται ἀποδείξεως), τότε ἐκ τοῦ νοῦ ἐγείρεται. ὥστε οὐ μόνον κατὰ τὰ λεχθέντα ἐν τῇ προτέρᾳ πράξει διαφέρει ἡ τέχνη τῆς ἐπιστήμης ἀλλὰ καὶ κατὰ τοῦτο, ὅτι ἡ μὲν τέχνη ἔκ τε τῆς δόξης τῆς μετὰ λόγου καὶ τῆς διανοίας ἐγείρεται, ἡ δὲ ἐπιστήμη ἔκ τε τῆς διανοίας καὶ τοῦ νοῦ. δέδεικται οὖν διὰ τούτων τῶν προλεχθέντων ὅτι πολλοῖς ἀναβαθμοῖς κέχρηται ἡ φιλοσοφία καὶ ὅτι κάλλιστον πάντων ἐστὶν ἡ φιλοσοφία, ὡς καὶ ὁ Πλάτων πρός τινα Θεόδωρον γεωμέτρην ποιούμενος τὸν λόγον δηλοῖ λέγων ὅτι 'τοιοῦτόν τι, ὦ Θεόδωρε, οὔτε ἦκέ ποτε εἰς ἀνθρώπους οὔτε ἥξει ποτὲ δωρηθὲν ἐκ θεοῦ'.

Τούτων οὕτως ἐχόντων ἔγνωμεν ὅτι ἕξ εἰσιν ὁρισμοὶ τῆς φιλοσοφίας καὶ τὴν αἰτίαν ἔγνωμεν. οὐ μόνον δὲ τοῦτο ἔγνωμεν, ἀλλ' ὅτι καὶ τέσσαρές εἰσι διαφοραὶ τῶν ὁρισμῶν τῆς φιλοσοφίας· οἱ μὲν γὰρ ἀπὸ τοῦ ὑποκειμένου ἐλήφθησαν, οἷον ὁ λέγων ὅτι 'φιλοσοφία ἐστὶ γνῶσις τῶν ὄντων ᾗ ὄντα ἐστί' καὶ ὁ λέγων ὅτι 'φιλοσοφία ἐστὶ γνῶσις θείων τε καὶ ἀνθρωπίνων πραγμάτων', οἱ δὲ ἐκ τοῦ τέλους, ὁ λέγων ὅτι φιλοσοφία ἐστὶ μελέτη θανάτου' καὶ ὁ λέγων ὅτι 'φιλοσοφία ἐστὶ ὁμοίωσις θεῷ κατὰ τὸ δυνατὸν ἀνθρώπῳ', ὁ δὲ ἐκ τῆς ὑπεροχῆς ὁ λέγων ὅτι 'φιλοσοφία ἐστὶ τέχνη τεχνῶν καὶ ἐπιστήμη ἐπιστημῶν', ὁ δὲ ἐκ τῆς ἐτυμολογίας ὁ λέγων ὅτι 'φιλοσοφία ἐστὶ φιλία σοφίας'. διὰ τοῦτο δὲ τέσσαρές εἰσι διαφοραὶ τῶν ὁρισμῶν τῆς φιλοσοφίας, ὅτι ὁ τέσσαρα ἀριθμὸς πάνυ ἦν τίμιος παρὰ τοῖς Πυθαγορείοις, ὡς καὶ αὐτοὶ ὀμνύοντες εἰς τὸν Πυθαγόραν δηλοῦσι λέγοντες 'ναὶ μὰ τὸν ἁμετέραις ψυχαῖς παραδόντα τετρακτὺν παγὰν ἀεννάου φύσεως', τοῦτ' ἔστι 'ναὶ μὰ τὸν Πυθαγόραν τὸν παραδόντα ἡμῖν τὸν τέσσαρα ἀριθμὸν τὴν πηγὴν τῆς ἀεννάου φύσεως'. πηγὴν δὲ τῆς ἀεννάου φύσεως ἐκάλεσε τὸν τέσσαρα ἀριθμόν, ἐπειδὴ ἐκ τῶν τεσσάρων στοιχείων συνίσταται τὰ ἡμέτερα σώματα (διὰ τοῦτο γὰρ ὁ τέσσαρα ἀριθμὸς πάνυ ἦν τίμιος παρὰ τοῖς Πυθαγορείοις), ἢ ἐπειδὴ καὶ τέσσαρά εἰσι τὰ στοιχεῖα, οἷον γῆ ὕδωρ ἀὴρ πῦρ, ἢ ἐπειδὴ καὶ τέσσαρές εἰσιν αἱ ἀρεταὶ τῆς ψυχῆς, οἷον ἀνδρία δικαιοσύνη σωφροσύνη φρόνησις, ἢ ἐπειδὴ ὁ τέσσαρα ἀριθμὸς συντιθέμενος μετὰ τῶν πρὸ

---

1 νοῦ] νοός V 2. 4 λαμβάνει KV 3 ὡς] an ἐστὶ 7 πράξει] τάξει T ἡ ἐπιστήμη τῆς τέχνης T 8 τῆς μετὰ λ. δόξης T 10 post τούτων add. καὶ T 11 καὶ ὅτι—φιλοσοφία om. K ὁ Πλάτων] Tim. p. 47 B 12 τοὺς λόγους V 13 alt. ποτε om. T 15 an ἀλλὰ καὶ ὅτι? 17 ὅτι φιλ. ἐστὶ om. T: ὅτι om. K: ἐστὶ om. V 18 ὅτι φιλ. ἐστὶ om. T 19 ὁ λέγων ὅτι φιλ. ἐστὶ om. T: ὅτι om. K 20 ὅτι φιλ. ἐστὶ om. T 23 τῶν ὁρ. τῆς φιλ. ante διαφοραὶ colloc. K 24 τέσσαρα] τέσσαρις (sic) K: τέταρτος V πυθαγορίοις V 25 ναὶ μὰ κτλ.] cf. Zelleri Phil. Gr. I^5 p. 398 not. 5 ἁμετέραν ψυχὰν V 26 τοῦτ' ἔστι—φύσεως (28) om. T 27. 28 τέταρτον V 29 συνίστανται TV 30 τέσσαρις (sic) KT: τέταρτος V 31 pr. ἢ om. V πῦρ ἀὴρ coll. V ἢ—φρόνησις (33) om. V 32 αἱ om. K οἷον om. K 33 τέσσαρις K: τέταρτος V (constanter) συντεθειμένος V

Digitized by Google

αὐτοῦ ἀποτελεῖ τὸν δέκα ἀριθμόν· καὶ γὰρ προσλαμβάνων τὸν τρία ἀποτελεῖ τὸν ἑπτὰ ἀριθμόν, καὶ πάλιν προσλαμβάνων τὸν δύο ἀποτελεῖ τὸν ἐννέα, καὶ πάλιν προσλαμβάνων τὴν μονάδα ἀποτελεῖ τὸν δέκα. καὶ τὸν δέκα δὲ ἀριθμὸν τίμιον ἔλεγον, καθὸ ὁ δέκα ἀριθμὸς τῶν πρὸ αὐτοῦ ἀριθμῶν
5 δεκτικός ἐστιν, ὅθεν καὶ δεκὰς λέγεται οἱονεὶ δεχάς τις οὖσα. ἐν οἷς σὺν θεῷ καὶ ἡ παροῦσα πρᾶξις. |

Πρᾶξις ις'. 149v

Ἐπειδὴ ἐν τοῖς προλαβοῦσιν εἰρήκαμεν ἀριθμητικὴν αἰτίαν δεικνύουσαν διὰ τί ἕξ εἰσιν οἱ τῆς φιλοσοφίας ὁρισμοί, ἐντεῦθεν λαβόντες οἱ ἐξηγηταὶ
10 ἀφορμὴν ἔρχονται καὶ διαλαμβάνουσι περὶ τῶν ἀριθμῶν τῶν ὄντων ἄχρι τῆς δεκάδος, καί φασιν ὅτι μονὰς λέγεται παρὰ τὸ μένειν· καὶ γὰρ ἡ μονὰς ἐφ' ὃν ἂν γένηται ἀριθμὸν φυλάττει τὸ αὐτὸ εἶδος, οἷον τὰ ἅπαξ τρία τρία, ἅπαξ τέσσαρα τέσσαρα, ἅπαξ πέντε πέντε· ἰδοὺ ἐπὶ τούτων προσελθοῦσα ἡ μονὰς τὸ αὐτὸ εἶδος ἐφύλαξε καὶ οὐκ ἐποίησεν ἕτερον ἀριθμόν.
15 εἰ δέ τις εἴποι 'ἰδοὺ λέγω μία καὶ τέσσαρα, καὶ οὐκέτι φυλάττεται ὁ αὐτὸς ἀριθμὸς ἀλλὰ γίνεται ὁ πέντε', λέγομεν ὅτι ἐνταῦθα σύνθεσις γέγονε καὶ τούτου χάριν οὐκ ἐφυλάχθη ὁ αὐτὸς ἀριθμός. τούτων οὖν οὕτως ἐχόντων λέγομεν ὅτι οὐκ ἔστιν ἡ μονὰς ἀριθμὸς ἀλλ' ἀρχὴ ἀριθμοῦ. καὶ εἴ τις εἴποι 'εἰ ἄρα ἀρχή ἐστιν ἀριθμοῦ, πῶς λέγετε αὐτὴν μὴ εἶναι ἀριθμόν;'
20 λέγομεν ὅτι οὐ πάντως ἡ ἀρχή τινος ταὐτόν ἐστιν ἐκείνῳ οὗ τινος λέγεται εἶναι ἀρχή· καὶ γὰρ ἀρχὴ τοῦ οἴκου ὁ θεμέλιός ἐστι, καὶ οὐκ ἔστιν ὁ θεμέλιος οἶκος. οὕτως οὖν καὶ τὴν μονάδα ἐνδέχεται εἶναι ἀρχὴν ἀριθμοῦ καὶ μὴ εἶναι ἀριθμόν· ὅτι μὲν γὰρ οὐκ ἔστιν ἡ μονὰς ἀριθμός, δείκνυμεν ὀλίγα τινὰ προειπόντες. ἰστέον ὅτι ἡνίκα ἐν τοῖς ἀριθμοῖς τὴν ἐπί πρό-
25 θεσιν λέγομεν, πολυπλασιασμός ἐστιν, οἷον πέντε ἐπὶ πέντε εἰκοσιπέντε (ἀντὶ γὰρ τοῦ πεντάκις πέντε), καὶ πάλιν τρία ἐπὶ τρία ἐννέα (ἀντὶ γὰρ τοῦ τρὶς τρία), ἡνίκα δὲ ὁ καί σύνδεσμός ἐστιν, σύνθεσίς ἐστιν, οἷον τρία καὶ τρία ἕξ, τέσσαρα καὶ τέσσαρα ὀκτώ. τούτων οὖν οὕτως ἐχόντων οἱ ἀριθμοὶ πολυπλασιαζόμενοι ἐφ' ἑαυτοὺς μείζονα ἀριθμὸν ἀποτελοῦσιν ἤπερ
30 συντιθέμενοι ἑαυτοῖς, οἷον τρὶς τρία ἐννέα, τρία δὲ καὶ τρία ἕξ· ἰδοὺ δὴ πολυπλασιασθεὶς μὲν ὁ τρία τὸν ἐννέα ἀριθμὸν ἀπετέλεσε, συντεθεὶς δὲ τὸν ἕξ, ὁ δὲ ἐννέα μείζων ἐστὶ τοῦ ἕξ. καὶ πάλιν τετράκις τέσσαρα δεκαέξ,

---

3 τὴν om. KV 4 δὲ om. KT ὁ δέκα] ὁ δέκατος KTV ἀριθμῶν om. K
5. 6 ἐν οἷς—πρᾶξις om. TV 9 ἐνταῦθα T 10 διαλ.] διαβάλλουσι T
11 παρὰ] περὶ T 12 ὧν . . ἀριθμῶν V τὰ] τὸ T 13 ἐπὶ τούτων post μονὰς (14) colloc. T 13. 14 προελθ. KV 17 οὖν om. T 18 ἀρχ. τοῦ ἀρ. KV 19 ἄρα om. V λέγετε] λέγεται T 20 ὅτι om. KV
24 ἰστέον δὲ V 25 λέγωμεν T οἷον πέντε] πέντε γὰρ T 26 γὰρ om. T 31 ἀριθμὸν om. T 32 post μείζων add. μὲν V: eras. K

Digitized by Google

τέσσαρα δὲ καὶ τέσσαρα ὀκτώ. εἰ ἄρα οὖν ἡ μονὰς ἐκ τοῦ ἐναντίου συν-
τιθεμένη μείζονα ἀριθμὸν ἀποτελεῖ ἤπερ πολυπλασιαζομένη, δῆλον ὅτι οὐκ
ἔστιν ἀριθμός· καὶ γὰρ ἅπαξ μὲν μία μία ἐστίν, μία δὲ καὶ μία δύο.
ταῦτα μὲν περὶ τῆς μονάδος. ἡ δὲ δυὰς λέγεται παρὰ τὸ διιέναι καὶ δια-
5 πορεύεσθαι· πρώτη γὰρ ἡ δυὰς διεχώρισεν ἑαυτὴν ἐκ τῆς μονάδος· καὶ
γὰρ τῆς μονάδος ἕνωσιν δηλούσης πρώτη μετὰ τὴν μονάδα ἡ δυὰς ἐπεισ-
ῆλθεν διαχωρισμὸν δηλοῦσα. ἰστέον δὲ ὅτι οὐδὲ ἡ δυὰς κυρίως ἐστὶν
ἀριθμός· καὶ γάρ, ὡς ἐμάθομεν, οἱ ἀριθμοὶ πολυπλασιαζόμενοι ἐφ' ἑαυτοὺς
μείζονα ἀριθμὸν ἀποτελοῦσιν ἤπερ συντιθέμενοι | ἑαυτοῖς, ἡ δὲ δυὰς καὶ 150r
10 συντιθεμένη καὶ πολυπλασιαζομένη τὸν αὐτὸν ἀριθμὸν ἀποτελεῖ· δὶς γὰρ
δύο τέσσαρα καὶ δύο καὶ δύο τέσσαρα· ἄρα οὖν οὐκ ἔστιν ἀριθμός. καὶ
ἄλλως δὲ οὐκ ἔστιν ἀριθμὸς ἡ δυάς· πᾶς γὰρ ἄρτιος ἀριθμὸς ἀφαιρούμενος
ἤτοι ἀποβάλλων μονάδα ποιεῖ περιττὸν καὶ πάλιν προσλαμβάνων μονάδα
ποιεῖ περιττόν, οἷον ὁ τέσσαρα ἀποβάλλων μονάδα ποιεῖ τὸν τρία περιττὸν
15 καὶ πάλιν προσλαμβάνων μονάδα ποιεῖ τὸν πέντε ὁμοίως περιττόν. εἰ οὖν ὁ
δύο ἀριθμὸς προσλαμβάνων μὲν μονάδα ποιεῖ τὸν τρία περιττὸν ἀποβάλλων
δὲ μονάδα οὐκέτι ποιεῖ περιττόν (ὁ γὰρ δύο ἀποβάλλων μονάδα τὸ ἓν
ποιεῖ· ἡ δὲ μονὰς οὐκ ἔστιν ἀριθμός), ἄρα οὖν ὁ δύο οὐκ ἔστιν ἀριθμός.
καὶ ἄλλως οὐκ ἔστιν ἀριθμὸς ἡ δυάς, ἐπειδὴ πᾶς ἀριθμὸς ἐκ πλήθους
20 μονάδων σύγκειται, ἡ δὲ δυὰς οὐ σύγκειται ἐκ πλήθους μονάδων· ἀπὸ γὰρ
τριῶν ἐστι τὸ πλῆθος. τινὲς δὲ λέγουσιν ὅτι ἡ δυὰς ἀριθμός ἐστι· καὶ
γὰρ πᾶς ἀριθμὸς τῶν ἐφ' ἑκάτερα αὐτοῦ συντιθεμένων ἀριθμῶν τὸ ἥμισυ
ποιεῖ· οἷον ὁ πέντε μεταξὺ τοῦ τέσσαρα καὶ τοῦ ἕξ ἐστι, ταῦτα συντιθέμενα
τὸν δέκα ἀριθμὸν ἀποτελοῦσιν, οὗτινος ἥμισύ ἐστιν ὁ πέντε. καὶ πάλιν
25 ὁ ἕξ μεταξὺ τοῦ πέντε καὶ τοῦ ἑπτά ἐστι, ταῦτα συντιθέμενα τὸν δώδεκα
ἀποτελοῦσιν, οὗτινος ἥμισύ ἐστιν ὁ ἕξ. πάλιν δὲ ὁ ἑπτὰ μεταξὺ τοῦ ἕξ
καὶ τοῦ ὀκτώ ἐστι, ταῦτα συντιθέμενα τὸν δεκατέσσαρα ἀποτελοῦσιν, οὗτινος
ἥμισύ ἐστιν ὁ ἑπτά. εἰ ἄρα οὖν ὁ δύο τῶν ἐφ' ἑκάτερα αὐτοῦ συντιθεμένων
ἀριθμῶν τὸ ἥμισυ ποιεῖ (μεταξὺ γὰρ τῆς μονάδος καὶ τοῦ τρία ὁ δύο ἐστί,
30 ταῦτα δὲ συντιθέμενα τὸν τέσσαρα ἀριθμὸν ἀποτελοῦσιν, οὗτινος ἥμισύ ἐστιν
ὁ δύο), δῆλον ὅτι ὁ δύο ἀριθμός ἐστιν. ταῦτα μὲν ἐκεῖνοι. ἰστέον δὲ ὅτι
εἴ τις τὴν ἀκρίβειαν σκοπήσει, εὑρήσει ὅτι οὐχ ἁρμόζει οὗτος ὁ κανὼν τῷ

---

1 ἐναντία K 1. 2 συντεθειμένη V 3 μὲν om. T 6. 7 ὑπεισῆλθε KV
7 οὐδὲ Vat. 2253: οὔτε KTV 9 post ἑαυτοῖς add. τρὶς τρεῖς ἐννέα, τρεῖς δὲ καὶ τρεῖς ἕξ KV 11 οὖν om. T 11. 12 καὶ ἄλλως—ἡ δυάς om. T καὶ ἄλλως] ἄλλως τε V 12 post ἡ δυάς add. ἐπειδὴ πᾶς ἀριθμὸς ἐκ πλήθους μονάδων σύγκειται, ἡ δὲ δυὰς οὐ σύγκειται ἐκ πλήθους μονάδων· ἀπὸ γὰρ τοῦ τρία ἐστὶ τὸ πλῆθος. καὶ πάλιν ὅτι οὐκ ἔστιν ἀριθμός ὁ δύο V (cf. v. 19) ἀριθ. ἄρτ. colloc. T 13. 14 καὶ πάλιν—περιττόν om. T 14 ἀποβαλὼν K²T 15 πάλιν om. V προσλαβὼν KT post προσλαμβάνων add. δὲ V 16 προσλαβὼν KT μὲν om. K ἀποβαλὼν KT 17 μονάδα γὰρ ἀποβ. ὁ δύο colloc. T ἀποβαλὼν TV μονάδας (alt. l.) K¹ 21. 22 καὶ πᾶς γὰρ colloc. V 23 τετάρτου καὶ τοῦ ἕκτου V (constanter) 25 ταῦτα δὲ T 26 δὲ om. K 27 δεκατέσσ. ἀριθμὸν K 28 pr. ὁ om. V 31 ταῦτα μὲν ἐκεῖνοι om. KV δὲ om. KV

Digitized by Google

δύο ἀριθμῷ· καὶ γὰρ ἡ δυὰς οὐκ ἔχει ἐφ' ἑκάτερα μέρη ἀριθμόν· μεταξὺ γὰρ τῆς μονάδος καὶ τοῦ τρία ἐστὶν ἀριθμοῦ, ἡ δὲ μονὰς οὐκ ἔστιν ἀριθμός, ὡς δέδεικται. ἰστέον δὲ ὅτι καὶ ἡ δυὰς ἀρχή ἐστιν ἀριθμοῦ. καὶ ἀποροῦσί τινες λέγοντες· πῶς ἐνδέχεται τὴν δυάδα εἶναι ἀρχὴν ἀριθμοῦ, ὅπου ἅπαξ τὴν μονάδα εἴπατε ἀρχὴν ἀριθμοῦ; ἀλλ' ἵνα τὴν ἀπορίαν ταύτην ἐπιλυσώμεθα, ὀλίγα τινὰ ἔξωθεν εἴπωμεν.

Ἰστέον ὅτι τῶν ἀριθμῶν οἱ μὲν ἄρτιοί εἰσιν οἱ δὲ περιττοί. καὶ περιττοὶ μέν εἰσιν οἱ μὴ δυνάμενοι εἰς ἴσα διαιρεῖσθαι, οἷον ὥσπερ ὁ πέντε· οὗτος γὰρ οὐ διαιρεῖται εἰς ἴσα· εἰς τρία γὰρ καὶ δύο διαιρεῖται· οὐ δυνάμεθα γὰρ διαιρεῖν αὐτὸν εἰς δύο ἥμισυ καὶ εἰς δύο ἥμισυ, ἐπειδὴ οἱ ἀριθμητικοὶ οὐ τέμνουσι τὴν μονάδα. καὶ πάλιν ὁ ἑπτά· οὐδὲ οὗτος γὰρ εἰς ἴσα διαιρεῖται· | εἰς τρία γὰρ καὶ τέσσαρα διαιρεῖται. ἄρτιοι δέ εἰσιν οἱ δυνάμενοι 150v εἰς ἴσα διαιρεῖσθαι, ὥσπερ ὁ τέσσαρα ἀριθμός· οὗτος γὰρ εἰς ἴσα διαιρεῖται· εἰς δύο γὰρ καὶ δύο διαιρεῖται. καὶ πάλιν ὡς ἐπὶ τοῦ ἕξ· καὶ οὗτος γὰρ εἰς ἴσα διαιρεῖται· εἰς τρία γὰρ καὶ τρία διαιρεῖται. δεῖ δὲ καὶ τοῦτο γινώσκειν, ὅτι οἱ μὲν περιττοὶ ἀριθμοὶ μόνως εἰς ἄνισα διαιροῦνται, οἷον ὡς ἐπὶ τοῦ πέντε (οὗτος γὰρ εἰς τρία καὶ δύο διαιρεῖται), οἱ δὲ ἄρτιοι καὶ εἰς ἴσα καὶ εἰς ἄνισα διαιροῦνται· καὶ γὰρ τὸν ἕξ ἀριθμὸν δύναμαι καὶ εἰς ἴσα διαιρεῖν, οἷον εἰς τρία καὶ τρία, δύναμαι καὶ εἰς ἄνισα, οἷον εἰς τέσσαρα καὶ δύο. ὅθεν καὶ κατὰ τοῦτο οὐκ ἔστιν ἡ δυὰς κυρίως ἀριθμός, καθὸ ἄρτιος ἀριθμὸς οὖσα εἰς ἴσα μόνον διαιρεῖται (εἰς μονάδα γὰρ καὶ μονάδα διαιρεῖται), οὐ μὴν καὶ εἰς ἄνισα. τούτων οὕτως ἐχόντων ἡ μὲν μονὰς ἀρχὴ πάντων τῶν ἀριθμῶν ἐστι, τοῦτ' ἔστι καὶ τῶν περιττῶν καὶ τῶν ἀρτίων, ἡ δὲ δυὰς μόνων τῶν ἀρτίων ἀριθμῶν ἐστιν ἀρχή· αὕτη γὰρ ἀποτελεῖ τοὺς ἀρτίους ἀριθμούς· καὶ γὰρ διπλασιαζομένη μὲν τὸν τέσσαρα ἀριθμὸν ἀποτελεῖ, ὅστις ἄρτιός ἐστι, τριπλασιαζομένη δὲ τὸν ἕξ ἀποτελεῖ, καὶ αὐτὸς δὲ ἄρτιός ἐστιν, καὶ ἐπὶ τῶν ἑξῆς ὁμοίως. εἰ δέ τις εἴποι 'τί οὖν; μόνους τοὺς ἀρτίους ἀριθμοὺς ἀποτελεῖ ἡ δυάς; καὶ μὴν καὶ περιττοὺς ἀποτελεῖ· ἰδοὺ γὰρ προσλαμβάνουσα τὴν μονάδα τὸν τρία ἀποτελεῖ, ὅστις περιττός ἐστιν· οὐ διαιρεῖται γὰρ εἰς ἴσα· εἰς μονάδα γὰρ καὶ δυάδα διαιρεῖται· οὐδὲ γὰρ δυνάμεθα διαιρεῖν εἰς ἓν ἥμισυ καὶ ἓν ἥμισυ, ἐπειδή, ὡς εἴρηται, οἱ ἀριθμητικοὶ οὐ τέμνουσι τὴν μονάδα', λέγομεν ὅτι οὐκ ἔστιν αἴτιος τοῦ ἀποτελεσθῆναι τὸν περιττὸν ἀριθμὸν εἰ μὴ ἡ μονὰς προσελθοῦσα, ἐπειδὴ ἡ δυὰς πάντως ἄρτιον ἀριθμὸν ἀποτελεῖ, ὡς εἴρηται ἀνωτέρω· πρὸς ἑαυτὴν γὰρ διπλασιαζομένη καὶ τριπλασιαζομένη καὶ ἁπλῶς εἰπεῖν πολλάκις

---

3 δὲ om. K 5 ἀριθμῶν T ἀπορίαν] πορείαν V¹ 6 ἐπιλύσωμεν T: ἐπιλυσόμεθα V 8 διαιρεῖσθαι] μερισθῆναι T 9 διαιρ. καὶ δύο coll. T 9. 10 οὐ γὰρ δυν. coll. T 10 αὐτὰ K εἰς (alterum) om. TV 12 γὰρ om. T 14 εἰς om. T καὶ (ante οὗτος) om. T 16 οἷον om. T 17 δύο καὶ τρία colloc. V 18 καὶ (post δύναμαι) om. T 19 δύναμαι om. T 20 καὶ (post ὅθεν) om. K ἀρ. κυρ. ἡ δυὰς colloc. K 23 τοῦτ' ἔστι] ἤγουν T 26 αὐτὸς] an οὗτος? 27 καὶ ἐπὶ μὲν KV 28 ἀποτ. ἡ δυὰς ἀρ. colloc. V 31 εἰς (ante ἓν) om. T 31. 32 οὐ τέμν. οἱ ἀρ. coll. T 35 post τριπλ. add. καὶ τετραπλασιαζομένη V

Digitized by Google

πρὸς ἑαυτὴν πολλαπλασιαζομένη πάντως ἀρτίους ἀριθμοὺς ἀποτελεῖ. καὶ ἄλλως δὲ ἡ δυὰς οὐκ ἔστιν ἀριθμός, εἴπερ πᾶς ἀριθμὸς καὶ ἀρχὴν ἔχει καὶ μέσον καὶ τελευταῖον * *. ταῦτα μὲν περὶ τῆς δυάδος.

Ὁ δὲ τρία ἀριθμὸς οὕτως ὠνομάσθη παρὰ τὸ ἀτειρής τις εἶναι καὶ ἀκαταπόνητος. οὕτω δὲ λέγεται διὰ τὸ μὴ δύνασθαι αὐτὸν εἰς ἴσα διαιρεῖσθαι· εἰς μονάδα γὰρ καὶ δυάδα διαιρεῖται· οὐδὲ γὰρ δυνάμεθα διαιρεῖν αὐτὸν εἰς ἓν ἥμισυ καὶ ἓν ἥμισυ, ἐπειδή, ὡς εἴρηται, οἱ ἀριθμητικοὶ οὐ τέμνουσι τὴν μονάδα. εἰ δέ τις εἴποι 'τούτῳ τῷ λόγῳ ἕκαστος περιττὸς ἀριθμὸς οὕτως ὤφειλε λέγεσθαι παρὰ τὸ ἀτειρὴς εἶναι καὶ ἀκαταπόνητος, τοῦτ' ἔστι παρὰ τὸ μὴ δύνασθαι διαιρεῖσθαι εἰς ἴσα, οἷον ὡς ἐπὶ τοῦ πέντε καὶ τοῦ ἑπτά· οὗτοι γὰρ οὐ διαιροῦνται εἰς ἴσα· | ὁ μὲν γὰρ πέντε εἰς τρία καὶ δύο διαιρεῖται, ὁ δὲ ἑπτὰ εἰς τρία καὶ τέσσαρα', λέγομεν ὅτι ὁ τρία ὡς προτερεύων αὐτῶν τούτου χάριν τὴν ὀνομασίαν προϋφήρπασεν. ἰστέον δὲ ὅτι ὁ τρία ἀριθμός ἐστιν· ἐὰν γὰρ τὸν τρία μὴ εἴπωμεν εἶναι ἀριθμόν, ἐπειδὴ ὁ δύο οὐκ ἔστιν ἀριθμός, τούτῳ τῷ λόγῳ οὐδὲ ὁ τέσσαρά ἐστιν ἀριθμός, ἐπειδὴ οὐκ ἔστιν ὁ τρία ἀριθμός, ἀλλ' οὐδὲ ὁ πέντε ἐστὶν ἀριθμός, ἐπειδὴ οὐδὲ ὁ τέσσαρα, καὶ ἐπέκεινα εἰς ἀπέραντον. ἀλλ' οὖν ὁ τρία ἀριθμός ἐστι· καὶ γὰρ πολυπλασιαζόμενος μείζονα ἀριθμὸν ἀποτελεῖ ἤπερ συντιθέμενος· τρία γὰρ ἐπὶ τρία ἐννέα, τρία δὲ καὶ τρία ἕξ· ἰδοὺ πολυπλασιασθεὶς μὲν τὸν ἐννέα ἀριθμὸν ἀπετέλεσε, συντεθεὶς δὲ τὸν ἕξ, ὁ δὲ ἐννέα μείζων ἐστὶ τοῦ ἕξ. τοῦτο δέ, ὡς εἴρηται ἀνωτέρω, ἴδιόν ἐστι τῶν ἀριθμῶν, οἷον τετράκις τέσσαρα δεκαέξ, τέσσαρα δὲ καὶ τέσσαρα ὀκτώ, ὅθεν ἐδείχθη ἡ μονὰς καὶ ἡ δυὰς μὴ οὖσαι ἀριθμοί. ἄλλως τε δὲ ὁ τρία ἀριθμός ἐστιν, καθὸ ἐκ πλήθους μονάδων σύγκειται, ὅπερ ἴδιόν ἐστιν ἀριθμοῦ· πᾶς γὰρ ἀριθμὸς ἐκ πλήθους μονάδων σύγκειται, οἷον ὁ τέσσαρα καὶ ὁ πέντε καὶ ὁ ἕξ καὶ οἱ ἑξῆς. κατὰ τοῦτο δὲ δοκεῖ ὁ τρία μὴ εἶναι ἀριθμός, καθὸ οὐκ ἔχει ἐφ' ἑκάτερα αὐτοῦ τὰ μέρη ἀριθμούς· ὁ γὰρ τρία μεταξὺ τοῦ τέσσαρα καὶ τοῦ δύο ἐστίν, ὁ δὲ δύο, ὡς δέδεικται, οὐκ ἔστιν ἀριθμός. πλὴν ἀριθμός ἐστιν ὁ τρία διὰ τὰς προλεχθείσας αἰτίας.

Πρᾶξις ιζ'.

Εἰπόντες οὖν περὶ τῆς μονάδος καὶ τῆς δυάδος καὶ τῆς τριάδος ἔλθωμεν καὶ περὶ τῶν ἑξῆς ἀριθμῶν διαλάβωμεν. ἰστέον ὅτι τετρὰς λέγεται οἱονεὶ ἑδράς τις οὖσα, τοῦτ' ἔστιν ἑδραία καὶ μόνιμος· ἰστέον γὰρ ὅτι τὸ τετρά-

---

1 ἀρτίους om. K: supra scr. V 2 ἤπερ V 3 μέσην V lac. signavi 4 παρὰ τὸ] ἀπὸ τοῦ T 4. 9 ἀτηρής T 5 λέγει T 7. 8 ἐπειδὴ—μονάδα] ἡ γὰρ μονὰς οὐ τέμνεται T 9 ὀφείλει V 10 τοῦ (ante ἑπτά) om. KT 11 post ἑπτὰ add. καὶ ἐννέα T ὁ μὲν γὰρ—ἄλλου ἀριθμοῦ (p. 54,18) om. K 14 post alt. τρία add. ἀριθμὸν T 17 ἐπέκεινα scripsi: ἀπ' ἐκείνης T: ἐπ' ἐκείνους (corr. ex ἐκείνης) V 19 πολλαπλασ. T 20 ἀπετέλεσε] ἐποίησεν T 21 ὡς] ὁς V ἀνωτέρω] cf. p. 49,29 22 δὲ om. T 24. 25 ὅπερ—σύγκειται om. T 28 δέδεικται] p. 50,7 33 ante ἑδραία add. ἡ T τὸ om. Brand.

Digitized by Google

γωνον σχῆμα ἡ τετρὰς ἀποτελεῖ, τὸ δὲ τετράγωνον σχῆμα διὰ τὸ κατὰ πολλὰ μέρη τῆς γῆς ἅπτεσθαι δυσμόχλευτόν ἐστι· καὶ γὰρ ὁ τετράγωνος λίθος ὡς κατὰ πολλὰ μέρη τῆς γῆς ἁπτόμενος δυσχερῶς κινεῖται, ὁ δὲ κίων ἐὰν κλιθῇ εἰς τὸ πλάγιον, ἐπειδὴ οὐχ ἅπτεται τῆς γῆς κατὰ πολλὰ μέρη, εὐχερῶς κινεῖται. διὰ τὸ ἑδραῖον οὖν καὶ μόνιμον ἐκλήθη τετράς. πεντὰς δὲ λέγεται οἱονεὶ ἓν καὶ πᾶς· καὶ γὰρ ὁ πέντε ἀριθμὸς ἀπὸ τῆς μονάδος σύγκειται καὶ τῆς τετράδος, ἡ δὲ τετρὰς πᾶς λέγεται, ἢ ἐπειδὴ τέσσαρά εἰσι τὰ στοιχεῖα, ἐξ ὧν πάντα τὰ σώματα σύγκειται, ἢ ἐπειδὴ ὁ τέσσαρα ἀριθμὸς μετὰ τῶν πρὸ αὐτοῦ συντιθέμενος τὴν δεκάδα ἀποτελεῖ· προσλαμβάνων μὲν γὰρ τὸν τρία ἀριθμὸν ἀποτελεῖ τὸν ἑπτά, προσλαμβάνων δὲ τὸν δύο ἀποτελεῖ τὸν ἐννέα, προσλαμβάνων δὲ καὶ τὴν μονάδα ἀποτελεῖ τὴν δεκάδα. ἑξὰς δὲ λέγεται οἱονεὶ ἐξισὰς παρὰ τὸ ἐξισοῦσθαι τοῖς οἰκείοις μέρεσι· καὶ γάρ, ὡς ἐμάθομεν ἀνωτέρω λέγοντες διὰ τί ἕξ εἰσιν οἱ τῆς φιλοσοφίας ὁρισμοί, ὁ ἓξ τέλειός ἐστιν, ἐπειδὴ τὰ μέρη αὐτοῦ συντιθέμενα ἐξισοῦνται τῷ ὅλῳ· πῶς δὲ ἐξισοῦνται τῷ ὅλῳ; ὡς ἐκεῖ εἴρηται. ἑπτὰς δὲ λέγεται οἱονεὶ σεπτὰς παρὰ τὸ σεβάσμιον καὶ τίμιον· καὶ γὰρ ὁ ἑπτά ἀριθμὸς τίμιός ἐστιν, ὅθεν καὶ ἑπτά εἰσιν αἱ ἡμέραι τῆς ἑβδομάδος καὶ ἑπτὰ οἱ ἀστέρες οἱ πλανώμενοι καὶ ἑπτὰ ⟨τὰ⟩ φωνήεντα. ὁ δὲ ἑπτά ἀριθμὸς λέγεται καὶ καιρὸς καὶ Ἀθηνᾶ, καὶ καιρὸς μέν, ἐπειδὴ κατὰ τοῦτον τὸν καιρὸν γίνονται αἱ ἡλικίαι (καὶ γὰρ τῷ ἑβδόμῳ μηνὶ ὀδοντοφυοῦσιν οἱ παῖδες καὶ τῷ ἑβδόμῳ ἐνιαυτῷ ἀμείβουσι τοὺς ὀδόντας), Ἀθηνᾶ δὲ λέγεται, ἐπειδὴ ὥσπερ μυθεύουσιν τὴν Ἀθηνᾶν παρθένον εἶναι καὶ ἀμήτορα (ἐκ τῆς κεφαλῆς γὰρ τοῦ Διός, ὡς μυθεύουσιν, ἐξῆλθε), τὸν αὐτὸν τρόπον καὶ ὁ ἑπτά ἀριθμὸς μόνος ἐκ τῶν ὄντων ἐντὸς τῆς δεκάδος οὔτε τίκτεται κατὰ πολλαπλασιασμὸν ἐξ ἄλλου ἀριθμοῦ οὔτε τίκτει κατὰ πολλαπλασιασμὸν ἄλλον ἀριθμὸν ἐντὸς τῆς δεκάδος· δεῖ γάρ γινώσκειν ὅτι τῶν ἀριθμῶν τῶν ὄντων ἐντὸς τῆς δεκάδος οἱ μὲν τίκτουσι πολλαπλασιαζόμενοι, οἱ δὲ τίκτονται, οἱ δὲ καὶ τίκτουσι καὶ τίκτονται, οἷον ὁ τέσσαρα τίκτεται ἐκ τοῦ δύο (δὶς γὰρ δύο τέσσαρα), ἀλλὰ καὶ τίκτει τὸν ὀκτώ· δὶς γὰρ τέσσαρα ὀκτώ. καὶ πάλιν ὁ ἐννέα τίκτεται (τρὶς γὰρ τρία ἐννέα), αὐτὸς δὲ ὁ ἐννέα πολλαπλασιαζόμενος οὐ τίκτει ἀριθμὸν ἐντὸς τῆς δεκάδος· δὶς γὰρ ἐννέα ὀκτωκαίδεκα, ὁ δὲ ὀκτωκαίδεκα οὐκ ἔστιν ἐντὸς τῆς δεκάδος. καὶ πάλιν ὁ πέντε τίκτει τὸν δέκα· δὶς γὰρ πέντε δέκα. τούτων οὖν οὕτως ἐχόντων ὁ ἑπτὰ οὐ τίκτει κατὰ πολλαπλασιασμὸν ἄλλον ἀριθμὸν πρὸ τῆς δεκάδος (δὶς γὰρ

---

3 κατὰ] τὰ T 4 τὸ Vat. 2253: om. TV ἐφάπτεται V² 6 οἱονεὶ] οἷον T ἀπό τε T 8 σύγκεινται V 9 ἀποτελεῖ] ἀποπληροῖ T¹ 13 ἐμάθομεν] p. 22,34 14 ὅροι T 17 ἑπτὰ ἡμ. εἰσὶ (αἱ om.) V 18 οἱ ἀστ. οἱ πλ.] οἱ πλανῆται ἀστ. T: οἱ πλάνητες ἀστ. Brand. τὰ inserui 19 καὶ (ante καιρὸς) om. TV¹ 20 γίνονται om. T ὀδόντας φύουσιν V 26 ἐντὸς τῆς δεκ. post τίκτει (25) transp. T 28 τίκτ. καὶ τίκτ.] τήκονται καὶ τήκουσι V¹: τίκτονται καὶ τίκτουσι V² δὶς] δύο T 30 τρὶς] τρεῖς T γὰρ om. V ὁ αὐτὸς δὲ ὁ V δὲ] γὰρ T 30. 31 οὐ τίκτει πολλ. coll. T 31. 32 δὶς—δεκάδος om. T 34 ἄλλον ἀρ. κατὰ πολλ. colloc. V

Digitized by Google

ἑπτὰ δεκατέσσαρα, ὁ δὲ δεκατέσσαρα ἀριθμὸς οὐκ ἔστιν ἐντὸς τῆς δεκάδος), οὔτε δὲ τίκτεται ἐξ ἄλλου ἀριθμοῦ κατὰ πολλαπλασιασμόν. εἰ δέ τις εἴποι ὅτι ὁ ἑπτὰ καὶ τίκτει καὶ τίκτεται (προσλαμβάνων γὰρ μονάδα ἀποτελεῖ τὸν ὀκτώ, ἀποτελεῖται δὲ ἐκ τοῦ ἓξ προσελθούσης τῆς μονάδος), λέγομεν ὅτι αὕτη σύνθεσίς ἐστιν, οὐ μὴν πολλαπλασιασμός. ὀγδοὰς δὲ λέγεται οἱονεὶ ἀγοδυὰς παρὰ τὸ δύο ἄγειν· καὶ γὰρ διχοτομουμένη ἔρχεται ἄχρι τῆς μονάδος· διαιρεῖται γὰρ εἰς τέσσαρα καὶ τέσσαρα, καὶ πάλιν εἰς δύο καὶ δύο, καὶ αὖθις εἰς μονάδα καὶ μονάδα. εἰ δέ τις εἴποι ὅτι τούτῳ τῷ λόγῳ καὶ ἡ τετρὰς ὤφειλεν ὀγδοὰς λέγεσθαι, διότι καὶ αὕτη διχοτομουμένη ἔρχεται ἄχρι τῆς μονάδος (καὶ γὰρ διαιρεῖται εἰς δύο καὶ δύο, καὶ πάλιν εἰς μονάδα καὶ μονάδα), λέγομεν ὅτι αἱ ἐτυμολογίαι οὐκ ἀντιστρέφουσιν· ἰδοὺ γὰρ λέγεται σῖτος παρὰ τὸ σείεσθαι, καὶ οὐ μόνον ὁ σῖτος σείεται ἀλλὰ καὶ ἡ κριθὴ καὶ οἱ ἄλλοι καρποί, καὶ οὐ παρὰ τοῦτο λέγει τις ὅτι ὤφειλον καὶ οἱ ἄλλοι καρποὶ σῖτος λέγεσθαι. διὰ τοῦτο οὖν λέγεται ὀγδοάς, διότι διὰ μέσου ἄλλου ἀριθμοῦ ἄγει τὸν δύο· διὰ μέσου γὰρ τοῦ τέσσαρα ἄγει τὸν δύο ὁ ὀκτώ· καὶ γὰρ ὁ ὀκτὼ ἀπὸ τοῦ τέσσαρα συνίσταται (δὶς γὰρ τέσσαρα ὀκτώ), ὁ δὲ τέσσαρα ἔχει ἐν ἑαυτῷ τὸν δύο. παρὰ οὖν τὸ διὰ μέσου ἄλλου ἀριθμοῦ | ἄγειν τὸν δύο λέγεται ὀγδοὰς οἱονεὶ ἀγοδυάς τις οὖσα. ἐννεὰς 151r δὲ λέγεται παρὰ τὸ ἓν καὶ νέον. καὶ γὰρ αὕτη πολλαπλασιαζομένη ἕνα νέον ἀριθμὸν φέρει καθ' ὕφεσιν μιᾶς μονάδος ἀπὸ τοῦ ἐννέα ἄχρι τῆς μονάδος, οἱονεὶ δὶς ἐννέα δεκαοκτώ, τρὶς ἐννέα εἰκοσιεπτά, τετράκις ἐννέα τριακονταέξ, καὶ ἑξῆς ὁμοίως. ὅρα οὖν πῶς ὁ ἐννέα πολλαπλασιαζόμενος κατὰ πρόβασιν ἀφαίρεσιν πάσχει μιᾶς μονάδος. δεκὰς δὲ λέγεται οἱονεὶ δεχάς τις οὖσα· καὶ γὰρ ὁ δέκα δέχεται ἤγουν περιέχει ἐν ἑαυτῷ ἅπαντας τοὺς πρὸ αὐτοῦ ἀριθμούς· περιέχει γὰρ καὶ τὴν μονάδα καὶ τὴν δυάδα καὶ τοὺς ἑξῆς. ἐν οἷς σὺν θεῷ καὶ ἡ παροῦσα πρᾶξις.

Πρᾶξις ιη'.

Ἐπειδὴ διὰ τῶν ὁρισμῶν ὡς ἕν τι οὖσαν τὴν φιλοσοφίαν μεμαθήκαμεν, ἔλθωμεν καὶ ὡς πολυσχιδῆ αὐτὴν οὖσαν διαιρέσει καθυποβάλωμεν· διὰ γὰρ τῆς διαιρέσεως ἀκριβῶς τὰ μέρη αὐτῆς μανθόνομεν, διὰ δὲ τῶν μερῶν ἀκριβῶς τὸ ὅλον γινώσκομεν. ἄλλως τε δὲ καὶ διὰ διαιρέσεως μαν-

---

1 ὁ δὲ δ. ἀριθμὸς om. V 2 pr. δὲ om. T 3 τίκτεται καὶ τίκτει colloc. T 4 προσελθούσης] προστιθεμένης T 5 αὕτη om. V 5. 6 ὀγδοὰς—ἄγειν in mrg. suppl. V² 6 ἄχρι] ἕως V (cf. v. 10) 8 τούτῳ τῷ] τοιούτω T 9 ὀκτὰς V αὕτη] αὐτὴ V 13 post καρποί add. τὰ δένδρα καὶ ὁ ἄνθρωπος V καὶ οὐ om. T παρὰ] διὰ T λέγει] εἴποι T 13. 14 ὤφελον—καρποὶ] ὤφελε καὶ ὁ ἄνθρωπος καὶ ἡ κριθὴ V 14 ante διὰ add. ἢ οὖν V² ὀκτὰς V ante διότι add. ἢ V² 15 ἄλλου om. V¹ (cf. v. 18) 17 οὖν] γοῦν T 18 ab ἄγειν τὸν δύο denuo inc. K ἐννὰς KV: ἐνὰς T 19 post γὰρ superscr. καὶ V αὕτη] αὐτὴ V 21 οἷον T 23 πρόσβασιν KV 25 τὴν δυάδα καὶ τὴν μον. coll. T 26 ἐν οἷς σὺν θεῷ τέλος V: om. T 29 πολυσχεδῆ libri (cf. p. 60,12) καθυποβάλλωμεν T² 31 καὶ om. TV διὰ suppl. V²

Digitized by Google

θάνομεν τὰ μέρη αὐτῆς, καὶ λοιπὸν γινώσκοντες τὰ μέρη αὐτῆς εὑρίσκομεν ποῖα συγγράμματα τῆς φιλοσοφίας ὑπὸ ποῖα μέρη ἀνάγονται, ἵνα μὴ ἀγνοοῦντες τὰ μέρη αὐτῆς νομίσωμεν τὰ μὲν ὑπὸ τὸ πρακτικὸν ἀναγόμενα ὑπὸ τὸ θεωρητικὸν ἀνάγεσθαι τὰ δὲ ὑπὸ τὸ θεωρητικὸν ἀναγόμενα ὑπὸ τὸ πρακτικὸν ἀνάγεσθαι. ἔλθωμεν οὖν καὶ διαιρέσει καθυποβάλωμεν τὴν φιλοσοφίαν. ἀλλ' ἐπειδὴ διαιρέσεως ἐμνημονεύσαμεν, ἵνα μὴ περὶ ἀγνοουμένου πράγματος ποιησώμεθα τὴν ζήτησιν, ἔλθωμεν καὶ εἴπωμεν τί ἐστι διαίρεσις καὶ τί ἐπιδιαίρεσις καὶ τί ὑποδιαίρεσις. ἰστέον ὅτι διαίρεσις μέν ἐστιν ἡ πρώτη τομὴ τοῦ ὑποκειμένου πράγματος, οἷον ὡς ὅταν εἴπωμεν ὅτι τῶν ζῴων τὰ μέν εἰσι λογικὰ τὰ δὲ ἄλογα. ἐπιδιαίρεσις δέ ἐστιν ἡ τοῦ αὐτοῦ πράγματος δευτέρα τομὴ καθ' ἕτερον τρόπον γινομένη, οἷον ὡς ὅταν πάλιν τὸ ζῷον ἄλλως διέλωμεν λέγοντες ὅτι τῶν ζῴων τὰ μὲν θνητά εἰσι τὰ δὲ ἀθάνατα. ὑποδιαίρεσις δέ ἐστιν ἡ τοῦ διαιρεθέντος σκέλους τομή, οἷον ὡς ὅταν διαιροῦντες τὸ ζῷον εἰς λογικὸν καὶ ἄλογον τὸ λογικὸν ὑποδιέλωμεν εἴς τε θνητὸν καὶ ἀθάνατον καὶ πάλιν τὸ θνητὸν ὑποδιέλωμεν εἰς ἄνθρωπον ἵππον κύνα καὶ τὰ τοιαῦτα.

Οὕτως οὖν καὶ ἡ φιλοσοφία διαιρεῖται εἰς θεωρητικὸν καὶ πρακτικόν. καὶ διὰ μὲν τοῦ θεωρητικοῦ γινώσκει πάντα τὰ ὄντα, διὰ δὲ τοῦ πρακτικοῦ κατόρθωσιν ποιεῖται τῶν ἠθῶν. ἄξιον δὲ ζητῆσαι διὰ τί ἡ φιλοσοφία εἰς δύο διῃρέθη, φημὶ δὴ εἰς θεωρητικὸν καὶ πρακτικόν, καὶ μὴ εἰς ἓν ἢ εἰς πλείονα. καὶ ἔστιν εἰπεῖν ὅτι εἰς ἓν μὲν οὐκ ἠδύνατο διαιρεῖσθαι, ἐπειδὴ οὐδέποτε διαίρεσις περὶ ἓν καταγίνεται ἀλλὰ περὶ διάφορα· διαίρεσις γὰρ λέγεται | παρὰ τὸ διαιρεῖν καὶ διαχωρίζειν τόδε ἐκ τοῦδε, οἷον ὡς ὅταν 151v εἴπω 'τῶν ζῴων τὰ μὲν λογικά εἰσι τὰ δὲ ἄλογα'. εἰς δύο δὲ διῃρέθη καὶ οὐκ εἰς πλείονα διὰ τρεῖς αἰτίας. καὶ πρώτη μέν ἐστιν αὕτη· διὰ τοῦτο ἡ φιλοσοφία εἰς θεωρητικὸν καὶ πρακτικὸν διῃρέθη, ἐπειδὴ συνουσίωται ἡμῖν καὶ τὸ θεωρητικὸν καὶ τὸ πρακτικόν, καὶ τὸ θεωρητικὸν μέν, ὡς δηλοῦσι καὶ οἱ παῖδες καὶ ἁπλῶς εἰπεῖν πάντες φιλοπευστεῖς ὄντες, τοῦτ' ἔστι φιλομαθεῖς (ἕκαστος γὰρ φιλεῖ τὸ μανθάνειν τι), τὸ δὲ πρακτικόν, ὡς δηλοῖ ἡ ψυχὴ μηδέποτε ἠρεμοῦσα· καὶ γὰρ ἐν τῷ καθεύδειν οὐκ ἠρεμεῖ φανταζομένη τὰ ἐνύπνια. ἀλλὰ καὶ ἡνίκα ἠρεμοῦμεν μὴ ἔχοντές τι πρᾶξαι, ἢ τρίχα τίλλομεν ἢ κάρφος κινοῦμεν ἤ τι τοιοῦτον. ἐπειδὴ οὖν συνουσίωται ἡμῖν τὸ θεωρητικὸν καὶ πρακτικόν, τούτου χάριν καὶ ἡ φιλοσοφία εἰς δύο διαιρεῖται, τοῦτ' ἔστιν εἰς θεωρητικὸν καὶ πρακτικόν. δευτέρα δὲ αἰτία ἐστὶν αὕτη· ἡ φιλοσοφία, ὡς ἐμάθομεν, ὁμοίωσίς ἐστι θεῷ. ἐπειδὴ οὖν ἡ φιλοσοφία ὁμοίωσίς ἐστι θεῷ, διττὰς δὲ δυνάμεις ἔχει

---

1 καὶ λοιπὸν—τὰ μέρη αὐτῆς om. V 4 ἀνάγεσθαι om. T 5 post οὖν add. ὡς εἴρηται TV καθυποβάλλωμεν TV² 8 καὶ τί ἐπιδ. καὶ τί ὑποδ. om. T μέν om. TV 13 εἰσι ante θνητὰ colloc. T 15 τε om. KV 19 δέ ἐστι TV 20 δὴ] δὲ V εἰς (post ἢ) om. T 23 λέγεται] ἐστιν T 24 δὲ] γὰρ TV¹ διαιρεῖται T 30 post γὰρ add. καὶ T 33 ἡμῖν om. K καὶ τὸ θεωρ. καὶ τὸ πρ. T 35 ἐμάθομεν] p. 20,29 35. 36 ἐστι θεῷ coll. Vat. 2253: θεῷ ἐστι KTV ἐπειδὴ οὖν ἡ φιλοσοφία ὁμοίωσίς ἐστι θεῷ Vat. 2253: om. KTV

Digitized by Google

τὸ θεῖον, τὰς μὲν θεωρητικὰς τὰς δὲ πρακτικάς (καὶ θεωρητικὰς μὲν καθὸ γινώσκει πάντα, πρακτικὰς δὲ καθὸ πάντα δημιουργεῖ), τούτου χάριν καὶ ἡ φιλοσοφία εἰς δύο διαιρεῖται, τοῦτ' ἔστιν εἰς θεωρητικὸν καὶ πρακτικόν. καὶ διὰ μὲν τοῦ θεωρητικοῦ μιμεῖται τὰς θεωρητικὰς καὶ γνωστικὰς δυνάμεις τοῦ θεοῦ (διὰ γὰρ τούτων πάντα γινώσκει τὰ ὄντα), διὰ δὲ τοῦ πρακτικοῦ μιμεῖται τὰς πρακτικὰς δυνάμεις· διὰ γὰρ τούτων τῶν ἀτελεστέρων ψυχῶν προνοεῖται διὰ τὸ ἀπὸ τῆς ἀγνοίας ἐπὶ τὴν γνῶσιν αὐτὰς μεταφέρειν. τρίτη δὲ αἰτία ἐστὶν αὕτη· ἡ φιλοσοφία σκοκὸν ἔχει τὴν ψυχὴν κοσμῆσαι. ἐπειδὴ δὲ ἡ φιλοσοφία σκοπὸν ἔχει τὴν ψυχὴν κοσμῆσαι, διττὰς δὲ δυνάμεις ἔχει ἡ ψυχή, τὰς μὲν γνωστικὰς τὰς δὲ ζωτικάς, καὶ γνωστικὰς μὲν αἴσθησιν φαντασίαν δόξαν διάνοιαν καὶ νοῦν, περὶ ὧν ἀνωτέρω ἐμάθομεν, ζωτικὰς δὲ βούλησιν προαίρεσιν θυμὸν καὶ ἐπιθυμίαν, τούτου χάριν καὶ ἡ φιλοσοφία εἰς δύο διαιρεῖται, τοῦτ' ἔστιν εἰς θεωρητικὸν καὶ πρακτικόν, ἵνα διὰ μὲν τοῦ θεωρητικοῦ τὰς γνωστικὰς δυνάμεις τῆς ψυχῆς κοσμήσῃ, διὰ δὲ τοῦ πρακτικοῦ τὰς ζωτικάς· καὶ γὰρ τὸ πρακτικὸν διδάσκει ἡμᾶς τὸ κρατεῖν τοῦ θυμοῦ καὶ μὴ ἐρᾶν τῶν μὴ προσηκόντων.

Ταῦτα μὲν περὶ τοῦ εἰς δύο διαιρεῖσθαι τὴν φιλοσοφίαν, τοῦτ' ἔστιν εἰς θεωρητικὸν καὶ πρακτικόν. ἰστέον δὲ ὅτι ἑκάτερον τούτων νικᾷ τὸ ἕτερον καὶ νικᾶται ὑπὸ τοῦ ἑτέρου· καὶ γὰρ τὸ θεωρητικὸν νικᾷ τὸ πρακτικὸν κατὰ τὸ ὑποκείμενον, ὅτι τῷ μὲν θεωρητικῷ πάντα τὰ ὄντα ὑπόκειται πρὸς γνῶσιν τῷ δὲ πρακτικῷ μόναι αἱ ἀνθρώπιναι ψυχαί· μόνας γὰρ τὰς ἀνθρωπίνας ψυχὰς κοσμεῖ τὸ πρακτικόν, οὐ μὴν καὶ τὰς τῶν ἀλόγων, τὸ δὲ θεωρητικὸν καὶ τὰς τῶν ἀλόγων φύσεις ἐπίσταται. | τὸ δὲ 152r πρακτικὸν νικᾷ τὸ θεωρητικὸν κατὰ τὸ τέλος· τέλος μὲν γὰρ τοῦ θεωρητικοῦ ἡ ἀλήθεια, τοῦ δὲ πρακτικοῦ τέλος ἐστὶ τὸ ἀγαθόν· διὰ γὰρ τοῦ πρακτικοῦ κοσμεῖ τις τὸ οἰκεῖον ἦθος καὶ ἐκκόπτει τὰ πάθη (τοῦτο δὲ ἀγαθόν ἐστι), διὰ δὲ τοῦ θεωρητικοῦ θεωρεῖ τις τὴν ἐν τοῖς οὖσιν ἀλήθειαν. τὸ δὲ ἀγαθὸν τιμιώτερόν ἐστι τοῦ ἀληθοῦς ὡς περιεκτικώτερον· καὶ γὰρ εἴ τι μὲν ἀληθές, τοῦτο καὶ ἀγαθόν, οὐκ εἴ τι δὲ ἀγαθόν, τοῦτο καὶ ἀληθές· ἔστι γὰρ ὅτε καὶ ψεῦδος ἀγαθόν, ὡς ἐπὶ τούτου τοῦ παραδείγματος· οἷον

---

3 εἰς τὸ θεωρ. T 5 πάντα del. et post ὄντα add. V 8. 9 ἐπειδὴ—κοσμῆσαι om. TV 9. 10 ἡ δὲ ψυχὴ διττὰς ἔχει τὰς δυνάμεις T 10 post prius μὲν add. γὰρ V post prius γνωστ. add. ἔχει V 11 ἀνωτέρω] p. 46,28 13 τὸ θεωρ. K 14 κοσμήσῃ Vat. 2253: κοσμήσωμεν KTV (cf. v. 5) 15 καὶ γὰρ καὶ T alt. τὸ] τοῦ T 21 ἀνθρώπειαι KT 23 τῶν ἀλ. τὰς φ. coll. T 23. 24 τὸ δὲ πρ.—θεωρητικόν] πάλιν δὲ νικᾶται τὸ θεωρ. ὑπὸ τοῦ πρακτικοῦ T 27. 28 διὰ δὲ τοῦ θεωρητικοῦ τὴν ἀλήθειαν· τὸ θεωρητικὸν δὲ διδάσκει ἡμᾶς τὴν ἐν τοῖς οὖσιν ἀλ. V 28 περιεκτ.] καθολικώτερον καὶ ἐμπεριεκτικώτερον αὐτοῦ ὄν V post περιεκτ. add. τὸ δὲ ἀγαθὸν καθολικώτερόν ἐστι τοῦ ἀληθοῦς οὕτως ὥσπερ εἴ τι μὲν ἄνθρωπος, τοῦτο ζῶον· πᾶς γὰρ ἄνθρωπος τοῦτο ζῶον· οὐκ εἴ τι δὲ ζῶον, τοῦτο καὶ ἄνθρωπος· οὐ μόνον γὰρ ὁ ἄνθρωπός ἐστι ζῶον, ἀλλὰ καὶ ἵππος καὶ κύων καὶ τὰ τοιαῦτα V καὶ γὰρ] οὕτως V 29 pr. τοῦτο] πάντως V post ἀγαθόν (prius) add. τὸ γὰρ ἀληθὲς ἀγαθόν ἐστιν V δὲ om. K 30 ἔστι γὰρ] ἀλλ' ἔστιν V καὶ supra scr. K τὸ ψεῦδος V post ψεῦδος add. πολλάκις γὰρ καὶ ψεῦδος V post ἀγαθὸν add. εὑρίσκεται V ante ὡς add. οἷον V τοῦ παραδ. οἷον om. V

Digitized by Google

παρέθετό τίς τινι ξίφος σωφρονῶν καὶ ἐν καιρῷ μανίας ἦλθε θέλων λαβεῖν αὐτό, ἵνα ἄτοπά τινα διαπράξηται, ὁ δὲ γνοὺς ἠρνήσατο λέγων 'οὐδὲν δέδωκάς μοι' καὶ ἐψεύσατο, ἵνα μὴ ἐκεῖνος ἄτοπα πράξῃ λαβὼν τὸ ξίφος· καὶ ἰδοὺ ψεῦδος ἀγαθόν. καὶ πάλιν· λῃσταὶ κατεδίωκόν τινα, ἵνα αὐτὸν φονεύσωσιν, οἵτινες ὑπαντηθέντες τινὶ ἠρώτων περὶ τοῦ διωκομένου, ὁ δὲ καίπερ εἰδὼς ἠρνήσατο μὴ ἰδεῖν, καὶ ἐσώθη ὁ φεύγων· καὶ ἰδοὺ ψεῦδος ἀγαθόν.

Πρᾶξις ιθ'.

Ἐπειδὴ τὴν φιλοσοφίαν εἰς θεωρητικὸν καὶ πρακτικὸν διείλομεν, ἕκαστον δὲ τούτων τῶν διαιρεθέντων σκελῶν ὑποδιαιρεῖται, ἔλθωμεν καὶ ὑποδιέλωμεν αὐτά. ἀλλὰ πρῶτον τὸ θεωρητικὸν ὑποδιέλωμεν· καὶ γὰρ τοῦτο δοκεῖ τιμιώτερον εἶναι τοῦ πρακτικοῦ, ἐπειδὴ τῷ μὲν θεωρητικῷ πάντα τὰ ὄντα ὑπόκειται πρὸς γνῶσιν, τῷ δὲ πρακτικῷ μόναι αἱ ἀνθρώπιναι ψυχαί· μόνας γὰρ τὰς ἀνθρωπίνας ψυχὰς κοσμεῖ, οὐ μὴν καὶ τὰς τῶν ἀλόγων. ἰστέον δὲ ὅτι ἄλλως ὁ Πλάτων τὸ θεωρητικὸν διαιρεῖ καὶ ἄλλως ὁ Ἀριστοτέλης· καὶ γὰρ ὁ Πλάτων ὑποδιαιρεῖ τὸ θεωρητικὸν εἰς φυσιολογικὸν καὶ θεολογικόν, τὸ δὲ μαθηματικὸν οὐκ ἠβούλετο μέρος εἶναι τῆς φιλοσοφίας ἀλλὰ προγύμνασμά τι, ὥσπερ ἡ γραμματικὴ καὶ ἡ ῥητορική, ὅθεν καὶ πρὸ τοῦ ἀκροατηρίου τοῦ οἰκείου ἐπέγραφεν "ἀγεωμέτρητος μηδεὶς εἰσίτω." τοῦτο δὲ ἐπέγραφεν, ἐπειδὴ εἰς τὰ πολλὰ ὁ Πλάτων θεολογεῖ καὶ περὶ θεολογίαν καταγίνεται, συμβάλλεται δὲ εἰς εἴδησιν τῆς θεολογίας τὸ μαθηματικόν, οὔτινος μέρος ἐστὶν ἡ γεωμετρία. ὁ δὲ Ἀριστοτέλης ὑποδιαιρεῖ τὸ θεωρητικὸν εἰς φυσιολογικόν, μαθηματικόν, θεολογικόν· καὶ γὰρ τὸ μαθηματικὸν μέρος τῆς φιλοσοφίας ἐδόξασε· καὶ αὐτὸ γὰρ ἐπιστήμη ἐστί. ταῦτα μὲν ἐν τούτοις.

Ἄξιον δὲ ζητῆσαι διὰ τί εἰς τρία ὑποδιαιρεῖται τὸ θεωρητικόν, τοῦτ' ἔστιν εἰς φυσιολογικόν, μαθηματικόν, θεολογικόν. καὶ ἔστιν εἰπεῖν ταύτην

---

1 σωφρονῶν om. V 2 γνοὺς om. V λέγων ὅτι V 3 ἵνα—ξίφος] ἵνα μὴ διὰ τοῦ ξίφους ἄτοπά τινα διαπράξηται V 4 καὶ (ante πάλιν) om. V 4. 5 φον. αὐτόν colloc. V 5 οἵτινες] καὶ ἐν τῷ καταδιώκειν αὐτὸν V ὑπαντ.—διωκ.] ὑπαντήθησάν τινι καὶ ἠρώτησαν εἰ εἶδεν ἐκεῖνον V 6 καίπερ εἰδὼς om. V μὴ ἰδεῖν] λέγων ὅτι οὐκ εἶδον αὐτὸν V 10 τῶν διαιρ. σκελῶν] διαιρεθέντων K: εἰς διαιρεθέντα σκέλη T 11 ἀλλὰ πρ.] καὶ πρῶτον μὲν T ὑποδιέλωμεν om. T 12. 13 ἐπειδὴ—γνῶσιν] διὰ τὸ ὑποκεῖσθαι αὐτῷ εἰς γνῶσιν πάντα τὰ ὄντα T 13 τῷ δὲ πρακτικῷ—ἀλόγων (15) om. T 15 δὲ om. T 16 ὁ Πλάτων] cf. Zelleri Phil. Gr. II³ p. 488 17 θεολογικόν] μαθηματικόν (in mrg. γρ. θεολογικόν) K 19 τοῦ οἰκείου ἀκροατηρίου T 19. 20 ἐπέγραψεν Wellm. (bis) 19 ἀγεωμέτρητος] cf. p. 5,12 20 ὁ Πλάτων om. T 21 ἐθεολόγει T καὶ περὶ—καταγίνεται om. T 22 θεολογ.] φιλοσοφίας T 22. 23 ὁ δὲ Ἀρ.] cf. Zelleri Phil. Gr. III³ p. 179 23 καὶ θεολ. Brand. 24 καὶ γὰρ—θεολ. (27) in mrg. suppl. V² ἐδόξαζε V 25 ταῦτα μὲν ἐν τούτοις om. V · 26 post δὲ add. ἐστὶ T 26. 27 τοῦτ' ἔστιν om. K 27 μαθ. καὶ θεολ. T

Digitized by Google

τὴν ἀπολογίαν· τῷ θεωρητικῷ πάντα τὰ ὄντα ὑπόκεινται πρὸς γνῶσιν, τὰ δὲ ὄντα τριττά ἐστιν· ἢ γὰρ καὶ τῇ ὑποστάσει καὶ τῇ ἐπινοίᾳ ἔνυλά εἰσιν ὥσπερ ξύλον, λίθος, ὀστοῦν (ταῦτα γὰρ καὶ τῇ ὑποστάσει ἔνυλά εἰσι καὶ τῇ ἐπινοίᾳ· | οὐδὲ γὰρ δύναταί τις ξύλον ἢ λίθον ἢ ὀστοῦν ἐπινοῆσαι ἄυλον), 152v
5 ἢ καὶ τῇ ὑποστάσει καὶ τῇ ἐπινοίᾳ ἄυλά εἰσιν ὥσπερ ἄγγελος, θεός, ψυχὴ ἡ ἄνευ σώματος οὖσα (ταῦτα γὰρ καὶ τῇ ὑποστάσει ἄυλά εἰσι καὶ τῇ ἐπινοίᾳ· οὐδὲ γὰρ δύναταί τις ἐπινοῆσαι θεὸν ἢ ἄγγελον ἢ ψυχὴν ἄνευ σώματος οὖσαν ἔνυλον), ἢ τῇ μὲν ὑποστάσει ἔνυλά εἰσι τῇ δὲ ἐπινοίᾳ ἄυλα ὥσπερ τὰ σχήματα· καὶ γὰρ ταῦτα τῇ μὲν ὑποστάσει ἔνυλά εἰσιν (οὐδὲ γὰρ δύναται τρίγωνον
10 ἢ τετράγωνον ἤ τι τοιοῦτον σχῆμα ἄνευ ὕλης συστῆναι· ἢ γὰρ ἐν ξύλῳ ἔχει τὴν ὕπαρξιν ἢ ἐν λίθῳ ἢ ἐν χαλκῷ ἢ ἔν τινι τοιούτῳ), τῇ δὲ ἐπινοίᾳ ἄυλά εἰσι· καὶ γὰρ ἡνίκα τις φαντάζεται καὶ ἀναπολεῖ τὸ σχῆμα αὐτὸ καθ' ἑαυτό, ἀνατυποῖ αὐτὸ ἐν τῇ οἰκείᾳ διανοίᾳ· ὥσπερ γὰρ ὁ κηρὸς ἀναματττόμενος τὴν σφραγῖδα ἐκ τοῦ δακτυλίου αὐτὴν μόνην τὴν σφραγῖδα ἀναμάτ-
15 τεται, οὐ μὴν ἀφαιρεῖταί τι ἐκ τοῦ δακτυλίου, τὸν αὐτὸν τρόπον καὶ ἡ διάνοια φανταζομένη τὰ σχήματα οὐκ ἀφαιρεῖταί τι ἐκ τῆς ὕλης, ἀλλ' αὐτὸ μόνον τὸ σχῆμα φαντάζεται καὶ διατυποῖ ἐν ἑαυτῇ. ἐπειδὴ οὖν τῷ θεωρητικῷ πάντα τὰ ὄντα ὑπόκεινται πρὸς γνῶσιν, τὰ δὲ ὄντα, ὡς εἴρηται, τριττά εἰσι, τούτου χάριν καὶ τὸ θεωρητικὸν εἰς τρία διαιρεῖται, εἰς
20 φυσιολογικόν, μαθηματικόν, θεολογικόν. καὶ ἰστέον ὅτι τὸ μὲν φυσιολογικὸν καταγίνεται περὶ τὰ καὶ τῇ ὑποστάσει καὶ τῇ ἐπινοίᾳ ἔνυλα (ζητεῖ γὰρ περὶ τῶν τεσσάρων στοιχείων πῶς σύγκεινται), τὸ δὲ θεολογικὸν καταγίνεται περὶ τὰ καὶ τῇ ὑποστάσει καὶ τῇ ἐπινοίᾳ ἄυλα, τὸ δὲ μαθηματικὸν καταγίνεται περὶ τὰ τῇ μὲν ὑποστάσει ἔνυλα τῇ δὲ ἐπινοίᾳ
25 ἄυλα.

Τούτων οὖν οὕτως ἐχόντων ἔλθωμεν καὶ εἴπωμεν περὶ τῆς τάξεως αὐτῶν. ἰστέον ὅτι τὸ φυσιολογικὸν πρώτην ἔχει τάξιν ὡς σύντροφον καὶ πλησιάζον ἡμῖν, ἅτε δὴ πάντῃ ἔνυλον ὄν. τὸ δὲ μαθηματικὸν μέσον ἐστὶ τοῦ τε φυσιολογικοῦ καὶ θεολογικοῦ ὡς καὶ τῶν δύο μετέχον· καὶ γὰρ
30 ἔνυλόν ἐστιν ὁμοίως τῷ φυσιολογικῷ καὶ ἄυλον ὁμοίως τῷ θεολογικῷ· ὡς εἴρηται γάρ, τὸ μαθηματικὸν τῇ μὲν ὑποστάσει ἔνυλόν ἐστι τῇ δὲ ἐπινοίᾳ ἄυλον. τὸ δὲ θεολογικὸν ἐξ ἀνάγκης ὕστερόν ἐστιν· οὐδὲ γὰρ δύναται εἶναι μετὰ τὸ φυσιολογικόν, ἐπειδὴ οὐ δεῖ ἀπὸ τῶν πάντῃ ἐνύλων εὐθέως ἐπὶ τὰ πάντῃ ἄυλα ἔρχεσθαι, ἐπεὶ πάσχομεν ὃ πάσχουσιν οἱ πολὺν χρόνον

---

1 ἀπολογίαν] αἰτίαν T τὰ ὄντα post γνῶσιν colloc. V ὑπόκειται T πρὸς] εἰς T 2 εἰσιν om. V 3 ξύλα T καὶ (post γὰρ) om. V 4 ἄυλον Vat. 2253: ἄυλα KTV 5 ἢ καὶ—ἔνυλον (7) om. K θεὸς om. V 6 καὶ τῇ ὑποστ.] τὰ ὑποστ. V 7 τις] τι V θεὸν om. V ἔνυλον Vat. 2253: ἔνυλα TV (cf. v. 4) 9 τρίγ. δύναται colloc. T 11 τοιούτῳ] ἄλλῳ T 12 ἀναπολῇ T 13. 14 ἀποματτόμενος T 17 αὐτὸ om. T 18 ὑπόκειται τὰ ὄντα coll. K 20 μαθ. καὶ θεολ. T 21 καταγίνεται post ἔνυλα colloc. T 22 σύγκειται TV 22. 23 θεολ. δὲ colloc. T 27 ἐπέχει T 28 ὧν T 29 τε om. T ὡς om. K μετέχων T 31 ante τῇ μὲν add. καὶ V 34 πολλὺν T

Digitized by Google

ἐν σκότει διάγοντες καὶ εὐθὺς πρὸς τὸν ἥλιον θεωροῦντες· οἱ γὰρ πολὺν χρόνον ἐν σκότει διατρίβοντες καὶ εὐθέως εἰς τὸν ἥλιον θεωροῦντες ἀποτυφλοῦνται. οὕτως οὖν οὐ δεῖ ἀπὸ τῶν πάντῃ ἐνύλων εὐθέως ἐπὶ τὰ πάντῃ ἄυλα ἔρχεσθαι· οὕτω γὰρ αἰνιττομένη ἡ ποίησις λέγει περὶ Ὤτου καὶ Ἐφιάλτου ταῦτα·

Ὄσσαν ἐπ' Οὐλύμπῳ μέμασαν θέμεν, αὐτὰρ ἐπ' Ὄσσῃ
Πήλιον εἰνοσίφυλλον, ἵν' οὐρανὸς ἀμβατὸς εἴη.

καὶ κατὰ μὲν τὸ φαινόμενον τοῦτο λέγει ὅτι ὁ Ὤτος καὶ ὁ Ἐφιάλτης ἠθέλησαν θεῖναι ὄρη ἐπάνω ἀλλήλων, βουλόμενοι | μηχανήσασθαι τὴν εἰς 153r
οὐρανὸν ἄνοδον, ἀλληγορικῶς δὲ νοούμενα ταῦτα δηλοῦσιν ὅτι ἐκεῖνοι εὐθέως ἀπὸ τῶν φυσικῶν καὶ πάντῃ ἐνύλων πραγμάτων ἐπὶ τὴν γνῶσιν τῶν θείων ἠβουλήθησαν ἐπιπηδῆσαι. ἀπὸ οὖν τοῦ μαθηματικοῦ δεῖ ἐπὶ τὰ θεολογικὰ ἔρχεσθαι. ὅτι δὲ τοῦτο ἀληθές ἐστιν, δηλοῖ ὁ Πλάτων περὶ τοῦ μαθηματικοῦ διαλεγόμενος καὶ λέγων ὅτι 'αὕτη ὁδός, ταῦτα μαθήματα, εἴτε ῥάδια εἴτε χαλεπά, ταύτῃ ἰτέον, ἀμελεῖν δὲ οὐ δεῖ', τοῦτ' ἔστιν ὅτι ὁδῷ κεχρημένους τοῖς μαθήμασι διὰ τούτων δεῖ βαδίσαι ἐπὶ τὰ θεολογικά. καὶ ὁ Πλωτῖνος δὲ τοῦτο δηλοῖ λέγων 'παραδοτέον δὲ τοῖς νέοις τὰ μαθήματα πρὸς συνεθισμὸν τῆς ἀσωμάτου φύσεως, δι' ὧν τὴν ἀσώματον φύσιν γινώσκουσιν.' ἰστέον δὲ ὅτι ἐοίκασι τὰ μαθηματικὰ κλίμακι καὶ γεφύρᾳ· ὥσπερ γὰρ ἐν τῇ κλίμακι ἀπὸ τῶν κάτω ἐπὶ τὰ ἄνω ἐρχόμεθα καὶ ἐν τῇ γεφύρᾳ δὲ ἀπὸ τοῦδε τοῦ μέρους εἰς τὸ ἐξ ἐναντίας μέρος ἐρχόμεθα, οὕτω καὶ διὰ τοῦ μαθηματικοῦ ἐπὶ τὸ θεολογικὸν ἐρχόμεθα· καὶ γὰρ συμβάλλεται τὸ μαθηματικὸν εἰς τὴν εἴδησιν τοῦ θεολογικοῦ. ταῦτα μὲν ἐν τούτοις.

Ἀποροῦσι δέ τινες λέγοντες· εἰ ἄρα οὐ μόνον τὸ μαθηματικὸν μανθάνεται ἀλλὰ καὶ τὸ φυσιολογικὸν καὶ τὸ θεολογικόν, διὰ τί τοῦτο μόνον λέγεται μαθηματικὸν καὶ μὴ κἀκεῖνα λέγονται μαθηματικά; καὶ ἐπιλύονται λέγοντες ὅτι τὸ φυσιολογικὸν οὐ δύναται λέγεσθαι μαθηματικόν, ἐπειδὴ τοῦτο πάντῃ ἔνυλον ὂν καὶ ἀεὶ ἐν ῥοῇ καὶ ἀπορροῇ ὂν καὶ ἄλλοτε ἄλλως ἔχον οὐχ ὑποπίπτει ἀκριβεῖ γνώσει, ἀλλὰ τυχὸν σήμερον μὲν τοιῶσδε γινώσκεται αὔριον δὲ τοιῶσδε διὰ τὸ ἄλλως ἔχειν. ἀλλ' οὔτε δὲ τὸ θεολογικὸν δύναται λέγεσθαι μαθηματικόν, ἐπειδὴ τὰ θεῖα ἅτε δὴ ἀόρατα ὄντα καὶ ἀκατάληπτα εἰκασμῷ μᾶλλον γινώσκονται ἤπερ ἀκριβεῖ γνώσει.

---

1. 2 οἱ γὰρ—θεωροῦντες om. T 4 ἡ ποίησις αἰν. colloc. T (cf. Hom. λ 315) περὶ τοῦ ὤτου T 6 ἐπ' ὀλύμπω V: ἐν ὀλύμπω KT αὐτὰρ] ἀτὰρ T 7 εἰνοσίφυλον K: ἠνοσίφυλον V ἀμβατὸς] ἅμα τε T post εἴη add. παῖδες ἀλωῆος V 9 ἀλλήλων] ἄλλων KV τὴν om. Brand. 10. 11 εὐθέως ἐκεῖνοι colloc. T 11 καὶ om. T 12 ἐβουλήθησαν Brand. ἐπιπηδῆσαι] ἐπιτηδεῦσαι T 13 τὰ τέλεια θεολογικὰ T δὲ Vat. 2253: γὰρ KTV καὶ ὁ πλάτων T (cf. Epinom. 13 p. 992 A) 16 κεχρημένος T 17 ὁ Πλωτῖνος] Ennead. I 3,3 (p. 157,20) δὲ om. T (bis) 18 συνηθισμὸν KV 20 γὰρ om. T 21 μέρος om. T 25 τὸ θεολ. καὶ τὸ φυσιολ. colloc. T 26 κἀκεῖνοι Wellm. (errore typ.) λέγονται μαθηματικά om. T 30 οὔτε δὲ] ἄλλοτε V¹: ἀλλ' οὔτε τε V² 31. 32 ἀκατάλ. ὄντα καὶ ἀόρατα T 32 γινώσκεται TV

Digitized by Google

ἐξ ἀνάγκης οὖν τοῦτο λέγεται μαθηματικὸν μόνον. ἄλλως τε δὲ διὰ τοῦτο αὐτὸ μόνον λέγεται μαθηματικόν, ἐπειδὴ αὐτὸ διδάσκει ἡμᾶς πῶς δεῖ μανθάνειν τὰ πράγματα· εἰ γὰρ καὶ ἐν τῇ λογικῇ τοῦτο διδάσκει ἡμᾶς ὁ Ἀριστοτέλης, ἀλλ' οὖν ἐκ τοῦ μαθηματικοῦ ἔλαβε τὴν ἀφορμήν. ἔτι δέ, ὥς φασιν οἱ Πυθαγόρειοι, διὰ τοῦτο μόνον λέγεται μαθηματικόν, ἐπειδὴ ἐν τῇ διανοίᾳ ἔχει τὴν ὕπαρξιν· μόνη γὰρ ἡ διάνοια μανθάνει· ὁ γὰρ νοῦς ἁπλῇ προσβολῇ πάντα γινώσκει. ταῦτα ἐν οἷς σὺν θεῷ καὶ ἡ παροῦσα πρᾶξις.

Πρᾶξις κ'.

Διελόντες τὸ θεωρητικὸν εἰς φυσιολογικόν, μαθηματικόν, θεολογικόν, ἔλθωμεν καὶ ἕκαστον τούτων διέλωμεν. ἀλλ' ἐπειδὴ ἡ διαίρεσις τοῦ φυσιολογικοῦ καὶ θεολογικοῦ πολυσχιδής ἐστι καὶ μείζονος ἀκροάσεως δέεται, ταύτην ταῖς μείζοσι πραγματείαις παραπέμψωμεν, ἔλθωμεν δὲ νῦν | καὶ τὴν διαίρεσιν τοῦ μαθηματικοῦ εἴπωμεν τὴν σαφεστέραν· ἔστι γὰρ καὶ 153v ἄλλη πολυσχιδής, ἥτις ἐν ταῖς μεγάλαις πραγματείαις λεχθήσεται, πλὴν καὶ ἡ λεχθησομένη διαίρεσις ἀκριβῶς ἔχει. ἰστέον ὅτι πέντε κεφάλαια ἔχομεν περὶ τοῦ μαθηματικοῦ εἰπεῖν, καὶ ἔστι πρῶτον κεφάλαιον ἐν ᾧ λέγομεν πόσα καὶ ποῖά εἰσι τὰ εἴδη τοῦ μαθηματικοῦ, δεύτερον δὲ ἐν ᾧ λέγομεν διὰ τί τοσαῦτά εἰσι, τρίτον ἐν ᾧ λέγομεν τὴν τάξιν αὐτῶν, τέταρτον ἐν ᾧ λέγομεν τίνων εἰσὶν εὑρέματα, πέμπτον δὲ ἐν ᾧ λέγομεν τίνα παράκειται τοῖς τοιούτοις εἴδεσιν.

Ἔλθωμεν οὖν ἐπὶ τὸ πρῶτον καὶ εἴπωμεν πόσα καὶ ποῖά εἰσιν εἴδη τοῦ μαθηματικοῦ. ἰστέον οὖν ὅτι τέσσαρά εἰσιν εἴδη τοῦ μαθηματικοῦ, ἀριθμητική, μουσική, γεωμετρία, ἀστρονομία. ἔλθωμεν δὲ καὶ ἐπὶ τὸ δεύτερον καὶ εἴπωμεν διὰ τί τοσαῦτα εἴδη εἰσὶ τοῦ μαθηματικοῦ. ἰστέον ὅτι τὸ μαθηματικὸν περὶ τὸ ποσὸν καταγίνεται· ἢ γὰρ περὶ τοὺς ἀριθμοὺς καταγίνεται ὥσπερ ἡ ἀριθμητική (τοῦτο δὲ ποσόν ἐστιν), ἢ περὶ τὰς σχέσεις τῶν φθόγγων ὥσπερ ἡ μουσική (καὶ τοῦτο δὲ ποσόν ἐστι· ζητεῖ γὰρ ποῖα τὸν διπλάσιον λόγον ἔχουσι καὶ ποῖα τὸν ἐν ἡμιολίῳ), ἢ περὶ τὰ διαστήματα τῆς γῆς καταγίνεται ὥσπερ ἡ γεωμετρία (καὶ τοῦτο δὲ ποσόν ἐστιν), ἢ περὶ τὰς κινήσεις τῶν οὐρανίων σωμάτων καταγίνεται ὥσπερ ἡ ἀστρονομία· καὶ τοῦτο δὲ ποσόν ἐστιν· ἔχουσι γάρ τινα διαστήματα. τούτων

---

1 μόνον (post μαθημ.) Vat. 2253: om. KTV δὲ] καὶ Wellm. 2 pr. αὐτὸ om. T
3 γὰρ supra scr. K ἐν τῇ λογικῇ τοῦτο Vat. 2253: θεολογῆσαι KTV 5 πυθαγόριοι V¹ (cf. Zelleri Phil. Gr. V³ p. 128) 7. 8 ταῦτα—πρᾶξις om. TV
10 καὶ θεολ. T 12. 15 πολυσχεδής TV¹ 13 δεῖται K (cf. p. 48,5)
17 τὸ πρῶτον T 20 εὑρήματα Brand. Wellm. δὲ om. T 21 τοῖς τοιούτ.] τούτοις τοῖς T 22 post πρῶτον add. κεφάλαιον T 23 οὖν om. T
24 καὶ (post δὲ) om. TV 25 τοσ. εἰσὶ τοῦ μαθ. τὰ εἴδη T 29 ἢ περὶ—τινα διαστήματα (32) in mrg. suppl. V² 31 ἢ περὶ τὰς κινήσεις—ποσόν ἐστιν (32) om. T
32 post διαστ. add. καὶ περὶ τὰ διαστήματα V

Digitized by Google

οὖν οὕτως ἐχόντων καὶ γνωσθέντων ὅτι τὰ μαθηματικὰ περὶ τὸ ποσὸν καταγίνεται, δεῖ γινώσκειν ὅτι τὸ ποσὸν διττόν ἐστιν· ἢ γὰρ συνεχές ἐστιν ἢ διωρισμένον. καὶ συνεχὲς μὲν ποσόν ἐστιν οὗ τὰ μόρια εἰς ἕνα ὅρον συνάπτονται, ὥσπερ ἐπὶ τοῦ τοίχου· οὗτος γὰρ συνεχὲς ποσόν ἐστι· καὶ
5 γὰρ ἐὰν τέμῃς τοῦτον δυνάμει εἰς πολλοὺς τόμους, πάντα τὰ μόρια τὰ τμηθέντα εἰς ἕνα ὅρον συνάπτονται· καὶ γὰρ τοῦτο τὸ τμῆμα μετὰ τοῦ ἄλλου συνημμένον ἐστὶ διὰ τῆς γραμμῆς τῆς νοητῶς παραληφθείσης ἐν τῷ γενέσθαι τὴν τομήν· καὶ γὰρ τῆς γραμμῆς τῆς δυνάμει τὴν τομὴν ποιησάσης μεταξὺ οὔσης τῶν δυνάμει τμηθέντων εὑρίσκεται τόδε τὸ μέρος
10 συναπτόμενον τῇ γραμμῇ καὶ τὸ ἄλλο τῇ γραμμῇ ὁμοίως καὶ διὰ τῆς γραμμῆς συνάπτονται ἀλλήλοις· δυνάμει γὰρ τῇ τομῇ καθυπεβλήθησαν, οὐ μὴν ἐνεργείᾳ, ἵνα καὶ διαχωρισθῶσιν ἀλλήλων. διωρισμένον δὲ ποσόν ἐστι τὸ διακεχωρισμένον καὶ μὴ ἔχον τι μεταξὺ τὸ ὀφεῖλον συνάφειαν ποιήσασθαι τοῦδε πρὸς τόδε, ὡς ἐπὶ τῶν ἀριθμῶν· καὶ γὰρ ὁ δέκα ἀριθμὸς
15 διακεχωρισμένος ἐστίν· εἴτε γὰρ ἀπὸ μονάδων λάβῃς αὐτὸν συγκείμενον εἴτε ἀπὸ τοῦ πέντε καὶ τοῦ πέντε, οὐκ ἔχει ἄλλον ἀριθμὸν μεταξὺ | τὸν 154r ὀφείλοντα συνάφειαν τοῦδε τοῦ ἀριθμοῦ ποιήσασθαι πρὸς τόνδε· ἐὰν γὰρ προσλάβῃ ἕτερον ἀριθμόν, εὑρίσκεται ἐκπίπτων τοῦ δέκα μείζων γενόμενος. καὶ τούτων δὲ ἑκάτερον διττόν ἐστι· καὶ γὰρ καὶ τὸ διωρισμένον ποσὸν
20 διττόν ἐστι· τὸ μὲν γάρ ἐστι καθ' ἑαυτό, τὸ δὲ κατὰ σχέσιν. καὶ καθ' ἑαυτὸ μέν, ὡς ὅταν τοὺς ἀριθμοὺς αὐτοὺς καθ' ἑαυτοὺς λάβωμεν, οἷον ὡς ὅταν τὸν δέκα αὐτὸν καθ' ἑαυτὸν λάβωμεν καὶ μὴ ἐξετάσωμεν αὐτὸν πρὸς ἄλλον ἀριθμόν. κατὰ σχέσιν δέ, ὡς ὅταν τόνδε τὸν ἀριθμὸν ἐξετάσωμεν πρὸς τόνδε, οἷον ὡς ὅταν τὸν δέκα ἐξετάσωμεν πρὸς τὸν πέντε λέγοντες
25 ὅτι ὁ δέκα διπλάσιον λόγον ἔχει πρὸς τὸν πέντε. καὶ πάλιν τὸ συνεχὲς ποσὸν διττόν ἐστι· τὸ μὲν γὰρ ἀκίνητόν ἐστι, τὸ δὲ κινητόν. καὶ ἀκίνητον μὲν ὥσπερ ἡ γῆ (αὕτη γὰρ ἀκίνητός ἐστιν· οὐδὲ γὰρ ἀπέρχεται ἐκ τοῦδε τοῦ τόπου εἰς τόνδε τὸν τόπον), κινητὸν δὲ ὥσπερ ὁ οὐρανός· οὗτος γὰρ ἀεὶ κινεῖται. τούτων οὖν οὕτως ἐχόντων ἐπειδὴ τὸ μαθηματικὸν περὶ τὸ
30 ποσὸν καταγίνεται, τὸ δὲ ποσόν, ὡς εἴρηται, διττόν ἐστιν (ἢ γὰρ συνεχές ἐστιν ἢ διωρισμένον), ἑκάτερον δὲ τούτων διττόν ἐστιν (ἔστι γὰρ ποσὸν διωρισμένον καθ' ἑαυτὸ καὶ ποσὸν διωρισμένον κατὰ σχέσιν καὶ ποσὸν συνεχὲς ἀκίνητον καὶ ποσὸν συνεχὲς κινούμενον), τούτου χάριν πρὸς ἀναλογίαν τῶν τεσσάρων τούτων τῶν συναγομένων ἐκ τοῦ ποσοῦ τοῦ τε διω-
35 ρισμένου καὶ τοῦ συνεχοῦς τέσσαρά εἰσι τὰ εἴδη τοῦ μαθηματικοῦ, οἷον ἀριθμητική, μουσική, γεωμετρία, ἀστρονομία. καὶ ἡ μὲν ἀριθμητικὴ καταγίνεται περὶ τὸ ποσὸν τὸ διωρισμένον τὸ καθ' ἑαυτό, ἡ δὲ μουσικὴ περὶ

---

4 ὥσπερ—συνάπτονται (6) om. V 8 τῆς δυν.] τῇ δυνάμει T 14 τόδε ex τοῦδε corr. V¹ ὁ iter. V 14. 15 διακεχωρισμένον T 16 καὶ τοῦ πέντε om. K ἀριθ. ἄλλον colloc. KV 17 τοῦ ἀριθ. τοῦδε colloc. K 18 γινόμενος T 19 ὡρισμένον V 20 καὶ (ante καθ' ἑαυτὸ) om. T 21. 22 οἷον—λάβωμεν om. V 22 αὐτὸν (post δέκα)] ἀριθμὸν K 24 ὡς om. T ἐξετάσωμεν om. T 26 post prius ἀκίνητον add. διττόν V 36 ante ἀστρον. add. καὶ T 37 τὸ (ante καθ' ἑαυτό) om. T

Digitized by Google

τὸ ποσὸν τὸ διωρισμένον τὸ κατὰ σχέσιν, ἡ δὲ γεωμετρία περὶ τὸ ποσὸν τὸ συνεχὲς τὸ ἀκίνητον, ἡ δὲ ἀστρονομία περὶ τὸ ποσὸν τὸ συνεχὲς τὸ κινούμενον. ταῦτα μὲν καὶ τὸ δεύτερον κεφάλαιον.

Ἔλθωμεν δὲ καὶ ἐπὶ τὸ τρίτον καὶ εἴπωμεν τὴν τάξιν αὐτῶν. ἰστέον ὅτι ἡ ἀριθμητικὴ καὶ ἡ μουσικὴ προτερεύουσι τῆς γεωμετρίας καὶ ἀστρονομίας, ἐπειδὴ ἡ μὲν ἀριθμητικὴ καὶ ἡ μουσικὴ περὶ τὸ ποσὸν τὸ διωρισμένον καταγίνονται, ἡ δὲ γεωμετρία καὶ ἡ ἀστρονομία περὶ τὸ ποσὸν τὸ συνεχές· τιμιώτερον δὲ τὸ ποσὸν τὸ διωρισμένον τοῦ ποσοῦ τοῦ συνεχοῦς· καὶ γὰρ τὸ ποσὸν τὸ διωρισμένον δύναται ἀσυγχύτως δέξασθαι διάφορα εἴδη· ἰδοὺ γὰρ ὁ κε' ἀριθμὸς ὢν ποσὸν διωρισμένον δέχεται ἀσυγχύτως διάφορα εἴδη· ἔστι γὰρ καὶ κύκλος καὶ τετράγωνος. καὶ κύκλος μέν, ὅτι ὥσπερ ἐν τῷ κύκλῳ ἡ ἀρχὴ τῷ πέρατι συνάπτεται, οὕτω καὶ ἐνταῦθα ἄρχεται ἀπὸ τοῦ πέντε ἐν τῷ πολλαπλασιασμῷ καὶ εἰς αὐτὸν λήγει ἀποτελούμενος, | οἷον πεντάκις πέντε εἰκοσιπέντε· ἰδοὺ καὶ ἐν τῷ πολλαπλα- 154v
σιασμῷ ἀπὸ τοῦ πέντε ἄρχεται καὶ ἀποτελούμενος εἰς τὸν πέντε καταλήγει. τετράγωνος δὲ λέγεται, ἐπειδὴ πᾶς ἀριθμὸς εἰς ἑαυτὸν πολλαπλασιαζόμενος τετράγωνον ἀριθμὸν ἀποτελεῖ, οἷον τρὶς τρία ἐννέα, τετράκις τέσσαρα δεκαέξ· οὕτως οὖν καὶ πεντάκις πέντε εἰκοσιπέντε. τὸ δὲ ποσὸν τὸ συνεχὲς οὐ δύναται ἀσυγχύτως διάφορα εἴδη ἐπιδέξασθαι· ἰδοὺ γὰρ ἐν τῷ κηρῷ, ὅσπερ ἐστὶ συνεχὲς ποσόν, ἐὰν ποιήσῃ τις εἶδος Ἕκτορος, οὐ δύναται ποιῆσαι ἄλλο εἶδος, εἰ μὴ ἀφανισθῇ τὸ πρῶτον εἶδος, ἐπεὶ σύγχυσις γίνεται. ἐπειδὴ οὖν τὸ ποσὸν τὸ διωρισμένον τιμιώτερόν ἐστι τοῦ ποσοῦ τοῦ συνεχοῦς, τούτου χάριν ἡ ἀριθμητικὴ καὶ ἡ μουσικὴ ὡς περὶ τὸ ποσὸν τὸ διωρισμένον καταγινόμεναι προτερεύουσι τῆς γεωμετρίας καὶ τῆς ἀστρονομίας ὡς τούτων περὶ τὸ ποσὸν τὸ συνεχὲς καταγινομένων. ἡ δὲ ἀριθμητικὴ προτερεύει τῆς μουσικῆς, ἐπειδὴ ἡ μὲν ἀριθμητική, ὡς ἀνωτέρω εἴρηται, περὶ τὸ ποσὸν τὸ καθ' ἑαυτὸ καταγίνεται, ἡ δὲ μουσικὴ περὶ τὸ ποσὸν τὸ κατὰ σχέσιν· προτερεύει δὲ τὸ καθ' ἑαυτὸ τοῦ κατὰ σχέσιν, ἐπειδὴ πρῶτον δεῖ ἁπλῶς τι εἶναι καὶ τότε ἐν σχέσει πρὸς ἕτερον παραλαμβάνεσθαι. ἡ δὲ γεωμετρία προτερεύει τῆς ἀστρονομίας, ἐπειδὴ ἡ μὲν γεωμετρία περὶ τὸ ποσὸν τὸ συνεχὲς τὸ ἀκίνητον καταγίνεται, ἡ δὲ ἀστρονομία περὶ τὸ ποσὸν τὸ συνεχὲς τὸ κινούμενον καταγίνεται· προτερεύει δὲ τὸ ἀκίνητον τοῦ κινουμένου· ἀρχὴ γὰρ κινήσεως ἡ ἠρεμία ἐστίν· ὁ γὰρ μέλλων κινεῖσθαι ἀπὸ ἠρεμίας προέρχεται. αὕτη μὲν οὖν ἐστιν ἡ αἰτία τῆς τάξεως αὐτῶν.

---

1 τὸ (ante κατὰ) om. T 1. 2 τὸ συνεχὲς ποσὸν T 3 κινούμενον] κινητόν T 4 δὲ om. T καὶ (post δὲ) om. V ἰστέον δὲ Brand. 7 καταγίνεται TV 8 post τιμ. δὲ add. ἐστι T τοῦ συνεχοῦς ποσοῦ T 11 τετράγωνον K καὶ (ante κύκλος μέν) om. T 15 τὸν] τὸ TV 17 οἷον τρεῖς (sic) in mrg. suppl. V 18 τὸ δὲ συνεχὲς ποσὸν T 19 κηρῷ] καιρῷ V¹ 20 ποιήσῃ] σφραγίσῃ T 21 ante ἄλλο add. καὶ T εἶδος ἄλλο colloc. V 22. 23 τοῦ συνεχοῦς ποσοῦ T 23. 24 περὶ ποσὸν διωρισμ. (τὸ bis om.) T 24 καταγίνομαι V¹ 26 ἀνωτέρω] cf. p. 61,36 31 καταγίνεται τὸ ἀκίνητον (τὸ ἀκίνητον suppl. m.²) coll. V 31. 32 ἡ δὲ ἀστρ.—καταγίνεται in mrg. suppl. V¹ 33 ἡ om. T

Digitized by Google

Ἔστι δὲ καὶ ἄλλην αἰτίαν εἰπεῖν οὕτως. ἀναλογεῖ μὲν ἡ ἀριθμητικὴ τῇ μονάδι, ἡ δὲ μουσικὴ τῇ δυάδι, ἡ δὲ γεωμετρία τῇ τριάδι, ἡ δὲ ἀστρονομία τῇ τετράδι. πρὸς ἀναλογίαν οὖν τῆς τάξεως τῶν ἀριθμῶν ἐκτήσαντο καὶ ταύτην τὴν τάξιν· καὶ γὰρ ἡ ἀριθμητικὴ τῇ μονάδι ἀναλογεῖ (περὶ γὰρ τὸ καθ' ἑαυτὸ ποσὸν καταγίνεται, τὸ δὲ καθ' ἑαυτὸ ἕν τί ἐστιν), ἡ δὲ μουσικὴ τῇ δυάδι ἀναλογεῖ (καὶ γὰρ περὶ τὸ ἐν σχέσει ποσὸν καταγίνεται, ἡ δὲ σχέσις τὸ ἐλάχιστον ἐπὶ δύο λαμβάνεται), ἡ δὲ γεωμετρία ἀναλογεῖ τῇ τριάδι (καὶ γὰρ ἡ γεωμετρία περὶ τὰ ἐπίπεδα σχήματα καταγίνεται, πρῶτον δὲ σχῆμα τὸ τρίγωνόν ἐστιν· οὔτε γὰρ μία γραμμὴ οὔτε δύο γραμμαὶ ἀποτελοῦσι σχῆμα), ἡ δὲ ἀστρονομία ἀναλογεῖ τῇ τετράδι· καὶ γὰρ ἡ ἀστρονομία περὶ τὰ οὐράνια σώματα καταγίνεται, πᾶν δὲ σῶμα τριχῇ διαστατόν ἐστιν· ἔχει γὰρ μῆκος πλάτος βάθος. ἕκαστον δὲ τούτων ὑπὸ δύο ὅρων περιέχεται ἤγουν δύο πέρατα ἔχει, ἐξ ὧν περιέχεται· καὶ γὰρ καὶ τὸ μῆκος ἔνθεν καὶ ἔνθεν περιέχετει καὶ τὸ πλάτος ὁμοίως καὶ τὸ βάθος, ὥστε συνάγεσθαι ἓξ ὅρους ἤγουν πέρατα. ἐκ δὲ τούτων τῶν ἓξ τέσσαρα γίνονται· καὶ γὰρ τὸ ἓν | πέρας κοινόν ἐστι τῶν δύο· τὸ γὰρ 155r πέρας τοῦ πλάτους εὑρίσκεται ἀρχὴ τοῦ μήκους ἢ τοῦ βάθους. ἐπειδὴ οὖν ἡ ἀστρονομία περὶ τὰ οὐράνια σώματα καταγίνεται, πᾶν δὲ σῶμα τριχῇ διαστατόν ἐστιν (ἔχει γὰρ μῆκος πλάτος βάθος, ταῦτα δὲ τέσσαρας ὅρους ἤγουν τέσσαρα πέρατα ἔχουσι), τούτου χάριν λέγουσιν αὐτὴν τῇ τετράδι ἀναλογεῖν. ἔχομεν οὖν διὰ τί πρώτη ἐστὶν ἡ ἀριθμητικὴ καὶ δευτέρα ἡ μουσικὴ καὶ τρίτη ἡ γεωμετρία καὶ τετάρτη ἡ ἀστρονομία. ἐν οἷς καὶ τὸ τρίτον κεφάλαιον.

Ἔλθωμεν δὲ καὶ ἐπὶ τὸ τέταρτον καὶ εἴπωμεν τίνων εἰσὶν εὑρέματα. ἰστέον ὅτι τὴν ἀριθμητικὴν οἱ Φοίνικες εὗρον ὡς ἐμπορικοὶ ὄντες καὶ δεόμενοι τῶν ἀριθμῶν εἰς τὰς ψήφους. τὴν δὲ μουσικὴν οἱ Θρᾷκες· ἐκεῖθεν γὰρ ἦν ὁ Ὀρφεύς, ὅστις λέγεται εὑρηκέναι τὴν μουσικήν· Θρᾷξ γὰρ ὁ Ὀρφεύς. ἐπενόησε δὲ ἐμβατήρια μέλη διεγείροντα πρὸς θυμὸν αὐτοὺς ὡς ἄγαν ὄντας πολεμικούς· ἡ γὰρ ψῦξις ἀποκλείουσα τὸ θερμὸν ἐν τῷ βάθει ὁριμύτερον αὐτὸ ποιεῖ, ὅθεν καὶ θυμώδεις εἰσὶ καὶ πολεμικοὶ τῇ βίᾳ τοῦ θερμοῦ καὶ ὀρχηστικοὶ δὲ διὰ τὰς ἑτοίμους φυγὰς τῶν βελῶν· ἔστι γὰρ καὶ πυρρίχιος παρ' αὐτοῖς ὄρχησις, ὅ ἐστιν ἐνόπλιος, κατὰ τὸ εἰρημένον τῷ ποιητῇ

---

4 τῇ om. T 5 γὰρ om. T καταγινομένη T pr. δὲ supra scr. K: om. V ante ἓν add. ποσὸν T 10 γραμμαὶ om. T 12 βάθος καὶ πλάτος T 13. 15 ἤγουν] ἤτοι Brand. 14 post ὁμοίως add. περιέχεται T 16 πέρας] ἓν μέρος TV 17 ἢ] καὶ Brand. 19 ἐστι διαστατόν colloc. V βάθος πλάτος colloc. T 21. 22 καὶ (tribus locis) om. T 24 καὶ (ante ἐπὶ) om. V post τέταρτον add. κεφάλαιον TV εὑρήματα Wellm. 25 ὡς om. Brand. 26 τοὺς ψήφους Brand. 27 pr. ὁ om. TV ὅστις—μουσικήν in mrg. suppl. V² 27. 28 Θρᾷξ—Ὀρφεύς om. V 28 δὲ om. V 28. 29 αὐτοὺς—πολεμικούς] ὡς ἄγαν πολεμικοὶ ὄντες V 29 ἢ] καὶ Brand. 31 δὲ om. T βελῶν] μελῶν T ἔστι] ἔτι V 32 παρ' om. K 33 τῷ ποιητῇ] Hom. Π 617

Digitized by Google

Μηριόνη, τάχα κέν σε καὶ ὀρχηστήν περ ἐόντα.

τὴν δὲ γεωμετρίαν οἱ Αἰγύπτιοι εὗρον ἐξ ἀνάγκης· καὶ γὰρ τοῦ Νείλου συνεχῶς ἀνιόντος καὶ τὴν Αἴγυπτον ἐπικλύζοντος σύγχυσις τῶν ὁροθεσίων ἐγίνετο καὶ ἤρχοντο οἱ Αἰγύπτιοι εἰς μάχην καὶ ἐφόνευον ἀλλήλους καὶ λοιπὸν ἐκεῖθεν ἐπενόησαν μέτρον τι, δι' οὗ ἐμέτρουν τὴν γῆν καὶ ἑκάστου τὸ ἴδιον ἐφυλάττετο· ὅπερ μέτρον καὶ ἄκαιναν ἐκάλουν διὰ τὸ μὴ καίνειν, ὅ ἐστι φονεύειν, ἐπειδὴ δι' αὐτοῦ ἐστερήθησαν τοῦ καίνειν καὶ φονεύειν. οὕτως τῆς γεωμετρίας ἐξ ἀνάγκης ἀνεφάνη τὸ χρήσιμον. τὴν δὲ ἀστρονομίαν οἱ Χαλδαῖοι· καὶ γὰρ ἐν τῷ κλίματι, ἐν ᾧ εἰσιν οὗτοι, καθαρός ἐστιν ὁ οὐρανὸς καὶ ἀνέφελος, καὶ εὐχερῶς ἐκεῖθεν ἐπενόησαν τὴν περὶ τῶν οὐρανίων σωμάτων διδασκαλίαν ἤγουν τὴν ἀστρονομίαν. ταῦτα μὲν καὶ τὸ τέταρτον κεφάλαιον.

Ἔλθωμεν δὲ ἐπὶ τὸ πέμπτον καὶ εἴπωμεν τί παράκειται τούτοις τοῖς εἴδεσιν. ἰστέον ὅτι τῇ ἀριθμητικῇ ἡ λογιστικὴ παράκειται. διαφέρουσι δὲ ἀλλήλων, ὅτι ἡ μὲν ἀριθμητικὴ τὴν φύσιν αὐτὴν τῶν ἀριθμῶν ζητεῖ καὶ περὶ τοῦ καθ' ἑαυτὸν νοουμένου ἀριθμοῦ διαλαμβάνει καὶ οὐ τέμνει τὴν μονάδα, ἡ δὲ λογιστικὴ περὶ τοῦ ἐν τοῖς πράγμασι θεωρουμένου ἀριθμοῦ διαλαμβάνει· ἀντὶ γὰρ τῆς μονάδος λαμβάνει ἢ ἕνα ἄνθρωπον ἢ ἕνα ἵππον ἢ πηχυαῖον ξύλον καὶ τέμνει τὴν μονάδα εἰς ἥμισυ τρίτον ἕκτον καὶ εἰς τὰ τοιαῦτα. τῇ δὲ μουσικῇ ἡ ἔνυλος μουσικὴ παράκειται. καὶ ἰστέον ὅτι ἡ μὲν μουσικὴ τῷ | λόγῳ μόνῳ κέχρηται, ἡ δὲ ἔνυλος μουσικὴ τοῖς 155v ὀργάνοις οἷον τοῖς κυμβάλοις καὶ τοῖς αὐλοῖς. τῇ δὲ γεωμετρίᾳ ἡ γεωδαισία παράκειται. καὶ ἡ μὲν γεωμετρία τὸν λόγον τῶν μεγεθῶν καὶ τῶν σχημάτων παραδίδωσιν, ἡ δὲ γεωδαισία κέχρηται τῷ ἔργῳ καὶ τέμνει τὴν γῆν, ὅθεν καὶ γεωδαισία λέγεται παρὰ τὸν δασμὸν ἤτοι τὸν μερισμὸν τῆς γῆς. τῇ δὲ ἀστρονομίᾳ ἡ σφαιρικὴ παράκειται. ἀλλ' ἡ μὲν ἀστρονομία περὶ μόνα τὰ οὐράνια σώματα καταγίνεται, ἡ δὲ σφαιρικὴ περὶ πᾶσαν σφαῖραν καταγίνεται· λέγει γὰρ τὰ συμβαίνοντα ἑκάστῃ σφαίρᾳ, εἴτε ὀστρακίνη εἴη εἴτε ξυλίνη εἴτε λιθίνη, σκοποῦσα τὰ ὑπάρχοντα πάσῃ σφαίρᾳ, οὐ μόνῃ τῇ οὐρανίᾳ, ὡς Θεοδόσιος ἐν τοῖς σφαιρικοῖς διαλαμβάνει. καὶ ἔστιν ἡ σφαιρικὴ ἀυλοτέρα τῆς ἀστρονομίας ὡς διαλαμβάνουσα περὶ τῆς τῷ λόγῳ θεωρουμένης σφαίρας. ἰστέον δὲ ὅτι φησὶν ὁ Ὀλυμπιόδωρος ὡς τῶν μὲν ἄλλων μαθηματικῶν εἰδῶν μέχρι τοῦ νῦν φυλάττεται λείψανα, οἷον τῆς ἀριθμητικῆς τῆς γεωμετρίας τῆς ἀστρονομίας· περὶ δὲ τῆς μουσικῆς φησιν

---

1 μεριόνη K: μυριόνη T 2 τὴν δὲ γεωμετρίαν—χρήσιμον (8) post ἀστρονομίαν (11) colloc. KV οἱ om. T 5 μέτρον] μέρος V 6 ἄκεναν V¹ 6. 7 κένειν V¹ (bis) 8 ἀνεφάνη] εὑρέθη (in mrg. γρ. ἀνεφάνη) K: ἐφάνη V 9 κλήματι T οὗτοι om. V 9. 10 καθαρὸς καὶ ἀνέφελός ἐστιν ὁ οὐρανός colloc. V 11 ἤγουν] ἤτοι Brand. 13 δὲ καὶ ἐπὶ T 15 δὲ] γὰρ T 18 ἢ (ante ἕνα ἄνθρ.) om. V 20 εἰς (post καὶ) om. V 21 τῷ inc. pag. iter. K: om. T 22. 23 γεοδοσία V (const.) 25 ἤτοι τὸν] καὶ V 29 πάσῃ σφαίρᾳ] πῶς καὶ πλέει ἑκάστη σφαῖρα (corr. in mrg. m.²) V 30 μόνῃ] μόνα T: μόνον ἐν V Θεοδόσιος] locus in Theodosii Spaeric. ed. Hunt (Oxon. 1707) non invenitur 32 δὲ om. K Ὀλυμπ.] spectat comment. in Isag. 33 λείψανον TV 34 φασιν V¹

Digitized by Google

ἡμεῖς [μὲν] τῆς κλέος [ἐσθλὸν] οἷον ἀκούομεν οὐδέ τι ἴδμεν.
οὐδὲ γάρ, φησί, σώζεται λείψανα τῆς μουσικῆς. ἰστέον δὲ ὅτι εἰσὶ μέχρι τοῦ νῦν βιβλία μουσικά. πάνυ δὲ συμβάλλεται ἡ μουσικὴ οὐ μόνον ταῖς τῶν ἀλόγων ψυχαῖς ἀλλὰ καὶ τῶν λογικῶν. ὅτι δὲ συμβάλλεται ταῖς ψυχαῖς
5 τῶν ἀλόγων, δηλοῦσι τὰ πρόβατα ἑπόμενα τῇ ποιμενικῇ σύριγγι ὥσπερ ὑπὸ τῆς φωνῆς ἡδυνόμενα. ὅτι δὲ καὶ τῇ ψυχῇ τῶν λογικῶν ζῴων συμβάλλεται, δηλοῖ ἡ ἐν πολέμῳ σάλπιγξ τὴν ψυχὴν διεγείρουσα, καὶ τὰ θεατρικὰ δὲ ὄργανα δηλοῦσι τὴν ψυχὴν χαλῶντα διὰ τὸ ποιεῖν αὐτὴν ἥδεσθαι. ταῦτα ἐν οἷς σὺν θεῷ ἡ παροῦσα πρᾶξις.

10 Πρᾶξις κα'.

Μαθόντες ὅτι ἡ φιλοσοφία διαιρεῖται εἰς θεωρητικὸν καὶ πρακτικὸν καὶ ὅτι τὸ θεωρητικὸν διαιρεῖται εἰς φυσιολογικόν, μαθηματικόν, θεολογικόν, ἔλθωμεν καὶ εἴπωμεν κατὰ ποῖον τρόπον τῆς διαιρέσεως ἐγένετο ἐπὶ τούτων ἡ διαίρεσις· τοῦ γὰρ πρακτικοῦ τὴν διαίρεσιν ἐν τοῖς ἑξῆς λέγομεν. ἀλλ'
15 ἵνα τοῦτο μάθωμεν, εἴπωμεν πόσοι καὶ ποῖοί εἰσιν οἱ διαιρετικοὶ τρόποι. ἰστέον ὅτι φασί τινες ὀκτὼ εἶναι τοὺς διαιρετικοὺς τρόπους. εἰσὶ δὲ οὗτοι· οἱ ἀπὸ γένους εἰς εἴδη, ἀπὸ εἰδῶν εἰς ἄτομα, ἀπὸ ὅλων εἰς μέρη (καὶ τοῦτο διχῶς· ἢ γὰρ εἰς ὁμοιομερῆ γίνεται ἡ διαίρεσις ἢ εἰς ἀνομοιομερῆ), ἀπὸ ὁμωνύμου φωνῆς εἰς διάφορα σημαινόμενα, ἀπὸ οὐσίας εἰς συμβεβηκότα,
20 ἀπὸ συμβεβηκότων εἰς οὐσίας, ἀπὸ συμβεβηκότος πάλιν εἰς συμβεβηκότα, ἀφ' ἑνὸς πρὸς ἕν. καὶ ἀπὸ μὲν γένους εἰς εἴδη, ὡς ὅταν τὸ ζῷον διέλωμεν εἰς λογικὸν καὶ ἄλογον | (τὸ γὰρ ζῷον γένος ἐστὶ καὶ διαι- 156r
ρεῖται εἰς εἴδη, οἷον εἰς λογικὸν καὶ ἄλογον), ἀπὸ δὲ εἰδῶν εἰς ἄτομα, ὡς ὅταν τὸν καθόλου ἄνθρωπον διέλωμεν εἰς Σωκράτην Πλάτωνα Ἀλκι-
25 βιάδην καὶ τοὺς λοιπούς, ἀπὸ ὅλων εἰς μέρη ὁμοιομερῆ, ὡς ὅταν τὴν ὅλην φλέβα τέμωμεν εἰς μικρὰς φλέβας (ἐνταῦθα γὰρ ἀπὸ ὅλου ἐγένετο ἡ διαίρεσις καὶ εἰς ὁμοιομερῆ· καὶ γὰρ ὁμοιομερῆ λέγεται τὰ ἀλλήλοις καὶ τῷ ὅλῳ ὁμωνύμως λεγόμενα ὡς ἐπὶ τῆς φλεβὸς τῆς τεμνομένης εἰς μικρὰς φλέβας· καὶ γὰρ ἕκαστον τούτων ὁμωνύμως καὶ τῷ ὅλῳ καὶ
30 τοῖς λοιποῖς φλεψὶ λέγεται), ἀπὸ ὅλων δὲ εἰς μέρη ἀνομοιομερῆ, ὡς ὅταν

---

1 ἡμεῖς—ἀκούομεν] μὲν et ἐσθλὸν eiecit Brand.; cf. Hom. B 486 ἴδμεν] εἴδομεν V¹
2 οὐδὲ Vat. 2253: οὔτε KTV φησι post σώζεται colloc. TV λείψανον TV
3 post μουσικὴ add. καὶ συμβάλλεται V 4 ψυχαῖς τῶν ἀλ. colloc. V 6 τῆς om. V καὶ om. K 7 σάλπιξ TV 9 ἥδεσθαι] ἡδύνεσθαι TV 9 ταῦτα—πρᾶξις om. TV 12 μαθ. καὶ θεολ. K 15 μάθομεν V 17 οἱ om. V
20 ante ἀπὸ συμβεβηκότων add. καὶ V πάλιν om. V 21 ante ἀφ' ἑνὸς add. καὶ TV ἀπὸ γένους μὲν colloc. V 23 οἷον] τουτέστιν V 24 πλάτωνα σωκρ. colloc. V
24. 25 πλάτ. καὶ ἀλκιβ. T 25 τοὺς λοιπούς] εἰς τοὺς καθέκαστα ἀνθρώπους V
ὅλου T: ὅλων δὲ V ὁμοιομερῶς V 26 ὅλην om. T φλέβαν (pr. l.) V τέμνωμεν T 27 et p. 66,2 λέγονται V 30 λοιποῖς in lit. V² ἀνομοιομερῶς TV

Digitized by Google

Μηριόνη, τάχα κέν σε καὶ ὀρχηστήν περ ἐόντα.

τὴν δὲ γεωμετρίαν οἱ Αἰγύπτιοι εὗρον ἐξ ἀνάγκης· καὶ γὰρ τοῦ Νείλου συνεχῶς ἀνιόντος καὶ τὴν Αἴγυπτον ἐπικλύζοντος σύγχυσις τῶν ὁροθεσίων ἐγίνετο καὶ ἤρχοντο οἱ Αἰγύπτιοι εἰς μάχην καὶ ἐφόνευον ἀλλήλους καὶ λοιπὸν ἐκεῖθεν ἐπενόησαν μέτρον τι, δι' οὗ ἐμέτρουν τὴν γῆν καὶ ἑκάστου τὸ ἴδιον ἐφυλάττετο· ὅπερ μέτρον καὶ ἄκαιναν ἐκάλουν διὰ τὸ μὴ καίνειν, ὅ ἐστι φονεύειν, ἐπειδὴ δι' αὐτοῦ ἐστερήθησαν τοῦ καίνειν καὶ φονεύειν. οὕτως τῆς γεωμετρίας ἐξ ἀνάγκης ἀνεφάνη τὸ χρήσιμον. τὴν δὲ ἀστρονομίαν οἱ Χαλδαῖοι· καὶ γὰρ ἐν τῷ κλίματι, ἐν ᾧ εἰσιν οὗτοι, καθαρός ἐστιν ὁ οὐρανὸς καὶ ἀνέφελος, καὶ εὐχερῶς ἐκεῖθεν ἐπενόησαν τὴν περὶ τῶν οὐρανίων σωμάτων διδασκαλίαν ἤγουν τὴν ἀστρονομίαν. ταῦτα μὲν καὶ τὸ τέταρτον κεφάλαιον.

Ἔλθωμεν δὲ ἐπὶ τὸ πέμπτον καὶ εἴπωμεν τί παράκειται τούτοις τοῖς εἴδεσιν. ἰστέον ὅτι τῇ ἀριθμητικῇ ἡ λογιστικὴ παράκειται. διαφέρουσι δὲ ἀλλήλων, ὅτι ἡ μὲν ἀριθμητικὴ τὴν φύσιν αὐτὴν τῶν ἀριθμῶν ζητεῖ καὶ περὶ τοῦ καθ' ἑαυτὸν νοουμένου ἀριθμοῦ διαλαμβάνει καὶ οὐ τέμνει τὴν μονάδα, ἡ δὲ λογιστικὴ περὶ τοῦ ἐν τοῖς πράγμασι θεωρουμένου ἀριθμοῦ διαλαμβάνει· ἀντὶ γὰρ τῆς μονάδος λαμβάνει ἢ ἕνα ἄνθρωπον ἢ ἕνα ἵππον ἢ πηχυαῖον ξύλον καὶ τέμνει τὴν μονάδα εἰς ἥμισυ τρίτον ἕκτον καὶ εἰς τὰ τοιαῦτα. τῇ δὲ μουσικῇ ἡ ἔνυλος μουσικὴ παράκειται. καὶ ἰστέον ὅτι ἡ μὲν μουσικὴ τῷ | λόγῳ μόνῳ κέχρηται, ἡ δὲ ἔνυλος μουσικὴ τοῖς 155v ὀργάνοις οἷον τοῖς κυμβάλοις καὶ τοῖς αὐλοῖς. τῇ δὲ γεωμετρίᾳ ἡ γεωδαισία παράκειται. καὶ ἡ μὲν γεωμετρία τὸν λόγον τῶν μεγεθῶν καὶ τῶν σχημάτων παραδίδωσιν, ἡ δὲ γεωδαισία κέχρηται τῷ ἔργῳ καὶ τέμνει τὴν γῆν, ὅθεν καὶ γεωδαισία λέγεται παρὰ τὸν δασμὸν ἤτοι τὸν μερισμὸν τῆς γῆς. τῇ δὲ ἀστρονομίᾳ ἡ σφαιρικὴ παράκειται. ἀλλ' ἡ μὲν ἀστρονομία περὶ μόνα τὰ οὐράνια σώματα καταγίνεται, ἡ δὲ σφαιρικὴ περὶ πᾶσαν σφαῖραν καταγίνεται· λέγει γὰρ τὰ συμβαίνοντα ἑκάστῃ σφαίρᾳ, εἴτε ὀστρακίνη εἴη εἴτε ξυλίνη εἴτε λιθίνη, σκοποῦσα τὰ ὑπάρχοντα πάσῃ σφαίρᾳ, οὐ μόνῃ τῇ οὐρανίᾳ, ὡς Θεοδόσιος ἐν τοῖς σφαιρικοῖς διαλαμβάνει. καὶ ἔστιν ἡ σφαιρικὴ ἀυλοτέρα τῆς ἀστρονομίας ὡς διαλαμβάνουσα περὶ τῆς τῷ λόγῳ θεωρουμένης σφαίρας. ἰστέον δὲ ὅτι φησὶν ὁ Ὀλυμπιόδωρος ὡς τῶν μὲν ἄλλων μαθηματικῶν εἰδῶν μέχρι τοῦ νῦν φυλάττεται λείψανα, οἷον τῆς ἀριθμητικῆς τῆς γεωμετρίας τῆς ἀστρονομίας· περὶ δὲ τῆς μουσικῆς φησιν

---

1 μεριόνη K: μυριόνη T 2 τὴν δὲ γεωμετρίαν—χρήσιμον (8) post ἀστρονομίαν (11) colloc. KV οἱ om. T 5 μέτρον] μέρος V 6 ἄκεναν V¹ 6. 7 κένειν V¹ (bis) 8 ἀνεφάνη] εὑρέθη (in mrg. γρ. ἀνεφάνη) K: ἐφάνη V 9 κλήματι T οὗτοι om. V 9. 10 καθαρὸς καὶ ἀνέφελός ἐστιν ὁ οὐρανός colloc. V 11 ἤγουν] ἤτοι Brand. 13 δὲ καὶ ἐπὶ T 15 δὲ] γὰρ T 18 ἢ (ante ἕνα ἄνθρ.) om. V 20 εἰς (post καὶ) om. V 21 τῷ inc. pag. iter. K: om. T 22. 23 γεοδοσία V (const.) 25 ἤτοι τὸν] καὶ V 29 πάσῃ σφαίρᾳ] πῶς καὶ πλέει ἑκάστη σφαῖρα (corr. in mrg. m.²) V 30 μόνῃ] μόνα T: μόνον ἐν V Θεοδόσιος] locus in Theodosii Spaeric. ed. Hunt (Oxon. 1707) non invenitur 32 δὲ om. K Ὀλυμπ.] spectat comment. in Isag. 33 λείψανον TV 34 φασιν V¹

Digitized by Google

ἡμεῖς [μὲν] τῆς κλέος [ἐσθλὸν] οἷον ἀκούομεν οὐδέ τι ἴδμεν.
οὐδὲ γάρ, φησί, σώζεται λείψανα τῆς μουσικῆς. ἰστέον δὲ ὅτι εἰσὶ μέχρι τοῦ νῦν βιβλία μουσικά. πάνυ δὲ συμβάλλεται ἡ μουσικὴ οὐ μόνον ταῖς τῶν ἀλόγων ψυχαῖς ἀλλὰ καὶ τῶν λογικῶν. ὅτι δὲ συμβάλλεται ταῖς ψυχαῖς
5 τῶν ἀλόγων, δηλοῦσι τὰ πρόβατα ἑπόμενα τῇ ποιμενικῇ σύριγγι ὥσπερ ὑπὸ τῆς φωνῆς ἡδυνόμενα. ὅτι δὲ καὶ τῇ ψυχῇ τῶν λογικῶν ζῴων συμβάλλεται, δηλοῖ ἡ ἐν πολέμῳ σάλπιγξ τὴν ψυχὴν διεγείρουσα, καὶ τὰ θεατρικὰ δὲ ὄργανα δηλοῦσι τὴν ψυχὴν χαλῶντα διὰ τὸ ποιεῖν αὐτὴν ἥδεσθαι. ταῦτα ἐν οἷς σὺν θεῷ ἡ παροῦσα πρᾶξις.

10 Πρᾶξις κα'.

Μαθόντες ὅτι ἡ φιλοσοφία διαιρεῖται εἰς θεωρητικὸν καὶ πρακτικὸν καὶ ὅτι τὸ θεωρητικὸν διαιρεῖται εἰς φυσιολογικόν, μαθηματικόν, θεολογικόν, ἔλθωμεν καὶ εἴπωμεν κατὰ ποῖον τρόπον τῆς διαιρέσεως ἐγένετο ἐπὶ τούτων ἡ διαίρεσις· τοῦ γὰρ πρακτικοῦ τὴν διαίρεσιν ἐν τοῖς ἑξῆς λέγομεν. ἀλλ'
15 ἵνα τοῦτο μάθωμεν, εἴπωμεν πόσοι καὶ ποῖοί εἰσιν οἱ διαιρετικοὶ τρόποι. ἰστέον ὅτι φασί τινες ὀκτὼ εἶναι τοὺς διαιρετικοὺς τρόπους. εἰσὶ δὲ οὗτοι· οἱ ἀπὸ γένους εἰς εἴδη, ἀπὸ εἰδῶν εἰς ἄτομα, ἀπὸ ὅλων εἰς μέρη (καὶ τοῦτο διχῶς· ἢ γὰρ εἰς ὁμοιομερῆ γίνεται ἡ διαίρεσις ἢ εἰς ἀνομοιομερῆ), ἀπὸ ὁμωνύμου φωνῆς εἰς διάφορα σημαινόμενα, ἀπὸ οὐσίας εἰς συμβεβηκότα,
20 ἀπὸ συμβεβηκότων εἰς οὐσίας, ἀπὸ συμβεβηκότος πάλιν εἰς συμβεβηκότα, ἀφ' ἑνὸς πρὸς ἕν. καὶ ἀπὸ μὲν γένους εἰς εἴδη, ὡς ὅταν τὸ ζῷον διέλωμεν εἰς λογικὸν καὶ ἄλογον | (τὸ γὰρ ζῷον γένος ἐστὶ καὶ διαι- 156r
ρεῖται εἰς εἴδη, οἷον εἰς λογικὸν καὶ ἄλογον), ἀπὸ δὲ εἰδῶν εἰς ἄτομα, ὡς ὅταν τὸν καθόλου ἄνθρωπον διέλωμεν εἰς Σωκράτην Πλάτωνα Ἀλκι-
25 βιάδην καὶ τοὺς λοιπούς, ἀπὸ ὅλων εἰς μέρη ὁμοιομερῆ, ὡς ὅταν τὴν ὅλην φλέβα τέμωμεν εἰς μικρὰς φλέβας (ἐνταῦθα γὰρ ἀπὸ ὅλου ἐγένετο ἡ διαίρεσις καὶ εἰς ὁμοιομερῆ· καὶ γὰρ ὁμοιομερῆ λέγεται τὰ ἀλλήλοις καὶ τῷ ὅλῳ ὁμωνύμως λεγόμενα ὡς ἐπὶ τῆς φλεβὸς τῆς τεμνομένης εἰς μικρὰς φλέβας· καὶ γὰρ ἕκαστον τούτων ὁμωνύμως καὶ τῷ ὅλῳ καὶ
30 τοῖς λοιποῖς φλὲψ λέγεται), ἀπὸ ὅλων δὲ εἰς μέρη ἀνομοιομερῆ, ὡς ὅταν

---

1 ἡμεῖς—ἀκούομεν] μὲν et ἐσθλὸν eiecit Brand.; cf. Hom. B 486 ἴδμεν] εἴδομεν V¹ 2 οὐδὲ Vat. 2253: οὔτε KTV φησι post σώζεται colloc. TV λείψανον TV 3 post μουσικὴ add. καὶ συμβάλλεται V 4 ψυχαῖς τῶν ἀλ. colloc. V 6 τῆς om. V καὶ om. K 7 σάλπιξ TV 9 ἥδεσθαι] ἡδύνεσθαι TV 9 ταῦτα—πρᾶξις om. TV 12 μαθ. καὶ θεολ. K 15 μάθομεν V 17 οἱ om. V 20 ante ἀπὸ συμβεβηκότων add. καὶ V πάλιν om. V 21 ante ἀφ' ἑνὸς add. καὶ TV ἀπὸ γένους μὲν colloc. V 23 οἷον] τουτέστιν V 24 πλάτωνα σωκρ. colloc. V 24. 25 πλάτ. καὶ ἀλκιβ. T 25 τοὺς λοιποὺς] εἰς τοὺς καθέκαστα ἀνθρώπους V ὅλου T: ὅλων δὲ V ὁμοιομερῶς V 26 ὅλην om. T φλέβαν (pr. l.) V τέμνωμεν T 27 et p. 66,2 λέγονται V 30 λοιποῖς in lit. V² ἀνομοιομερῶς TV

Digitized by Google

τὴν κεφαλὴν ὅλην διέλωμεν εἰς ὦτα ῥῖνα ὀφθαλμούς (ἐνταῦθα γὰρ ἀπὸ ὅλου ἐγένετο ἡ διαίρεσις εἰς ἀνομοιομερῆ· καὶ γὰρ ἀνομοιομερῆ λέγεται τὰ μήτε ἀλλήλοις μήτε τῷ ὅλῳ ὁμωνύμως λεγόμενα· οὔτε γὰρ τὰ ὦτα λέγεται κεφαλὴ οὔτε ἡ ῥὶν οὔτε οἱ ὀφθαλμοί. οὔτε δὲ ἀλλήλοις ὁμωνύμως λέγονται· οὔτε γὰρ τὸ οὗς λέγεται ῥὶν οὔτε ἡ ῥὶν ὀφθαλμός), ἀπὸ ὁμωνύμου δὲ φωνῆς εἰς διάφορα σημαινόμενα, ὡς ὅταν ἡ κύων φωνὴ διαιρῆται εἴς τε τὸν θαλάττιον κύνα καὶ τὸν χερσαῖον καὶ τὸν ἀστρῷον, ἀπὸ οὐσίας δὲ εἰς συμβεβηκότα, ὡς ὅταν εἴπωμεν ὅτι τῶν ἀνθρώπων οἱ μὲν λευκοὶ οἱ δὲ μέλανες (ἐνταῦθα γὰρ εἰς τὸ λευκὸν καὶ τὸ μέλαν, ἅτινα συμβεβηκότα εἰσίν, ἐγένετο ἡ διαίρεσις), ἀπὸ συμβεβηκότος δὲ εἰς οὐσίας, ὡς ὅταν εἴπωμεν ὅτι τοῦ λευκοῦ τὸ μέν ἐστι χιὼν τὸ δὲ ψιμύθιον τὸ δὲ κύκνος (ἀπὸ γὰρ τοῦ λευκοῦ, ὅπερ ἐστὶ συμβεβηκός, ἐγένετο ἡ διαίρεσις εἰς χιόνα καὶ κύκνον καὶ ψιμύθιον, ἅτινα οὐσίαι εἰσίν), ἀπὸ συμβεβηκότος δὲ εἰς συμβεβηκότα, ὡς ὅταν εἴπωμεν ὅτι τῶν λευκῶν τὰ μὲν θερμά ἐστι τὰ δὲ ψυχρά, καὶ θερμὰ μὲν ὡς ἐπὶ τῆς ἀσβέστου, ψυχρὰ δὲ ὡς ἐπὶ τῆς χιόνος (ἰδοὺ γὰρ ἐνταῦθα ἀπὸ τοῦ λευκοῦ, ὅπερ ἐστὶ συμβεβηκός, ἐγένετο ἡ διαίρεσις εἰς θερμὸν καὶ ψυχρόν, ἅτινα καὶ αὐτὰ συμβεβηκότα εἰσίν), ἀφ' ἑνὸς δὲ καὶ πρὸς ἕν, ὡς ὅταν ἀπὸ μὲν τῆς ἰατρικῆς εἴπωμεν ἰατρικὸν βιβλίον ἰατρικὸν φάρμακον ἰατρικὴ ἔμπλαστρος (ἰδοὺ ταῦτα ἀφ' ἑνός εἰσιν· ἀπὸ γὰρ μιᾶς τῆς ἰατρικῆς ὠνομάσθησαν), πρὸς ἓν δέ, ὡς ὅταν ἀπὸ τοῦ τέλους, φημὶ δὲ τῆς ὑγείας, εἴπωμεν ὑγιεινὸν βιβλίον ὑγιεινὸν φάρμακον ὑγιεινὴ ἔμπλαστρος· πρὸς ἓν γὰρ πρᾶγμα, τὴν ὑγίειαν, ἀφορῶντες ὠνομάσαμεν αὐτά. ταῦτα μὲν οὕτως.

Ἔστι δὲ εἰπεῖν ὅτι οὐκ εἰσὶ κυρίως τρόποι διαιρετικοὶ ὀκτὼ ἀλλὰ τρεῖς· ὁ ἀπὸ γένους εἰς εἴδη, ὁ ἀπὸ ὅλων εἰς μέρη καὶ ὁ ἀπὸ ὁμωνύμου φωνῆς εἰς διάφορα σημαινόμενα· οἱ γὰρ ἄλλοι τρόποι οὐ δύνανται συστῆναι· οὐ γὰρ δύναται ἀπὸ | εἰδῶν εἰς ἄτομα γίνεσθαι διαίρεσις, ἐπειδὴ τὰ ἄτομα 156v ἄπειρά εἰσι· καὶ γὰρ οἱ κατὰ μέρος ἄνθρωποι ἄπειροί εἰσι καὶ ἀπερίληπτοι. ἄπειροι δὲ ὄντες καὶ ἀπερίληπτοι οὐ δύνανται διαιρέσει καθυποβληθῆναι· ἐν ὅσῳ γάρ τις θέλει διαιρέσει τοὺς ἐν τῇδε τῇ πόλει ἀνθρώπους καθυποβάλλειν, οἱ μὲν γεννῶνται οἱ δὲ φθείρονται, καὶ οὐδέποτε τοῦ τέλους

---

1 ῥίνας V 2 ὅλων ἐγίνετο V 3 post λεγόμενα add. ὡς ὅταν τὴν κεφαλὴν τέμωμεν εἰς ὦτα ῥῖνα (καὶ superscr.) ὀφθαλμούς· ταῦτα γὰρ οὔτε τῷ ὅλῳ ὁμωνύμως λέγονται V λέγεται] λέγονται V 5 τὸ om. K ἡ corr. ex οἱ K ὀφθαλμοί KT 6 ὅταν . . διαιρῆται] ὅτε . . διαιρεῖται KV 8 ὅτι om. K οἱ μὲν τῶν ἀνθρ. colloc. T 9 συμβεβηκότα coni. Wellm.: συμβεβηκός KTV 9. 12 ἐγίνετο V 11 ψυμμίθιον T: ψιμμύθιον K (const.) 12 καὶ (ante κύκνον) om. TV 13 καὶ (ante ψιμ.) om. V δὲ om. KV. 14 εἰσι TV 16 τοῦ om. V ὅπερ ἐστὶ συμβ. post διαίρεσις colloc. V 17 ἅπερ ἐστὶ καὶ αὐτὰ συμβ. V καὶ (ante πρὸς) om. V 20 δὲ] δὴ T 21 ὑγιείας V 22 ὑγείαν V 24 ὀκτὼ ἀλλὰ] εἰ μὴ V 25 post εἴδη add. καὶ TV ὅλου T 26 συστῆναι] στῆναι V¹ 27 δύναται γὰρ colloc. V γενέσθαι T ἡ διαίρεσις T 30 θέλει τις colloc. V 30. 31 καθυποβαλεῖν (sic) ἀνθρ. V 31 γεννῶνται V

Digitized by Google

ἐφικνεῖται. ἀλλ' οὔτε δὲ ἀπὸ συμβεβηκότος εἰς οὐσίας γίνεται διαίρεσις· τὸ γὰρ λέγειν ὅτι τοῦ λευκοῦ τὸ μέν ἐστι κύκνος τὸ δὲ ψιμύθιον τὸ δὲ χιὼν οὐκ ἔστι διαίρεσις συμβεβηκότος εἰς οὐσίας· οὐδὲ γὰρ τὸ λευκὸν τὸ καθ' ἑαυτὸ θεωρούμενον διεῖλον, ἀλλὰ τὸ σῶμα τὸ λευκόν, ὅπερ ἐστὶν
5 οὐσία· οὐδὲ γὰρ δύνανται τὴν λευκότητα διελεῖν εἰς ψιμύθιον καὶ κύκνον καὶ χιόνα, ἐπειδὴ ἡ λευκότης συμβεβηκός ἐστι, ταῦτα δὲ οὐσίαι εἰσίν, οὐ δύναται δὲ τὸ συμβεβηκὸς εἰς οὐσίας διαιρεῖσθαι· καὶ γὰρ τὸ διαιρούμενον εἰς ὅμοια θέλει διαιρεῖσθαι, οὐκ εἰς ἀνόμοια, οἷον τὸ ζῷον εἰς ζῷα διαιρεῖται, οὐ μὴν εἰς μὴ ζῷα, καὶ τὸ λογικὸν εἰς λογικά, οὐ μὴν εἰς ἄλογα,
10 καὶ τὸ θνητὸν εἰς θνητά, οὐ μὴν εἰς ἀθάνατα. πῶς οὖν τὸ συμβεβηκὸς εἰς οὐσίας δύναται διαιρεῖσθαι; ἀλλ' οὔτε δὲ ἀπὸ οὐσίας εἰς συμβεβηκότα γίνεται διαίρεσις· τὸ γὰρ λέγειν ὅτι τῶν ἀνθρώπων οἱ μέν εἰσι λευκοὶ οἱ δὲ μέλανες οὐκ ἔστι διαίρεσις ἀπὸ οὐσίας εἰς συμβεβηκότα ἀλλ' ἀπὸ οὐσίας εἰς οὐσίας ἐχούσας συμβεβηκότα· εἰς γὰρ ἀνθρώπους μέλανας καὶ
15 λευκοὺς ἐγένετο ἡ διαίρεσις, οἵτινες οὐσίαι εἰσίν. ἀλλ' οὔτε δὲ ἀπὸ συμβεβηκότος εἰς συμβεβηκότα γίνεται διαίρεσις· ἢ γὰρ ἀπὸ γένους εἰς εἴδη γίνεται ἡ διαίρεσις, ὡς ὅταν εἴπωμεν ὅτι τὸ χρῶμα διαιρεῖται εἰς εἴδη λευκὸν καὶ μέλαν (τὸ χρῶμα γὰρ γένος ἐστὶ καὶ διαιρεῖται εἰς εἴδη λευκὸν καὶ μέλαν, ὅπερ ἀνάγεται ὑπὸ τὸν διαιρετικὸν τρόπον τὸν ἀπὸ
20 γένους εἰς εἴδη), ἢ ὡς ἀπὸ οὐσίας εἰς οὐσίας, καὶ οὐκέτι ἀπὸ συμβεβηκότος εἰς συμβεβηκότα γίνεται ἡ διαίρεσις· τὸ γὰρ λέγειν ὅτι τῶν λευκῶν τὰ μὲν θερμά εἰσι τὰ δὲ ψυχρὰ ἀπὸ οὐσίας εἰς οὐσίας ἐστὶ διαίρεσις· τὸ γὰρ σῶμα τὸ λευκόν, ὅπερ ἐστὶν οὐσία, διεῖλον εἰς σῶμα θερμὸν καὶ ψυχρόν. καὶ ταῦτα δὲ οὐσίαι εἰσίν· οὐδὲ γὰρ δύνανται τὸ λευκὸν καθ' ἑαυτὸ
25 θεωρούμενον ἤγουν τὴν λευκότητα διελεῖν εἰς σῶμα θερμὸν καὶ ψυχρόν, ἐπειδὴ τὸ λευκὸν καθ' ἑαυτὸ θεωρούμενον οὔτε θερμόν ἐστιν οὔτε ψυχρόν. ἀλλ' οὔτε δὲ τὰ ἀφ' ἑνὸς καὶ πρὸς ἕν ἐστι διαίρεσις, ἀλλὰ ἀπαρίθμησις· τὰ γὰρ ἀφ' ἑνὸς καὶ πρὸς ἓν ἀόριστα καὶ ἀπερίληπτά εἰσι· δύναται γάρ τις εἰπεῖν 'ἰατρικὸν βιβλίον ἰατρικὴ δίαιτα ἰατρικὴ ἔμπλαστρος ἰατρικὸς
30 οἶνος ἰατρικὸν ἔλαιον' καὶ ἄλλα ἄπειρα, καὶ πάλιν 'ὑγιεινὸς οἶνος ὑγιεινὴ δίαιτα ὑγιεινὸν βιβλίον'. ἄπειρα δὲ καὶ ἀπερίληπτα ὄντα πῶς δύνανται διαιρέσει καθυποβληθῆναι; ὥστε οὖν κυρίως τρεῖς τρόποι εἰσὶ μόνοι διαι-

---

1 ἀπὸ συμβεβηκότος iter. T οὐσίας scripsi: οὐσίαν libri 3 οὐσίας] οὐσίαν K
5. 24 δύναται K 6 συμβεβηκότος K 7 καὶ γὰρ—δύναται διαιρεῖσθαι (11) om. K 9 εἰς λογικά iter. T 12 ὅτι om. K 13 ἔστι] ἐγένετο V
ἡ διαίρεσις V 13. 14 ἀλλ'—συμβεβηκότα in mrg. suppl. V² 15 δὲ] καὶ V
17 γίνεται om. V ὅτι om. V 17. 18 εἰς εἴδη εἰς V (bis) 18. 19 τὸ χρῶμα—μέλαν in mrg. suppl. V² 18 γὰρ χρῶμα colloc. V 19 ὅπερ ἀνάγεται] ὅστις ἐπάγεται V¹: καὶ ἀνάγεται V² 20 post οὐκέτι add. ὡς V
22 ἐστὶ διαίρ.] ἐγίνετο ἡ διαίρ. V 23 οὐσία ἐστὶν colloc. V 23. 24 ψυχρὸν καὶ θερμόν colloc. K 24 ταῦτα Vat. 2253: αὐτὰ KT: αὗται V 27 ἀλλ' om. T τὰ] τὸ T 29 τις om. TV 30 οἶνος] οἶκος V post ἔλαιον add. φάρμακον ἴασις V² 31 δύναται V 32 διαιρ.] συναιρέσει T
μόνοι om. V

Digitized by Google

ρετικοί· ὁ ἀπὸ γένους εἰς εἴδη, ὁ ἀπὸ ὅλων εἰς μέρη, ὁ ἀπὸ ὁμωνύμου φωνῆς εἰς διάφορα σημαινόμενα.

Ἔστι δὲ ἀπὸ | διαιρέσεώς τινος παραδοῦναι τοὺς διαιρετικοὺς τρόπους τούς τε κυρίως καὶ τοὺς ἀσυστάτους· ἔστι γὰρ εἰπεῖν ὅτι τὸ διαιρούμενον ἢ καθ' ἑαυτὸ διαιρεῖται ἢ κατὰ συμβεβηκός. καὶ εἰ μὲν καθ' ἑαυτό, ἢ ὡς πρᾶγμα διαιρεῖται ἢ ὡς φωνή. καὶ εἰ μὲν ὡς πρᾶγμα, γίνεται ὁ ἀπὸ ὅλων εἰς μέρη καὶ ὁ ἀπὸ εἰδῶν εἰς ἄτομα καὶ ὁ ἀφ' ἑνὸς ⟨καὶ⟩ πρὸς ἕν (ταῦτα γὰρ ὡς πράγματα διαιροῦνται), εἰ δὲ ὡς φωνή, γίνεται ὁ ἀπὸ ὁμωνύμου φωνῆς εἰς διάφορα σημαινόμενα. εἰ δὲ κατὰ συμβεβηκός, γίνονται οἱ λοιποὶ τρόποι, τοῦτ' ἔστιν ὁ ἀπὸ οὐσίας εἰς συμβεβηκότα καὶ ὁ ἀπὸ συμβεβηκότος εἰς οὐσίας καὶ ὁ ἀπὸ συμβεβηκότος εἰς συμβεβηκότα· ταῦτα γὰρ κατὰ συμβεβηκὸς ἐγένοντο· ἐπειδὴ γὰρ συνέβη τῶν ἀνθρώπων τοὺς μὲν λευκοὺς εἶναι τοὺς δὲ μέλανας, τούτου χάριν ἐκ τοῦ συμβάντος ἐπενόησαν ἄλλον τρόπον διαιρέσεως καὶ εἶπον ὅτι ἔστι καὶ ὁ ἀπὸ οὐσίας εἰς συμβεβηκότα. καὶ πάλιν ἐπειδὴ συνέβη τῶν λευκῶν τὰ μὲν εἶναι θερμὰ τὰ δὲ ψυχρά, ἐκ τοῦ συμβάντος ἐπενόησαν ἄλλον τρόπον διαιρέσεως καὶ εἶπον ὅτι ἔστι καὶ ὁ ἀπὸ συμβεβηκότον εἰς συμβεβηκότα. καὶ ἐπὶ τοῦ ἄλλου δέ, φημὶ τοῦ ἀπὸ συμβεβηκότος εἰς οὐσίας, τὸ αὐτὸ ἔστιν εἰπεῖν. ταῦτα ἐν οἷς σὺν θεῷ καὶ ἡ παροῦσα πρᾶξις.

Πρᾶξις κβ'.

Εἰπόντες τοὺς διαιρετικοὺς τρόπους, ἔλθωμεν καὶ εἴπωμεν κατὰ ποῖον τρόπον διαιρεῖται ἡ φιλοσοφία εἰς θεωρητικὸν καὶ πρακτικόν. ἰστέον ὅτι ἀπὸ γένους εἰς εἴδη οὐ δύναται διαιρεῖσθαι, ἐπειδὴ ἐν τοῖς ἀντιδιαιρουμένοις εἴδεσιν οὐκ ἔστι τὸ πρότερον καὶ ὕστερον· οἷον τὸ ζῷον διαιρεῖται εἰς λογικὸν καὶ ἄλογον, καὶ οὔτε τὸ λογικὸν πρότερον ἐγένετο οὔτε τὸ ἄλογον, ἀλλ' ἅμα ἐγένοντο. εἰ δὲ ἐν τούτοις ἐστὶ τὸ πρότερον καὶ ὕστερον (πρότερον γάρ ἐστι τὸ θεωρητικὸν καὶ ὕστερον τὸ πρακτικόν· διὰ γὰρ τῆς θεωρίας καὶ τοῦ λόγου ἔρχεταί τις ἐπὶ τὴν πρᾶξιν καὶ ῥυθμίζει ἑαυτόν, ἐπεὶ εἰ μὴ τοῦτο γένηται, εὑρίσκεται ἡ πρᾶξις ἄλογος), δῆλον ὅτι οὐκ ἐγένετο ἡ διαίρεσις ὡς ἀπὸ γένους εἰς εἴδη. ἄλλως τε δὲ ἐν τοῖς ἀντιδιαιρουμένοις εἴδεσιν οὐ δεῖται τὸ ἕτερον τοῦ ἑτέρου πρὸς σύστασιν, οἷον τὸ λογικὸν οὐ δεῖται τοῦ ἀλόγου πρὸς σύστασιν οὔτε τὸ ἄλογον τοῦ λογικοῦ· εἰ δὲ τὸ

---

1 post μέρη add. καὶ ὁ ἀπὸ εἰδῶν εἰς ἄτομα del. V 3 ante ἔστι δὲ ἀπὸ addita ἔστι δὲ ἀπὸ διαιρέσεώς τινος παραδοῦναι τοὺς διαιρετικοὺς τρόπους τούς τε κυρίως καὶ τοὺς ἀπὸ ὁμωνύμου φωνῆς εἰς διάφορα σημαινόμενα del. K διαιρέσεως—οὐκ εἰσὶν οὐσίαι (p. 70,2) om. K 4 post κυρίως add. τρόπους V 6 διαιρεῖται ex θεωρεῖται corr. T 7 tert. καὶ addidi (cf. p. 66,18 67,28) 8 ὁ (post γίνεται) om. T 10 λοιποὶ Vat. 2253: ὅλοι T: πολλοὶ V 13. 14 ἐπενοήσαν] ἐνόησαν T 14 ὁ Vat. 2253: om. TV 17 ὁ om. T 18 ἀπὸ om. V 18. 19 ταῦτα—πρᾶξις om. T 23 διαιρ.] θεωρεῖσθαι T ἀντιδιαιρ.] διαιρ. V 25 καὶ (ante οὔτε) om. T τὸ (ante λογ.) supra scr. V 26 τὸ (ante πρότερον) om. V 31. 32 οἷον τὸ λογ. οὐ δεῖται τοῦ λογικοῦ (sic) suppl. V² 32 πρὸς σύστασιν om. V

Digitized by Google

πρακτικὸν δεῖται τοῦ θεωρητικοῦ πρὸς σύστασιν (δεῖται γὰρ τῆς θεωρίας τὸ πρακτικόν, δι' ἧς ἑαυτόν τις ῥυθμίζει), δῆλον ὅτι οὐκ ἐγένετο ἡ διαίρεσις ὡς ἀπὸ γένους εἰς εἴδη. ἔτι δὲ ἐν τοῖς ἀντιδιαιρουμένοις εἴδεσιν οὐ θεωρεῖται τὸ ἕτερον ἐν τῷ ἑτέρῳ, οἷον ἐν τῷ λογικῷ οὐ θεωρεῖται τὸ
5 ἄλογον οὔτε ἐν τῷ ἀλόγῳ τὸ λογικόν· εἰ ἄρα δὲ ἐν τῷ πρακτικῷ θεωρεῖται τὸ θεωρητικόν (ἡ γὰρ πρᾶξις διὰ τῆς θεωρίας γίνεται· μετὰ λόγου γὰρ ὑποτάττει ⟨τις⟩ τὰ πάθη καὶ οὐκ ἀλόγως), δῆλον ὅτι οὐκ ἐγένετο ἡ διαίρεσις ὡς ἀπὸ γένους εἰς εἴδη. ἔτι δὲ ἐν τοῖς ἀντιδιαιρουμένοις εἴδεσιν οὐδέποτε τὰ τέλη συνυπάρχουσιν· οἷον τέλος τοῦ μὲν λογικοῦ ἐστι τὸ κεχρῆσθαι
10 λόγῳ τοῦ δὲ ἀλόγου τὸ μὴ κεχρῆσθαι λόγῳ, καὶ οὐχ ὑπάρχει οὔτε τὸ τέλος τοῦ λογικοῦ ἐν τῷ τέλει τοῦ ἀλόγου οὔτε τὸ τέλος τοῦ ἀλόγου ἐν τῷ τέλει τοῦ λογικοῦ· εἰ ἄρα δὲ τὸ τέλος τοῦ θεωρητικοῦ ἐμπεριέχεται ἐν τῷ τέλει τοῦ πρακτικοῦ, δῆλον ὅτι οὐκ ἐγένετο ἡ διαίρεσις ὡς ἀπὸ γένους εἰς εἴδη· καὶ γὰρ τέλος τοῦ μὲν θεωρητικοῦ ἐστιν ἡ ἀλήθεια (τοῦτο
15 γὰρ βούλεται ὁ θεωρητικὸς τὸ γνῶναι τὴν ἐν τοῖς οὖσιν ἀλήθειαν), τοῦ δὲ πρακτικοῦ τέλος ἐστὶ τὸ ἀγαθόν (τοῦτο γὰρ βούλεται ὁ πρακτικὸς τὸ κρατῆσαι τῶν παθῶν καὶ κοσμῆσαι ἑαυτόν, ὅπερ ἀγαθόν ἐστιν), τὸ δὲ ἀληθὲς ἐμπεριέχεται ἐν τῷ ἀγαθῷ· ἀγαθὸν γάρ ἐστι τὸ ἀληθές. ἀλλ' οὔτε δὲ ὡς ἀπὸ εἴδους εἰς ἄτομα δύναται γενέσθαι ἡ διαίρεσις, ἐπειδὴ τὰ ἄτομα
20 ἄπειρα καὶ ἀπερίληπτά εἰσιν (ὁ γὰρ καθόλου ἄνθρωπος διαιρεῖται εἰς πολλοὺς ἀνθρώπους), ταῦτα δὲ οὐκ εἰσιν ἄπειρα· δύο γὰρ μόνα εἰσίν· ἔστι γὰρ τὸ θεωρητικὸν καὶ πρακτικόν. ἄλλως τε δὲ τὰ ἄτομα δακτύλῳ δείκνυνται (τὸν γὰρ Σωκράτην δακτύλῳ τις δείκνυσι λέγων ὅτι οὗτός ἐστι), ταῦτα δὲ οὐ δείκνυνται δακτύλῳ· πῶς γάρ, ὅπου ἀσώματά εἰσιν; ἔτι δὲ τὰ ἄτομα
25 οὐ τέμνονται (ὁ γὰρ Σωκράτης οὐχ ὡς ἄτομον τέμνεται ἀλλ' ὡς ὅλον εἰς μέρη)· εἰ ἄρα δὲ ταῦτα τέμνονται (καὶ γὰρ καὶ τὸ θεωρητικὸν διαιρεῖται, ὡς ἐδείξαμεν, καὶ τὸ πρακτικόν, ὡς δειχθήσεται), δῆλον ὅτι οὐκ εἰσιν ἄτομα· οὐκ ἄρα οὖν ὡς ἀπὸ εἴδους εἰς ἄτομα ἐγένετο ἡ διαίρεσις. ἀλλ' οὔτε δὲ ὡς ἀπὸ ὁμωνύμου φωνῆς εἰς διάφορα σημαινόμενα ἐγένετο ἡ διαίρεσις,
30 ἐπειδὴ ἐν τοῖς ὁμωνύμοις οὐκ ἔστι τὸ πρότερον καὶ ὕστερον (οὐδὲ γὰρ λέγουσι τὸν ἀστρῷον κύνα πρὸ τοῦ χερσαίου εἶναι ἢ τὸν χερσαῖον πρὸ τοῦ θαλαττίου, ἀλλ' ἅμα πάντας λέγουσι γενέσθαι)· εἰ δὲ ἐν τούτοις ἐστὶ τὸ πρότερον καὶ ὕστερον (πρότερον γάρ ἐστι τὸ θεωρητικὸν καὶ ὕστερον τὸ πρακτικόν· διὰ γὰρ τῆς θεωρίας ἔρχεταί τις ἐπὶ τὴν πρᾶξιν), δῆλον ὅτι
35 οὐδὲ ὡς ἀπὸ ὁμωνύμου φωνῆς εἰς διάφορα σημαινόμενα ἐγένετο ἡ διαίρεσις. ἀλλ' οὔτε δὲ ὡς ἀπὸ οὐσίας εἰς συμβεβηκότα ἐγένετο ἡ διαίρεσις, ἐπειδὴ οὐκ ἔστιν ἡ φιλοσοφία οὐσία· γνῶσις γάρ ἐστιν, ἡ δὲ γνῶσις ποιότης καὶ

---

4 alt. ἐν supra scr. V 7 τις inserui 10 τοῦ δὲ] καὶ τοῦ V 14 μὲν supra scr. V 17 αὐτὸν T ἐστιν ἀγαθόν colloc. V 18 ἐν om. V τὸ ἀληθές om. T 19 δὲ om. T 22 δείκνυται V 24 ὅπου] οὔπω V¹ 24. 25 οὐ τέμν. τὰ ἄτ. colloc. V 26 ante τέμνονται add. οὐ V 27 ἐδείξαμεν] p. 57,11 30 οὐδὲ] οὐ T 32 πάντας scripsi: πάντα TV 33 prius πρότερον Vat. 2253: πρῶτον TV 35 οὐδὲ Vat. 2253: οὔτε TV ὡς om. T 36 ἀλλ'— διαίρεσις in mrg. suppl. V² 37 ante ποιότης add. καὶ T

Digitized by Google

συμβεβηκός τί ἐστιν. ἀλλ' οὔτε δὲ ὡς ἀπὸ συμβεβηκότος εἰς οὐσίας ἐγένετο ἡ διαίρεσις, ἐπειδὴ τὸ θεωρητικὸν καὶ πρακτικὸν οὔκ εἰσιν οὐσίαι· | γνώσεις γὰρ καὶ αὐτά εἰσιν· ἡ δὲ γνῶσις, ὡς εἴρηται, ποιότης καὶ συμ- 157r
βεβηκός τί ἐστιν. ἀλλ' οὔτε δὲ ὡς ἀπὸ συμβεβηκότος εἰς συμβεβηκότα
5 ἐγένετο ἡ διαίρεσις, ἐπειδή, ὡς ἐν τοῖς προλαβοῦσιν ἐδείξαμεν, ἐν τῷ διαιρετικῷ τρόπῳ τῷ λεγομένῳ ἀπὸ συμβεβηκότος εἰς συμβεβηκότα ἢ ὡς ἀπὸ γένους εἰς εἴδη ἐστὶν ἡ διαίρεσις ἢ ὡς ἀπὸ οὐσίας εἰς οὐσίας. οὔτε δὲ ὡς ἀπὸ γένους εἰς εἴδη δύναται ἐπὶ τοῦ θεωρητικοῦ καὶ πρακτικοῦ γενέσθαι ἡ διαίρεσις, ὡς δέδεικται, οὔτε ὡς ἀπὸ οὐσίας εἰς οὐσίας· ἐδείξαμεν γὰρ
10 ὅτι οὔτε ἡ φιλοσοφία οὐσία ἐστὶ καθὸ γνῶσίς ἐστι (πᾶσα δὲ γνῶσις ποιότης καὶ συμβεβηκός τί ἐστιν), οὔτε τὸ θεωρητικὸν καὶ πρακτικὸν οὐσίαι εἰσί, καθὸ καὶ αὐτὰ γνώσεις εἰσίν. οὔτε δὲ ὡς ἀπὸ ὅλου εἰς μέρη ἐγένετο ἡ διαίρεσις· οὔτε γὰρ εἰς ὁμοιομερῆ, ἐπειδὴ ὁμοιομερῆ λέγονται τὰ καὶ ἀλλήλοις καὶ τῷ ὅλῳ ὁμωνύμως λεγόμενα, οἷον ὡς ὅταν τέμωμεν τὴν
15 φλέβα εἰς πολλὰς φλέβας· αὗται γὰρ αἱ μικραὶ φλέβες καὶ ὁμοίως τῷ ὅλῳ φλέβες λέγονται καὶ ὁμοίως ἀλλήλαις· πάντα γὰρ τὰ τμηθέντα φλέβες λέγονται. ἐνταῦθα δὲ οὐκ ἐγένετο εἰς ὁμοιομερῆ ἡ διαίρεσις, ἐπειδὴ τῷ μὲν ὅλῳ ὁμωνύμως λέγονται (καὶ γὰρ τὸ θεωρητικὸν ὁμωνύμως τῇ φιλοσοφίᾳ λέγεται καὶ τὸ πρακτικὸν ὁμοίως), ἀλλήλοις δὲ οὐ λέγονται ὁμωνύμως·
20 οὔτε γὰρ τὸ θεωρητικὸν λέγεται πρακτικὸν οὔτε τὸ πρακτικὸν θεωρητικόν. ἀλλ' οὔτε δὲ εἰς ἀνομοιομερῆ ἐγένετο ἡ διαίρεσις, ἐπειδὴ ἀνομοιομερῆ λέγονται τὰ μήτε τῷ ὅλῳ μήτε ἀλλήλοις ὁμωνύμως λεγόμενα, οἷον ὥσπερ ἐπὶ τῆς κεφαλῆς· αὕτη γὰρ διαιρεῖται εἰς ὦτα ῥῖνα καὶ ὀφθαλμούς, ταῦτα δὲ οὔτε ὁμωνύμως τῷ ὅλῳ λέγονται (οὔτε γὰρ τὸ οὖς λέγεται κεφαλὴ οὔτε
25 ἡ ῥὶν οὔτε οἱ ὀφθαλμοί), οὔτε δὲ ἀλλήλοις ὁμωνύμως λέγονται· οὔτε γὰρ τὸ οὖς λέγεται ῥὶν οὔτε ἡ ῥὶν ὀφθαλμός. ἐνταῦθα δὲ οὐκ ἐγενέτο εἰς ἀνομοιομερῆ ἡ διαίρεσις, ἐπειδὴ εἰ καὶ ἀλλήλοις μὴ λέγονται ὁμωνύμως (καὶ γὰρ οὐ λέγεται τὸ θεωρητικὸν πρακτικὸν οὔτε τὸ πρακτικὸν θεωρητικόν), ἀλλ' οὖν τῷ ὅλῳ ὁμωνύμως λέγονται· καὶ γὰρ καὶ τὸ θεωρητικὸν λέγεται
30 φιλοσοφία ὁμωνύμως τῇ φιλοσοφίᾳ καὶ τὸ πρακτικὸν ὁμοίως. λείπεται οὖν λέγειν ὅτι ὡς τὰ ἀφ' ἑνός εἰσιν· ἀπὸ γὰρ τῆς φιλοσοφίας ὠνομάσθησαν· καὶ γὰρ καὶ τὸ θεωρητικὸν ἀπὸ τῆς φιλοσοφίας λέγεται φιλοσοφία καὶ τὸ πρακτικὸν ὁμοίως. ὁ μέντοι Ἀριστοτέλης λέγει ὅτι ὡς ἀπὸ ὅλου εἰς μέρη ἐγένετο ἡ διαίρεσις. καὶ καλῶς λέγει· καὶ γάρ φησιν ὅτι τὸ θεωρητικὸν καὶ
35 πρακτικὸν μέρη τῆς φιλοσοφίας εἰσίν· ὥσπερ ⟨γὰρ⟩ ἑνὸς τῶν μερῶν ἀπολιμπανο-

1 τί om. T 3 γνώσεις γάρ καὶ αὐτά εἰσιν] denuo inc. K γνώσεις γάρ εἰσι καὶ αὐτά coll. T ὡς εἴρηται] p. 67,16 5 ἐδείξαμεν] p. 69,14 7 ἐστὶν om. T 9 ἡ om. K δέδεικτ.] p. 68,23 ἐδείξαμεν] p. 69,37 10 δὲ] γὰρ T 11 ἐστί τι colloc. V καὶ τὸ πρακτ. T 12 αὐτά] αὗται TV 13 λέγεται T 14 τέμνωμεν T 15 φλέβαν (pr. l.) V πολλὰς] μικρὰς TV 18 καὶ γὰρ καὶ T 23 ῥῖνα V²: χεῖρας KV¹: ῥῖνας T 24 οὔτε γὰρ—ὀφθαλμοί (25) om. T 25 οὔτε ῥὶν οὔτε ὀφθ. K δὲ om. TV 25. 26 ὁμων. λέγονται—ὀφθαλμός om. T 26 δὲ] γὰρ T 28 οὔτε τὸ πρακτ. θεωρ.] οὔτε τὸ θεωρ. πρακτ. KV¹ 29 καὶ (ante τὸ θεωρ.) om. V 29. 30 φιλ. λέγεται coll. T 30 ὁμ. τῇ φιλ. om. T 31 εἰσιν] εἰς ἓν V² ἀπὸ μιᾶς γὰρ TV² Ἀριστ.] cf. Zelleri Ph. Gr. III³ p. 176 35 γὰρ inserui ἀπολιμπανομένων V²

Digitized by Google

μένου ἀτελὲς τὸ ὅλον γίνεται (καὶ γὰρ χειρὸς ἀπούσης ἀτελὲς τὸ ὅλον σῶμά ἐστι), τὸν αὐτὸν τρόπον καὶ τοῦ θεωρητικοῦ ἀπόντος ἢ τοῦ πρακτικοῦ ἀτελής | ἐστιν ἡ φιλοσοφία· δεῖ γὰρ τὸν τέλειον φιλόσοφον μὴ μόνον τῇ 157v
θεωρίᾳ κοσμεῖσθαι, ἀλλὰ καὶ τῇ πράξει ἐγκαλλωπίζεσθαι.

Εἰ δέ τις εἴποι 'καὶ εἰς τί ἐγένετο ἡ διαίρεσις; εἰς ὁμοιομερῆ ἢ εἰς ἀνομοιομερῆ;' λέγομεν ὅτι εἰς ὁμοιομερῆ· καὶ γὰρ ταῦτα καὶ τῷ ὅλῳ καὶ ἀλλήλοις ὁμωνύμως λέγονται, ὅπερ ἴδιόν ἐστιν, ὡς εἴρηται, τῶν ὁμοιομερῶν. καὶ τῷ ὅλῳ μέν, ὅτι ὥσπερ ἡ φιλοσοφία λέγεται φιλοσοφία, οὕτως καὶ τὸ θεωρητικὸν λέγεται φιλοσοφία καὶ τὸ πρακτικὸν ὁμοίως, ἀλλήλοις δέ, ὅτι καὶ τὸ πρακτικὸν δύναται λέγεσθαι θεωρητικόν, εἴ γε διὰ τῆς θεωρίας γίνεται ἡ πρᾶξις (τῷ γὰρ λόγῳ τις κεχρημένος ῥυθμίζει ἑαυτόν), καὶ τὸ θεωρητικὸν δύναται λέγεσθαι πρακτικόν· ἐνέργεια γὰρ τῆς ψυχῆς ἡ γνῶσίς ἐστι· καὶ γὰρ κατὰ τὴν γνῶσίν τις ἐνεργεῖ· ὁ γὰρ κεχρημένος τῷ ἀγαθῷ ὡς γινώσκων ὅτι καλόν ἐστι τὸ κεχρῆσθαι αὐτῷ κέχρηται αὐτῷ· καὶ γὰρ ὁ κεχρημένος τῇ σωφροσύνῃ ὡς γινώσκων τὴν φύσιν αὐτῆς κέχρηται αὐτῇ· ὅθεν οἱ τῶν μὴ δεόντων ἐρῶντες καὶ γινώσκοντες τὸ ἄχρηστον τῆς τούτων φύσεως ἐοίκασι τοῖς μὴ γινώσκουσιν. ἐμάθομεν οὖν πῶς διῃρέθη ἡ φιλοσοφία εἰς θεωρητικὸν καὶ πρακτικόν· ἐμάθομεν γὰρ ὅτι ὡς ὅλον εἰς μέρη ὁμοιομερῶς· τὸ γὰρ ἀφ' ἑνός, ὡς εἴρηται ἐν τοῖς προλαβοῦσιν, οὐκ ἔστι κυρίως διαίρεσις. ταῦτα μὲν ἐν τούτοις.

Ἔλθωμεν δὲ καὶ εἴπωμεν πῶς διῃρέθη τὸ θεωρητικὸν εἰς φυσιολογικόν, μαθηματικόν, θεολογικόν. καὶ ἰστέον ὅτι ὡς ἀπὸ γένους εἰς εἴδη οὐκ ἐγένετο ἡ διαίρεσις, ἐπειδὴ ἐν τοῖς ἀντιδιαιρουμένοις εἴδεσιν οὐκ ἔστιν, ὡς εἴρηται ἀνωτέρω, τὸ πρότερον καὶ ὕστερον, ἐνταῦθα δέ ἐστι τὸ πρότερον καὶ ὕστερον· καὶ γὰρ πρῶτόν ἐστι τὸ φυσιολογικὸν καὶ δεύτερον τὸ μαθηματικὸν καὶ τρίτον τὸ θεολογικόν. ἄλλως τε δὲ οὐδέποτε τὰ γένη εἰς τρία διαιροῦνται, οἷον τὸ ζῷον διαιρεῖται εἰς λογικὸν καὶ ἄλογον καὶ πάλιν τὸ χρῶμα εἰς λευκὸν καὶ μέλαν· πῶς οὖν δυνάμεθα ὡς ἀπὸ γένους εἰς εἴδη εἰπεῖν τὴν διαίρεσιν, ὅπου τρία εἰσίν; ἔστι γὰρ τὸ φυσιολογικόν, τὸ μαθηματικὸν καὶ τὸ θεολογικόν. ἔτι δὲ ἐν τοῖς ἀντιδιαιρουμένοις εἴδεσιν οὐδέποτε τὸ ἕτερον μετέχει τοῦ ἑτέρου, οἷον οὔτε τὸ λογικὸν μετέχει τοῦ ἀλόγου οὔτε τὸ ἄλογον τοῦ λογικοῦ· εἰ δὲ τὸ μαθηματικὸν καὶ τοῦ φυσιολογικοῦ καὶ τοῦ θεολογικοῦ μετέχει, καὶ τοῦ φυσιολογικοῦ μὲν ὡς ἐπὶ ἐνύλων τοῦ θεολογικοῦ δὲ ὡς ἐπὶ ἀύλων, δῆλον ὅτι οὐκ ἐγένετο ὡς ἀπὸ γένους εἰς εἴδη ἡ διαίρεσις. πρὸς τοῦτο δὲ λέγουσί τινες ὅτι 'ἰδοὺ τὸ ἔμψυχον γένος ὂν εἰς τρία διαιρεῖται εἴδη, οἷον εἰς ζῷον, ζῳόφυτον καὶ φυτόν, καὶ οὐ μόνον εἰς τρία εἴδη διαιρεῖται, ἀλλὰ καὶ τὸ ἓν τῶν εἰδῶν

1 σῶμα om. KV 3 μόνη T 6 ὁμοιομ.] ἀνομοιομερῆ (ἀν del.) K 7 ἐστιν om. T ὡς εἴρηται] p. 65,27 8 ἡ φιλ.] ἡ πᾶσα σοφία T 9 λέγεται om. T 11 λόγῳ γὰρ colloc. T 16 ἄχρηστον] χρηστὸν V 19 ὡς om. KV εἴρηται] p. 67,27 22 καὶ θεολ. T καὶ (ante ἰστέον) om. T ὡς om. V 23. 24 ὡς εἴρ. ἀνωτέρω] p. 68,23 24 prius πρότερον] πρῶτον KV ἐνταῦθα—ὕστερον om. K 25 ἐστι (post πρῶτον) om. V καὶ (ante δεύτ.) om. T 26 δὲ om. K 27 καὶ πάλιν om. T 28 εἰς εἴδη om. T 30 θεολ.] φυσιολογικόν V 36. 37 εἴδη (bis) om. T 37 εἴδη post διαιρεῖται colloc. V

Digitized by Google

μετέχει τῶν ἑτέρων· καὶ γὰρ τὸ ζῳόφυτον μετέχει τοῦ ζῴου καὶ τοῦ φυτοῦ, ὡς καὶ ἡ ὀνομασία δηλοῖ'. πρὸς οὓς | ἔστιν εἰπεῖν ὅτι ἐν τοῖς ἑξῆς δεί- 158r
κνυμεν τὴν διαίρεσιν ταύτην κακῶς ἔχουσαν. πάλιν ἀντιτιθέντες λέγουσιν ὅτι 'ἰδοὺ ἡ ῥητορικὴ γένος οὖσα εἰς τρία εἴδη διαιρεῖται· διαιρεῖται γὰρ
5 εἰς δικανικόν, συμβουλευτικόν, πανηγυρικόν'. πρὸς οὓς ἔστιν εἰπεῖν ὅτι οὐ καλῶς ἔχει αὕτη ἡ διαίρεσις· οὐδέποτε γὰρ τὰ ἀντιδιαιρούμενα εἴδη ἔχουσι χρονικὴν διαφοράν· οἷον τὸ λογικὸν καὶ ἄλογον ἀντιδιαιρούμενα εἴδη ὄντα οὐκ ἔχουσι χρονικὴν διαφοράν· οὐδὲ γὰρ λέγομεν ὅτι τὸ μὲν λογικὸν περὶ τὸν παρελθόντα χρόνον καταγίνεται τὸ δὲ ἄλογον περὶ τὸν μέλλοντα. εἰ
10 ἄρα δὲ ταῦτα ἔχουσι χρονικὴν διαφοράν (καὶ γὰρ τὸ μὲν συμβουλευτικὸν περὶ τὸν μέλλοντα χρόνον καταγίνεται· ὁ γὰρ συμβουλεύων περὶ τῶν μελλόντων συμβουλεύει· τὸ δὲ δικανικὸν περὶ τὸν παρεληλυθότα· καὶ γὰρ ὁ κρινόμενος περὶ τῶν παρελθόντων κρίνεται· τὸ δὲ πανηγυρικὸν περὶ τὸν ἐνεστῶτα· αὔξησις γάρ ἐστι τῶν προσόντων καὶ ὑπαρχόντων ἀγαθῶν), δῆλον
15 ὅτι οὐκ εἰσιν εἴδη κυρίως ὡς ἀπὸ γένους διαιρούμενα. ἄλλως τε δὲ ἐν τοῖς ἀντιδιαιρουμένοις εἴδεσι τὰ τέλη οὐ συνυπάρχουσι· καὶ γὰρ τέλος τοῦ μὲν λογικοῦ ἐστι τὸ κεχρῆσθαι λόγῳ τοῦ δὲ ἀλόγου τὸ μὴ κεχρῆσθαι λόγῳ, οὔτε δὲ τὸ τέλος τοῦ λογικοῦ ὑπάρχει ἐν τῷ τέλει τοῦ ἀλόγου οὔτε τὸ τέλος τοῦ ἀλόγου ἐν τῷ τέλει τοῦ λογικοῦ· εἰ ἄρα δὲ τὰ τέλη τούτων
20 συνυπάρχουσι (καὶ γὰρ τοῦ δικανικοῦ μὲν τέλος ἐστὶ τὸ δίκαιον τοῦ δὲ συμβουλευτικοῦ τὸ συμφέρον τοῦ δὲ πανηγυρικοῦ τὸ ἀγαθόν, τὸ δὲ ἀγαθὸν συμφέρον καὶ δίκαιόν ἐστι καὶ τὸ δίκαιον συμφέρον καὶ ἀγαθὸν καὶ τὸ συμφέρον δίκαιον καὶ ἀγαθόν), δῆλον ὅτι οὐκ ἐγένετο ἡ διαίρεσις ὡς ἀπὸ γένους εἰς εἴδη. κακῶς οὖν ἔχει ἡ διαίρεσις τῆς ῥητορικῆς. ταῦτα μὲν
25 οὖν ἐν τούτοις.

Ἀλλ' οὔτε δὲ ὡς ὅλον εἰς μέρη διῃρέθη τὸ θεωρητικόν· οὔτε γὰρ εἰς ὁμοιομερῆ δύναται εἶναι ἡ διαίρεσις οὔτε εἰς ἀνομοιομερῆ· καὶ γὰρ εἰς ὁμοιομερῆ μὲν οὐ δύναται γενέσθαι ἡ διαίρεσις, ἐπειδὴ εἰ καὶ τῷ ὅλῳ ὁμωνύμως λέγονται (λέγονται γὰρ ταῦτα θεωρητικὰ ὁμωνύμως τῷ θεω-
30 ρητικῷ), ἀλλ' οὖν ἀλλήλοις οὐ λέγονται ὁμωνύμως· οὔτε γὰρ τὸ φυσιολογικὸν λέγεται μαθηματικὸν οὔτε τὸ μαθηματικὸν λέγεται θεολογικόν· ὁμοιομερῆ δέ εἰσιν, ὡς ἀνωτέρω εἴρηται, τὰ καὶ ἀλλήλοις καὶ τῷ ὅλῳ ὁμωνύμως λεγόμενα. ἀλλ' οὔτε δὲ εἰς ἀνομοιομερῆ δύναται εἶναι ἡ διαίρεσις, ἐπειδὴ εἰ καὶ ἀλλήλοις μὴ λέγονται ὁμωνύμως (οὐ γὰρ λέγεται τὸ φυσιολογικὸν μαθη-
35 ματικὸν οὔτε τὸ μαθηματικὸν θεολογικόν), ἀλλ' οὖν τῷ ὅλῳ ὁμωνύμως λέγονται· καλοῦνται γὰρ θεωρητικὰ ὁμωνύμως τῷ ὅλῳ· ἀνομοιομερῆ δέ

---

3 καὶ πάλιν V ἀντιθέντες V 4 εἴδη om. T 8 οὐδὲ] οὐ K
11 τῶν (ante μελλόντων) om. K 12 τῶν παρεληλυθότων T 14. 15 ὅθεν δῆλον ὅτι T 16. 17 μὲν τοῦ colloc. KV 18 ἐν τῷ τοῦ ἀλόγου τέλει T
22 post ἀγαθόν add. ἐστι T 23 ὥστε δῆλον T 25 οὖν om. K
27 γὰρ (post καὶ) om. T 28 ὁμοιομ.] ἀνομοιομ. T 29 λέγονται (prius)] λέγεται T corr. V θεωρητικὰ] θεωρητικῷ V¹ 30 ὁμων. οὐ λέγ. colloc. V λέγεται T 31 λέγεται (ante θεολ.) om. T 32 εἰσιν] λέγεται KV (cf. p. 73,1) ἀνωτέρω] p. 65,27 ὁμων. καὶ τῷ ὅλω colloc. V 33 ἡ om. K

Digitized by Google

εἰσιν, ὡς ἀνωτέρω εἴρηται, τὰ μήτε ἀλλήλοις μήτε τῷ ὅλῳ | ὁμωνύμως 158v
λεγόμενα. ἀλλ' οὔτε δὲ ὡς ἀπὸ εἴδους εἰς ἄτομα ἐγένετο ἡ διαίρεσις οὔτε
ὡς ἀπὸ οὐσίας εἰς συμβεβηκότα οὔτε ὡς ἀπὸ συμβεβηκότος εἰς οὐσίας οὔτε
ὡς ἀπὸ συμβεβηκότος εἰς συμβεβηκότα οὔτε ὡς ἀπὸ ὁμωνύμου φωνῆς εἰς
5 διάφορα σημαινόμενα διὰ τὰς αἰτίας τὰς εἰρημένας περὶ τοῦ θεωρητικοῦ
καὶ τοῦ πρακτικοῦ. ἀλλ' εἰσὶ τῶν ἀφ' ἑνός· ἀφ' ἑνὸς γὰρ τοῦ θεωρητικοῦ
καὶ τὸ φυσιολογικὸν λέγεται θεωρητικὸν καὶ τὸ μαθηματικὸν καὶ τὸ θεο-
λογικόν. ταῦτα μὲν περὶ τῆς διαιρέσεως τοῦ θεωρητικοῦ.

Ἔλθωμεν δὲ καὶ ζητήσωμεν περὶ τῆς διαιρέσεως τοῦ μαθηματικοῦ,
10 πῶς διαιρεῖται τὸ μαθηματικὸν εἰς ἀριθμητικήν, μουσικήν, γεωμετρίαν, ἀστρο-
νομίαν. καὶ ἔστιν εἰπεῖν ὅτι οὐκ ἐγένετο ὡς ἀπὸ γένους εἰς εἴδη ἡ διαίρεσις,
ἐπειδή, ὡς εἴρηται ἀνωτέρω, ἐν τοῖς ἀντιδιαιρουμένοις εἴδεσιν οὐκ ἔστι τὸ
πρότερον καὶ ὕστερον· εἰ ἄρα δὲ ἐνταῦθά ἐστι τὸ πρότερον καὶ ὕστερον
(πρώτη γάρ ἐστιν ἡ ἀριθμητικὴ καὶ δευτέρα ἡ μουσικὴ καὶ τρίτη ἡ γεω-
15 μετρία καὶ τετάρτη ἡ ἀστρονομία), δῆλον ὅτι οὐκ ἔστιν ἡ διαίρεσις ὡς
ἀπὸ γένους εἰς εἴδη. ἀλλ' οὔτε δὲ ὡς ἀπὸ ὅλου εἰς μέρη, ἐπειδὴ οὔτε εἰς
ὁμοιομερῆ δύναται εἶναι οὔτε εἰς ἀνομοιομερῆ διὰ τὴν αἰτίαν τὴν εἰρημένην
περὶ τοῦ φυσιολογικοῦ, μαθηματικοῦ, θεολογικοῦ· καὶ γὰρ ταῦτα, φημὶ δὲ
ἡ ἀριθμητικὴ καὶ ἡ μουσικὴ καὶ ἡ γεωμετρία καὶ ἡ ἀστρονομία, ἀλλήλοις
20 μὲν οὐ λέγονται ὁμωνύμως (οὔτε γὰρ ἡ ἀριθμητικὴ λέγεται μουσικὴ οὔτε
ἡ γεωμετρία ἀστρονομία), τῷ δὲ ὅλῳ ὁμωνύμως λέγονται· πάντα γὰρ ὁμω-
νύμως τῇ μαθηματικῇ μαθηματικὰ λέγονται καὶ τούτου χάριν κωλύονται
καὶ ἀνομοιομερῆ εἶναι καὶ ὁμοιομερῆ. καὶ ὁμοιμερῆ μέν, ἐπειδή, ὡς εἴρη-
ται, τὰ ὁμοιομερῆ καὶ ἀλλήλοις καὶ τῷ ὅλῳ ὁμωνύμως λέγονται, ταῦτα
25 δὲ μόνῳ τῷ ὅλῳ ὁμωνύμως λέγονται. ἀνομοιομερῆ δὲ κωλύονται εἶναι,
ἐπειδή, ὡς εἴρηται, τὰ ἀνομοιομερῆ οὔτε τῷ ὅλῳ οὔτε ἀλλήλοις ὁμωνύμως
λέγονται. ἀλλ' οὔτε δὲ ὡς ἀπὸ εἴδους εἰς ἄτομα δύναται γενέσθαι ἡ διαί-
ρεσις οὔτε ὡς ἀπὸ οὐσίας εἰς συμβεβηκότα οὔτε ὡς ἀπὸ συμβεβηκότος εἰς
οὐσίας οὔτε ὡς ἀπὸ συμβεβηκότος εἰς συμβεβηκότα οὔτε ὡς ἀπὸ ὁμωνύμου
30 φωνῆς εἰς διάφορα σημαινόμενα διὰ τὰς αἰτίας τὰς εἰρημένας περὶ τοῦ
θεωρητικοῦ καὶ πρακτικοῦ, ἀλλ' εἰσὶ τῶν ἀφ' ἑνός· ἀπὸ ἑνὸς γὰρ τοῦ μαθη-
ματικοῦ λέγονται πάντα μαθηματικά. ἐν οἷς σὺν θεῷ καὶ ἡ παροῦσα πρᾶξις.

---

1 ὡς ἀν. εἴρ. om. T (cf. p. 66,2) ἀνοτέρω V 2 ἀλλ' οὔτε δὲ—γένους εἰς εἴδη (16) om. K 3. 4 οὔτε ὡς ἀπὸ συμβ. εἰς οὐσ.—συμβεβηκότα om. T 4 pr. ὡς Vat. 2253: om. V 8 θεωρητικοῦ V²: φυσιολογικοῦ T: μαθηματικοῦ V¹ 9 Ἔλθωμεν—μαθηματικοῦ V²: Ἔλθωμεν δὲ καὶ διαιρέσωμεν καὶ τὸ μαθηματικόν T: om. V¹ 10 μουσικὴν suppl. V² 12 εἴρηται] p. 68,23 13 εἰ ἄρα—ὕστερον suppl. V² 14 καὶ (ante τρίτη) om. T 16. 17 εἰς (ante ὁμ. et ἀνομ.) Vat. 2253: om. KTV (cf. p. 72,26) 18 περὶ om. T μαθ. φυσιολ. καὶ θεολ. T: φυσιολ. (rel. om.) V (cf. p. 72,28) 19 καὶ ἡ (ante μουσ.) supra scr. K 20. 21 οὔτε γὰρ — ἀστρονομία om. T 22 μαθητικὴ μαθητικὰ V 26 τοῖς ἀλλήλοις V 27 λέγεται T 29 ὡς (ante ἀπὸ ὁμων.) om. T 30 τὰς εἰρ. αἰτίας T περί τε T 31 τοῦ πρακτ. T 31. 32 μαθητικοῦ TV 32 λέγεται T ἐν οἷς—πρᾶξις om. T

Digitized by Google

Πρᾶξις κγ'.

Εἰπόντες τὴν διαίρεσιν τοῦ θεωρητικοῦ ἔλθωμεν καὶ ἐπὶ τὴν διαίρεσιν τοῦ πρακτικοῦ· εἰ γὰρ καὶ μετὰ τὸ θεωρητικόν ἐστι διὰ τὸ ἐκ τοῦ θεωρητικοῦ ἔρχεσθαι ἐπὶ τὸ πρακτικὸν καὶ μετὰ λόγου κοσμεῖν τὸ ἦθος καὶ ὑποτάσσειν τὰ πάθη, ἀλλ' οὖν οὐ δεῖ καταφρονεῖν αὐτοῦ, ἐπειδή, ὥς φησιν ὁ Πλάτων, 'φιλόσοφον ἐγὼ οὐ καλῶ τὸν πολλὰ εἰδότα καὶ πολλὰ ἀποστηθίσαι δυνάμενον, ἀλλὰ τὸν ἀκηλίδωτον καὶ ἄρρυπον βίον κτησάμενον'. ἀναγκαίως γάρ ἐστι φιλόσοφος οὐχ ὁ πολλὰ εἰδὼς ἀλλ' ὁ τῶν παθῶν κρατῶν, καὶ αὐτὸς δὲ διὰ τοῦ λόγου τῶν παθῶν κρατεῖ ὡς λογικός. ἔλθωμεν οὖν καὶ εἴπωμεν τὴν διαίρεσιν τοῦ πρακτικοῦ.

Ἀλλ' ἰστέον ὅτι ἄλλως τὸ πρακτικὸν διαιροῦσιν οἱ Ἀριστοτελικοὶ καὶ ἄλλως οἱ Πλατωνικοί· οἱ γὰρ Ἀριστοτελικοὶ εἰς τρία αὐτὸ διαιροῦσιν, εἰς ἠθικόν, οἰκονομικόν, πολιτικόν. εἰκότως δὲ εἰς τρία διαιρεῖται, ἐπειδὴ ὁ κοσμῶν ἦθος ἢ ἑνὸς ἦθος κοσμεῖ καὶ γίνεται τὸ ἠθικὸν ἢ οἴκου καὶ γίνεται τὸ οἰκονομικὸν ἢ πόλεως καὶ γίνεται τὸ πολιτικόν· ὅτι γάρ, φασίν, εἰς τὰ τρία ταῦτα διαιρεῖται, δείκνυται διὰ τῶν συγγραμμάτων Ἀριστοτέλους· καὶ γὰρ ὁ Ἀριστοτέλης ἔγραψε τὰ ἠθικά, ἐν οἷς περὶ ἤθους διαλέγεται, ἔγραψε δὲ καὶ τὰ οἰκονομικά, ἐν οἷς περὶ διοικήσεως οἴκου διαλέγεται (ἔνθα λέγει ὅτι τέσσαρά 159r τινα δεῖ συνδραμεῖν εἰς σύστασιν οἴκου· σχέσιν ἀνδρὸς πρὸς γυναῖκα, στοργὴν πατρὸς πρὸς τέκνα, δέος οἰκετῶν πρὸς δεσπότην, καὶ ἵνα ᾖ σύμμετρα τὰ ἐξιόντα τοῖς εἰσιοῦσιν· ἑκατέρα γὰρ ἀμετρία αἰσχρά ἐστιν· εἴτε γὰρ πολλὰ εὑρεθῶσι τὰ εἰσιόντα ὀλίγα δὲ τὰ ἐξιόντα, αἰσχρόν τι συμβαίνει· ὁ γὰρ τοιοῦτος φιλάργυρος εὑρίσκεται. εἴτε πάλιν ὀλίγα εὑρεθῶσι τὰ εἰσιόντα πολλὰ δὲ τὰ ἐξιόντα, αἰσχρόν τι συμβαίνει· εὑρίσκεται γὰρ ὁ τοιοῦτος ἄσωτος), ἔγραψε δὲ καὶ τὰ πολιτικά, ἐν οἷς λέγει πῶς δεῖ πόλιν διοικεῖν. ὁμοίως δὲ καὶ ὁ Πλάτων ἔγραψε πολιτικά· τὸν αὐτὸν δὲ σκοπὸν ἔχει τῷ Ἀριστοτέλει. ἰστέον δὲ ὅτι ἐν μὲν τῷ Πολιτικῷ συγγράμματι ἕνα σκοπὸν ἔχει καὶ ὁ Ἀριστοτέλης καὶ ὁ Πλάτων (ἀμφότεροι γὰρ λέγουσι πῶς δεῖ διοικεῖσθαι πόλιν), ἐν δὲ τῷ Περὶ πολιτείας διάφορός ἐστι καὶ ὁ σκοπὸς καὶ ἡ ἐπιγραφή· καὶ ἡ μὲν ἐπιγραφή, ὅτι ὁ μὲν Πλάτων ἑνικῶς ἐπέγραψε Πολιτεία ὁ δὲ Ἀριστοτέλης πληθυντικῶς Πολιτεῖαι, ὁ δὲ σκοπός ἐστι διάφορος, ὅτι ὁ μὲν Ἀριστοτέλης λέγει πῶς ἐπολιτεύοντο οἱ ἀρχαῖοι οἷον οἱ

---

2 τὴν (post εἰπόντες) om. K 3 καὶ (ante μετὰ) om. T 5. 6 ὁ πλάτ. ὥς φησιν colloc. V (cf. p. 5,21) 6 ἀποστηθῆσαι V 7 ἀκηλίδοτον V · ἄρυπον V ἀναγκαίως corr. Wellm.: ἀναγκαῖος KTV²: ἀναγκαίων V¹ 11 τὸ πρακτ. ante ἀλλως colloc. T 13 εἰς οἰκον. εἰς πολ. T ἐπειδὴ] ἐπεὶ K 14 τὸ (ante ἠθικὸν) om. KV 15 φασιν scripsi: φησιν KV: om. T τὰ om. KV 16 δείκνυται post Ἀριστοτ. colloc. T 18. 19 δεῖ τινα τέσσ. συνδ. εἰς οἴκου σύστ. colloc. T 20 ἱκετῶν T 22 ὀλίγα in lit. K 27 δὲ om. T τῷ om. T πολιτικῷ] περὶ τῶν πολιτικῶν V: τῶν πολιτικῶν T 29 τῷ ex τὸ corr. V 30 καὶ ἡ μὲν ἐπιγραφή supra scr. V² ἐπέγραψε V²: ἐπέτρεψε V¹ 31 Πολιτείαν et Πολιτείας Brand.

Digitized by Google

Ἀργεῖοι, οἱ Βοιωτοί, ὁ δὲ Πλάτων λέγει πόσα εἴδη πολιτειῶν καὶ πῶς δεῖ πολιτεύεσθαι. ταῦτα μὲν ἐν τούτοις.

Οἱ δὲ Πλατωνικοὶ λαμβάνονται τῆς διαιρέσεως λέγοντες ὅτι κακῶς ἡ παροῦσα διαίρεσις ἔχει· οὐδέποτε γὰρ γένος εἰς τρία εἴδη διαιρεῖται, ἀλλὰ πάντως εἰς δύο, οἷον τὸ ζῷον εἰς λογικὸν καὶ ἄλογον, τὸ χρῶμα εἰς λευκὸν καὶ μέλαν. ἄλλως τε δὲ οὐδέποτε τὰ ἀντιδιαιρούμενα εἴδη τὸ αὐτὸ τέλος ἔχουσιν, οἷον τὸ λογικὸν καὶ τὸ ἄλογον οὐκ ἔχουσι τὸ αὐτὸ τέλος (τὸ μὲν γὰρ λογικὸν τέλος ἔχει τὸ κεχρῆσθαι λόγῳ, τὸ δὲ ἄλογον τὸ μὴ κεχρῆσθαι λόγῳ), ταῦτα δὲ τὸ αὐτὸ τέλος ἔχουσι· καὶ γὰρ καὶ τὸ ἠθικὸν καὶ τὸ οἰκονομικὸν καὶ τὸ πολιτικὸν τὸ αὐτὸ τέλος ἔχουσι, φημὶ δὲ τὸ κοσμεῖν τὸ ἦθος. ἔτι δὲ οὐδέποτε τὸ ποσὸν τὸ αὐτὸ εἶδος ἐναλλάττει, οἷον τὸ μικρὸν τρίγωνον καὶ τὸ μέγα τρίγωνον τοῦ αὐτοῦ εἴδους εἰσὶ τῷ ποσῷ διαφέροντα. ἐν δὲ τοῖς ἀντιδιαιρουμένοις εἴδεσιν οὐκ ἔστι τὸ αὐτὸ εἶδος· ἄλλο γὰρ εἶδος τοῦ λογικοῦ καὶ ἄλλο τοῦ ἀλόγου. τὸ δὲ ἠθικὸν καὶ τὸ οἰκονομικὸν καὶ τὸ πολιτικὸν ἑνὸς εἴδους εἰσίν· οὐκ ἐπειδὴ γὰρ τὸ μὲν ἠθικὸν ἑνὸς ἦθος κοσμεῖ τὸ δὲ οἰκονομικὸν πλειόνων τὸ δὲ πολιτικὸν ὅλης τῆς πόλεως, παρὰ τοῦτο καὶ διάφορά εἰσιν εἴδη· καὶ γὰρ καὶ ἡ δικαιοσύνη ἡ ἐν μιᾷ ψυχῇ θεωρουμένη καὶ ἡ δικαιοσύνη ἡ ἐν πολλαῖς ψυχαῖς θεωρουμένη ἡ αὐτὴ κατὰ φύσιν ἐστί. ἔτι δὲ οὐδέποτε ἐν τοῖς ἀντιδιαιρουμένοις εἴδεσι τὸ ἕτερον ἐν τῷ ἑτέρῳ | θεωρεῖται (οὐδὲ γὰρ τὸ λογικὸν ἐν τῷ 159v ἀλόγῳ θεωρεῖται οὔτε τὸ ἄλογον ἐν τῷ λογικῷ)· εἰ δὲ καὶ τὸ ἠθικὸν καὶ τὸ οἰκονομικὸν ἐν τῷ πολιτικῷ θεωροῦνται (καὶ γὰρ ὁ δυνάμενος κοσμῆσαι πόλιν καὶ οἶκον δύναται κοσμῆσαι καὶ ἕνα), δῆλον ὅτι οὐκ εἰσιν διάφορα. ἔτι δὲ οὐδέποτε ἓν εἶδος μόνον ἰσοδυναμεῖ τῷ γένει (οὔτε γὰρ τὸ λογικὸν μόνον ἰσοδυναμεῖ τῷ ζῴῳ οὔτε τὸ ἄλογον μόνον, ἀλλὰ τὰ δύο ἅμα), τὸ δὲ πολιτικὸν μόνον ἰσοδυναμεῖ τῷ πρακτικῷ· εἰ γὰρ κατ' αὐτούς, φασί, τὸ πρακτικὸν διαιρεῖται εἰς ἠθικὸν καὶ οἰκονομικὸν καὶ πολιτικόν, τὸ δὲ πολιτικὸν περιέχει ἐν ἑαυτῷ καὶ τὸ ἠθικὸν καὶ τὸ οἰκονομικόν (καὶ γὰρ ὁ δυνάμενος πόλιν κοσμῆσαι δύναται καὶ ἕνα κοσμῆσαι καὶ οἶκον), δῆλον ὅτι ἰσοδυναμεῖ τὸ πολιτικὸν τῷ πρακτικῷ. εἰ δὲ ἰσοδυναμεῖ αὐτῷ, δῆλον ὅτι κακῶς ἐγένετο ἡ διαίρεσις. ταῦτα ἐν οἷς σὺν θεῷ ἡ παροῦσα πρᾶξις.

Πρᾶξις κδ'.

Λαβόμενοι οἱ Πλατωνικοὶ τῆς Ἀριστοτελικῆς διαιρέσεως τοῦ πρακτικοῦ ἔρχονται καὶ διαιροῦσι τὸ πρακτικὸν εἰς δύο, εἰς νομοθετικὸν καὶ δικαστικόν.

---

4 εἴδη ex γένη corr. V² 5 πάντως ex παντὸς corr. V² ζῷον] σῶμα K 9 καὶ γὰρ—ἔχουσι (10) V² Vat. 2253: om. KTV¹ 10 δὲ] δὴ T 11 post τὸ αὐτὸ add. δὲ V¹ 15 τὸ (ante πολ.) om. V 16 ἑνὸς] ἓν K 18 ἡ (ante ἐν μιᾷ) om. T 19 τὴν φύσιν TV 22 τὸ οἰκ. ἐν τῷ πολ.] καὶ ἐν τῷ πολιτικῷ καὶ τῷ οἰκονομικῷ T 23 δύν. καὶ οἶκον colloc. T καὶ (ante ἕνα) om. K: supra scr. T 24 δὲ (post ἔτι) om. KT μόνον εἶδος colloc. T 28 ἐμπεριέχει ἑαυτῷ T καὶ γὰρ] εἰ γὰρ TV 29 κοσμ. πόλιν colloc. KT καὶ (ante οἶκον) om. KV¹ 30 πραγματικῷ V 31 ταῦτα—πρᾶξις om. KT

Digitized by Google

καὶ τοῦτο εὐλόγως· ὁ γὰρ φιλόσοφος ἢ τίθησι νόμους, δι' ὧν ὤφειλεν ἀεὶ τὸ ἦθος κοσμεῖν, καὶ γίνεται τὸ νομοθετικόν, ἢ δικάζει κατὰ τοὺς ἐκτεθέντας νόμους καὶ γίνεται τὸ δικαστικόν. καὶ ὃν λόγον ἔχει τὸ νομοθετικὸν πρὸς τὰς πόλεις φυλάττον τὰ ἐν αὐταῖς δίκαια, τοῦτον τὸν λόγον ἔχει καὶ τὸ δικαστικὸν πρὸς τὸ νομοθετικὸν φυλάττον τὰ ἐν αὐτῷ παραγγέλματα· τὸ γὰρ ἠθικὸν καὶ οἰκονομικὸν καὶ πολιτικὸν ὕλης τάξιν ἐπέχουσι πρὸς τὸ νομοθετικὸν καὶ δικαστικόν· καὶ γὰρ ὁ νομοθετῶν ἢ ἑνὸς ἤθος κοσμεῖ ἢ οἴκου ἢ πόλεως διὰ τοῦ νόμους τιθέναι, καθ' οὓς ὤφειλεν ἕκαστος πολιτεύεσθαι. καὶ ὁ δικάζων δὲ ὁμοίως ἢ ἑνὶ δικάζει ἢ οἴκῳ ἢ πόλει. τοῦτο δὲ αὐτό, φημὶ δὲ τὸ νομοθετικὸν καὶ δικαστικόν, καὶ ὁ ποιητὴς αἰνιττόμενος λέγει ὅτι ὁ Μίνως καὶ ὁ Ῥαδάμανθυς ἀδελφοὶ ἦσαν (ἀμφότεροι γὰρ εἶχον πατέρα τὸν Δία), καὶ ὁ μὲν Μίνως ἦν νομοθέτης ὁ δὲ Ῥαδάμανθυς δικαστής, τοῦτο αἰνιττόμενος ὅτι καὶ τὸ νομοθετικὸν καὶ τὸ δικαστικὸν ἀπὸ ἑνὸς τοῦ πρακτικοῦ ἐτέχθησαν. φησὶ δὲ πάλιν ὅτι ὁ μὲν Μίνως πρεσβύτερος ἦν κατὰ τὸν χρόνον ὁ δὲ Ῥαδάμανθυς μεταγενέστερος, τοῦτο αἰνιττόμενος ὅτι τὸ νομοθετικὸν πρὸ τοῦ δικαστικοῦ ἐστι· καὶ γὰρ εἰ μὴ πρότερον θῇ τις νόμους, οὐ δύναται κατ' αὐτοὺς δικάσαι. ἰστέον δὲ ὅτι οὐκ ἐγένετο ἡ διαίρεσις τοῦ πρακτικοῦ εἰς τὸ νομοθετικὸν καὶ δικαστικὸν ὡς ἀπὸ γένους εἰς εἴδη, ἐπειδὴ τὰ εἴδη τὰ ἀπὸ γένους διαιρούμενα οὐκ ἐπιδέχονται τὸ πρότερον καὶ ὕστερον· οἷον τὸ ζῷον διαιρεῖται εἰς λογικὸν καὶ ἄλογον, καὶ οὔτε τὸ λογικὸν πρότερόν ἐστιν οὔτε τὸ ἄλογον, ἀλλ' ἅμα ἐγένοντο. | εἰ 160r δὲ τὸ νομοθετικὸν πρὸ τοῦ δικαστικοῦ ἐστιν (εἰ μὴ γάρ τις θῇ πρῶτον νόμους, οὐ δύναται κατ' αὐτοὺς δικάσαι), δῆλον ὅτι οὐκ ἐγένετο ἡ διαίρεσις ὡς ἀπὸ γένους εἰς εἴδη. τοῖς δὲ αὐτοῖς λόγοις χρώμενος, οἷσπερ ἐχρησάμεθα καὶ ἐπὶ τοῦ φυσιολογικοῦ καὶ μαθηματικοῦ καὶ θεολογικοῦ, εὑρήσεις ὅτι οὐδὲ καθ' ἕνα τῶν ἄλλων τρόπων ἐγένετο ἡ διαίρεσις, ἀλλ' εἰσὶ τῶν ἀφ' ἑνός· ἀφ' ἑνὸς γὰρ τοῦ πρακτικοῦ καὶ τὸ νομοθετικὸν καὶ τὸ δικαστικὸν λέγεται πρακτικόν.

Μαθόντες οὖν διὰ τῶν προλαβόντων τί ἐστιν ἡ φιλοσοφία, ἔλθωμεν καὶ ἐπὶ τὸ ὁποῖόν τί ἐστιν. ἀλλὰ καὶ τοῦτο διὰ τῶν προλαβόντων μεμαθήκαμεν, φημὶ δὲ διά τε τῶν ὁρισμῶν καὶ τῆς διαιρέσεως. καὶ διὰ μὲν τῆς διαιρέσεως ἐμάθομεν ὅτι θεωρητική ἐστι καὶ πρακτική· εἰς γὰρ ταῦτα τὰ δύο διείλομεν τὴν φιλοσοφίαν, φημὶ δὴ εἰς θεωρητικὸν καὶ πρακτικόν. εἰ δέ τις εἴποι ὅτι οὐ μόνον ἡ φιλοσοφία ἐστὶ θεωρητικὴ καὶ πρακτική, ἀλλὰ καὶ αἱ τέχναι εἰσὶ θεωρητικαὶ καὶ πρακτικαί (ἰδοὺ γὰρ ἡ ἰατρικὴ καὶ θεωρητική ἐστιν, ὡς ἡνίκα διαγινώσκει τὸ νόσημα καὶ λέγει τὰς αἰτίας τὸ πόθεν

2 τὸ οἰκεῖον ἦθος T 7 καὶ γὰρ καὶ T 8 οἴκου καὶ πόλεως T διὰ τοῦ TV²: διὰ τὸ τοὺς K: διὰ τοὺς V¹ 9 δικάζει] δικάζων ἐστὶ T 10 alt. δὲ] δὴ T ante τὸ νομοθ. add. αὐτὸ V καὶ (ante ὁ) om. KV ὁ ποιητὴς] Hom. Ξ 322 13 τοῦτο δὲ V καὶ (post ὅτι) om. T alt. τὸ om. KT 17 ὅτι om. V 19 τὰ (ante ἀπὸ) om. V 22 εἰ μὴ—δικάσαι (23) om. T 25 καὶ (ante ἐπὶ) om. KV 26 οὐδὲ scripsi: οὐδένα KTV 29 ἡ om. V 30 ὁποῖον] ποῖον KV διὰ τῶν προλ. καὶ τοῦτο colloc. T 31 ante τῆς διαιρ. (prius) add. διὰ T 32. 33 τὰ δύο om. V 33 δὴ] δὲ V 36 διαγινώσκη T

Digitized by Google

γέγονε, καὶ πρακτική, ὡς ἡνίκα ἢ καθάρσιον δίδωσιν ἢ φλεβοτομεῖ), λέγομεν ὅτι κυρίως μόνη ἡ φιλοσοφία ἐστὶ θεωρητικὴ καὶ πρακτική. καὶ θεωρητικὴ μὲν κυρίως μόνη ἐστίν, ὅτι αἱ μὲν τέχναι οὐ πάντα τὰ ὄντα γινώσκουσιν, ἀλλὰ περὶ τὰ ἔνυλα μόνα καταγίνονται, ἐπεὶ περὶ τὰ θεῖα οὐ
5 καταγίνονται, ἡ δὲ φιλοσοφία περὶ πάντα τὰ ὄντα καταγίνεται· καὶ γὰρ καὶ περὶ τὰ θεῖα καταγίνεται. ὅθεν καὶ θεωρητικὴ μᾶλλον αὕτη μόνη κυρίως λέγεται· θεωρία γὰρ λέγεται παρὰ τὸ τὰ θεῖα ὁρᾶν. ἀλλὰ καὶ πρακτικὴ μόνη κυρίως ἐστὶν ἡ φιλοσοφία, ἐπειδὴ αἱ μὲν τέχναι ἢ περὶ τὸ σῶμα ἐνεργοῦσιν, ὥσπερ ἡ ἰατρικὴ περὶ τὸ ἀνθρώπινον σῶμα ἐνεργεῖ, ἢ
10 περὶ τὰ ἐκτὸς ὥσπερ ἡ τεκτονικὴ καὶ ἡ χαλκευτικὴ καὶ ἡ οἰκοδομική· αὗται γὰρ οὐκ ἐνεργοῦσι περὶ τὸ ἀνθρώπινον σῶμα, ἀλλὰ περὶ τὰ ἐκτὸς καὶ περὶ τὰς περιουσίας· ἡ μὲν γὰρ θρόνον καὶ σκάμνον καὶ τὰ τοιαῦτα ποιεῖ ἡ δὲ ξέστην καὶ τὰ τοιαῦτα ἡ δὲ οἶκον, ἅτινα τῶν ἐκτὸς καὶ τῶν περιουσιῶν εἰσιν. ἡ δὲ φιλοσοφία περὶ τὴν ψυχὴν ἐνεργεῖ· καὶ γὰρ τὸ τῆς
15 ψυχῆς ὄμμα ὑπὸ τῶν σωματικῶν ἡδυπαθειῶν ἀμβλυῶττον καὶ ἐπισκοτιζόμενον διὰ τῆς φιλοσοφίας ἐγείρεσθαι καὶ φωτίζεσθαι πέφυκεν. αὕτη δὲ ἡ περὶ τὴν ψυχὴν ἐνέργεια ἀναγκαιοτέρα τῶν ἐνεργειῶν ἐστι τῶν περὶ τὸ σῶμα καὶ τὰ ἐκτὸς καταγινομένων, ὅσον ἐστὶ ψυχὴ σώματος καὶ τῶν ἐκτὸς ἀναγκαιοτέρα. ὥστε οὖν κυρίως μόνη ἡ φιλοσοφία πρακτικὴ λέγεται.

20 Ἔγνωσται οὖν, ὡς εἴρηται, διὰ τῆς διαιρέσεως ὁποῖόν τί ἐστιν ἡ φιλοσοφία· ἐμάθομεν γὰρ ὅτι θεωρητική ἐστι καὶ πρακτική. ἀλλὰ καὶ διὰ | τῶν ὁρισμῶν ἔγνωμεν ὁποῖόν τί ἐστι· καὶ γὰρ διὰ τῶν ἐκ τοῦ ὑποκει- 160v
μένου ὁρισμῶν διά τε τοῦ λέγοντος ὅτι 'φιλοσοφία ἐστὶ γνῶσις τῶν ὄντων ᾗ ὄντα ἐστί' καὶ διὰ τοῦ λέγοντος 'γνῶσις θείων τε καὶ ἀνθρωπίνων πραγ-
25 μάτων' ἐμάθομεν ὅτι θεωρητική ἐστιν ἡ φιλοσοφία, διὰ δὲ τοῦ ὅρου τοῦ ἐκ τῆς ὑπεροχῆς τοῦ λέγοντος ὅτι 'φιλοσοφία ἐστὶ τέχνη τεχνῶν καὶ ἐπιστήμη ἐπιστημῶν' ἐμάθομεν ὅτι ἀρχική ἐστι, διὰ δὲ τοῦ ὅρου τοῦ ἐκ τοῦ προσεχοῦς τέλους τοῦ λέγοντος ὅτι 'φιλοσοφία ἐστὶ μελέτη θανάτου' ἐμάθομεν ὅτι καθαρτική ἐστι (καὶ γὰρ τὸ μελέτη θανάτου οὐδὲν ἕτερόν
30 ἐστιν εἰ μὴ ἡ νέκρωσις τῶν παθῶν ἤγουν ἡ κάθαρσις τῆς ψυχῆς ἐκ τῶν παθῶν), διὰ δὲ τοῦ ὅρου τοῦ ἐκ τοῦ πόρρω τέλους τοῦ λέγοντος ὅτι 'φιλοσοφία ἐστὶν ὁμοίωσις θεῷ κατὰ τὸ δυνατὸν ἀνθρώπῳ' ἐμάθομεν ὅτι πολι-

---

4 καταγίνεται V 5. 6 γὰρ καὶ om. T: καὶ om. V 6 καταγίνεται (post θεῖα) om. T θεωρητικὴ] τὸ θεωρητικὸν V αὐτὴ K: αὐτῇ V μόνη om. K 9 ἡ (ante ἰατρ.) om. V περὶ τὸ ἀνθρ. σ. ἐνεργεῖ om. T ἀνθρώπειον K 10 post ἐκτὸς add. ἤγουν τὰς περιουσίας V χαλκ. καὶ ἡ τεκτ. colloc. K 11 ἀνθρώπειον KT τὸ ἐκτὸς V 12 περὶ τὰ περὶ οὐσίας KT 12. 13 ποιεῖ καὶ τὰ τ. colloc. KV 13 τῶν (ante ἐκτὸς) om. K 13. 14 τῶν περιουσιῶν V²: τῶν περὶ οὐσίας KV¹: τῆς περιουσίας T 14 εἰσὶν post ἐκτὸς transp. KV² 15 ἀμβλυῶτον V 16 διὰ τῆς φιλ. post πέφυκεν colloc. T post αὕτη δὲ add. φημὶ δὲ KV 16. 17 ἡ περὶ τὴν ψυχὴν iter. V 17 τὴν om. K ἀναγκ. τῶν περὶ τὸ σῶμα ἐνεργειῶν ἐστι T ἐστι om. V 18 ante τὰ ἐκτὸς add. περὶ T τοσοῦτον ὅσον T 21 καὶ (post ἀλλὰ) om. V 23. 24 τοῦ λέγοντος ὅτι γνῶσις θείων κ. ἀνθρ. πρ. καὶ τοῦ λέγοντος φιλοσοφία ἐστὶ γνῶσις τῶν ὄντων κτλ. T 27 ἀρχική ex ἀρχή corr. K

Digitized by Google

τική ἐστι· καὶ γὰρ ὁ πολιτικὸς φιλόσοφος θέλει καὶ κατὰ τὴν γνῶσιν καὶ κατὰ τὴν πρᾶξιν ἐφ' ὅσον ἐστὶ δυνατὸν ἀνθρώπῳ μιμεῖσθαι τὸ θεῖον, καὶ κατὰ τὴν γνῶσιν μὲν ἵνα πάντα τὰ ὄντα γινώσκῃ, κατὰ τὴν πρᾶξιν δὲ ἵνα τὰ ἤθη κοσμῇ καὶ εὐταξίαν τινὰ φυλάττῃ ἐν τῷ ἀνθρώπῳ διὰ τῶν ἀρετῶν. καὶ ἔστιν ὡς ἐν συντόμῳ εἰπεῖν ὅτι δύο μερῶν ὄντων τῆς φιλοσοφίας, φημὶ δὲ τοῦ θεωρητικοῦ καὶ τοῦ πρακτικοῦ, ἐξ δὲ ὁρισμῶν οἱ μὲν τῶν ὁρισμῶν τὸ θεωρητικὸν μέρος τῆς φιλοσοφίας περιέχουσιν, οἱ δὲ τὸ πρακτικόν, οἱ δὲ τὸ θεωρητικὸν ἅμα καὶ πρακτικόν· καὶ γὰρ οἱ δύο οἱ ἐκ τοῦ ὑποκειμένου οἷον ὁ 'φιλοσοφία ἐστὶ γνῶσις τῶν ὄντων ᾗ ὄντα ἐστί' καὶ ὁ λέγων ὅτι 'φιλοσοφία ἐστὶ γνῶσις θείων τε καὶ ἀνθρωπίνων πραγμάτων' καὶ ὁ ἐκ τῆς ὑπεροχῆς ὁ λέγων ὅτι 'φιλοσοφία ἐστὶ τέχνη τεχνῶν καὶ ἐπιστήμη ἐπιστημῶν' τὸ θεωρητικὸν μέρος τῆς φιλοσοφίας περιέχουσι· καὶ γὰρ ὁ ἐκ τῆς ὑπεροχῆς τὸ θεωρητικὸν περιέχει· τοῦτο γὰρ δηλοῖ ὁ ἐκ τῆς ὑπεροχῆς, ὅτι ἡ φιλοσοφία δίδωσι τὰς ἀρχὰς ταῖς τέχναις καὶ ταῖς ἄλλαις ἐπιστήμαις γινώσκουσα αὐτάς. ὁ δὲ εἷς ὁ ἀπὸ τοῦ προσεχοῦς τέλους ὁ λέγων ὅτι 'φιλοσοφία ἐστὶ μελέτη θανάτου' καὶ ὁ ἀπὸ τῆς ἐτυμολογίας ὁ λέγων ὅτι 'φιλοσοφία ἐστὶ φιλία σοφίας' τὸ πρακτικὸν μέρος τῆς φιλοσοφίας περιέχουσι· καὶ γὰρ τὸ μελετᾶν τὸν θάνατον ἤγουν τὸ νέκρωσιν τῶν παθῶν ἀπεργάζεσθαι τοῦ πρακτικοῦ ἐστιν, ὁμοίως καὶ τὸ ἐφίεσθαι τῆς σοφίας τοῦ πρακτικοῦ ἐστιν. ὁ δὲ ὅρος | ὁ ἀπὸ τοῦ πόρρω τέλους ὁ λέγων ὅτι 'φιλο- 161r
σοφία ἐστὶν ὁμοίωσις θεῷ κατὰ τὸ δυνατὸν ἀνθρώπῳ' περιέχει καὶ τὸ θεωρητικὸν μέρος τῆς φιλοσοφίας καὶ τὸ πρακτικόν· καὶ γὰρ ὁ θέλων ὁμοιοῦσθαι τῷ θεῷ ἐφ' ὅσον ἀνθρώπῳ δυνατὸν θέλει καὶ κατὰ τὴν γνῶσιν ὁμοιοῦσθαι αὐτῷ καὶ κατὰ τὴν πρᾶξιν. καὶ κατὰ τὴν γνῶσιν μὲν ἵνα γινώσκῃ πάντα, κατὰ τὴν πρᾶξιν δὲ ἵνα κοσμῇ τὰ ἤθη καὶ εὐταξίαν φυλάττῃ ἐν τῷ ἀνθρώπῳ διὰ τῶν ἀρετῶν.

Μαθόντες οὖν ὁποῖόν τί ἐστιν ἡ φιλοσοφία, ἔλθωμεν καὶ μάθωμεν τὸ διὰ τί ἐστιν· οὐδὲ γὰρ μάτην ἐστὶν ἡ φιλοσοφία, εἴ γε, ὥς φησιν ὁ Πλάτων πρός τινα Θεόδωρον ποιούμενος τοὺς λόγους, 'τοιοῦτόν τι, ὦ Θεόδωρε,

---

1 καὶ (post θέλει) om. T 1. 2 τὴν (bis) om. K 5 ὡς ἔστιν εἰπεῖν ἐν συντ. colloc. T 6 δὲ] δὴ T 7 μέρος] μόνον T 8 οἱ (post δύο) om. K 9 οἷον ὁ] ὅ τε T φιλοσοφία ἐστὶ om. T 10 ὅτι om. KV 10. 11 φιλοσοφία ἐστὶ (bis) om. T 12 ἐκ] ἀπὸ V 13 ὁ ἐκ τῆς ὑπ. om. T 15 ante γινώσκ. add. ὡς V² 16. 17 φιλοσοφία ἐστὶ (bis) om. T 16 ἀπὸ] ἐκ T ὁ λέγων (post ἐτυμ.) om. T 17 ὅτι] τῆς T 18 alt. τὸ] τὴν KV 19 ὁμοίως om. KV ante ἐφίεσθαι superscr. ἀγαπᾶν V² 20 ante ὁ δὲ ὅρος add. ἡ γὰρ (ὅτι γὰρ ἡ K) ἔφεσις τοῦ πρακτικοῦ ἐστι δῆλον, εἴ γε καὶ τοῖς ἄλλοις (ἀλόγοις KV²) ζώοις τοῖς ἐστερημένοις λόγου ὁρᾶται ἡ ἔφεσις· καὶ γὰρ ἔχουσι καὶ τὰ ἄλογα ζῶα ὄρεξίν τινα καὶ ἐπιθυμίαν. ἄλλως τε δὲ ὥσπερ ἡ πρᾶξις τῷ ἀγαθῷ καὶ φαύλῳ χαρακτηρίζεται, οὕτω καὶ ἡ ἔφεσις τῷ ἀγαθῷ καὶ φαύλῳ χαρακτηρίζεται· ὁ γὰρ λόγος τῷ ἀληθεῖ καὶ ψευδεῖ χαρακτηρίζεται (ὁ γὰρ λόγος — χαρακτ. in mrg. suppl. V²) KV ὅτι om. KV 20. 21 φιλοσοφία ἐστὶν om. T 22 μέρος τῆς φιλοσοφίας om. T 23 τῷ om. T 23. 24. 25 τὴν (ante γνῶσιν et πρᾶξιν) const. om. K 26 φυλάττει V 27 μάθομεν V 28 ante φιλοσοφία add. ἀλήθεια, sed del. V φασιν V¹ ὁ Πλάτων] Tim. p. 47 B (cf. p. 48,12)

Digitized by Google

ἀγαθὸν οὔτε ἧκέ ποτε εἰς ἀνθρώπους δωρηθὲν ἐκ θεοῦ οὔτε ἥξει ποτέ'. ἰστέον οὖν ὅτι διὰ τοῦτό ἐστιν ἡ φιλοσοφία διὰ τὸ κοσμεῖν τὰς τῶν ἀνθρώπων ψυχὰς καὶ διὰ τὸ ἐκ τοῦ ἀχλυώδους καὶ ὑλώδους τούτου βίου μεταφέρειν τὴν ψυχὴν ἐπὶ τὰ θεῖα καὶ ἄυλα κατὰ τὴν Ὁμηρικὴν Ἀθηνᾶν,

ὄφρ' εὖ γιγνώσκῃ ἠμὲν θεὸν ἠδὲ καὶ ἄνδρα.

δεῖ γὰρ γινώσκειν ὅτι ἡ ψυχὴ διττὰς ἔχει δυνάμεις· τὰς μὲν γὰρ γνωστικὰς ἔχει, τὰς δὲ ζωτικάς. καὶ γνωστικαὶ μέν εἰσιν αὗται· νοῦς διάνοια δόξα αἴσθησις φαντασία. ζωτικαὶ δὲ αὗται· βούλησις καὶ προαίρεσις, θυμὸς καὶ ἐπιθυμία. καὶ ἐν ἑκατέρῳ τούτων αἱ μὲν λογικαί εἰσιν αἱ δὲ ἄλογοι· καὶ γὰρ ἐν ταῖς γνωστικαῖς δυνάμεσιν αἱ μέν εἰσι λογικαὶ αἱ δὲ ἄλογοι, καὶ λογικαὶ μέν εἰσι νοῦς διάνοια καὶ δόξα ἡ μετὰ λόγου, ἄλογοι δὲ αἴσθησις φαντασία καὶ δόξα ἡ ἄλογος· καὶ γὰρ καὶ ἡ ἄλογος αἴσθησις καὶ ἐν τοῖς ἀλόγοις ζῴοις θεωρεῖται καὶ ἡ φαντασία ὁμοίως· καὶ γὰρ τὸ ἄλογον ζῷον ἐὰν πολλάκις παρέλθῃ ἐκ τόπου, φαντάζεται αὐτὸν καὶ γνωρίζει αὐτόν, ὅθεν καὶ τὰ πολλὰ τῶν ἀλόγων ζῴων ἀφ' ἑαυτῶν εἰς τὴν οἰκείαν φάτμην ἐπέρχονται. ἡ δὲ ἄλογος δόξα ἄλογος λέγεται οὐ διότι καὶ ἐν τοῖς ἀλόγοις ζῴοις θεωρεῖται, ἀλλ' ἄλογος λέγεται διότι αἰτίας ἐστέρηται, οἷον ὡς ὅταν τις δοξάζῃ τὴν ψυχὴν ἀθάνατον εἶναι, μὴ λέγων αἰτίαν, ἀλλὰ λέγων 'οὕτω παρέλαβον'. καὶ ἐν ταῖς ζωτικαῖς δὲ δυνάμεσιν αἱ μέν εἰσι λογικαὶ αἱ δὲ ἄλογοι. καὶ λογικαὶ μέν εἰσι βούλησις καὶ προαίρεσις (αὗται γὰρ ἐν τοῖς λογικοῖς μόνοις ζῴοις θεωροῦνται, οὐ μὴν καὶ ἐν τοῖς ἀλόγοις· τὰ γὰρ ἄλογα ζῷα οὐκ ἔχουσι βούλησιν καὶ προαίρεσιν), ἄλογοι δέ εἰσι θυμὸς καὶ ἐπιθυμία· καὶ γὰρ καὶ τὰ ἄλογα ζῷα καὶ θυμοῦνται καὶ ἐπιθυμοῦσι. τούτων οὖν οὕτως ἐχόντων διὰ τοῦτο ἐπενοήθη ἡ φιλοσοφία διὰ τὸ τὰς τῶν ἀνθρώπων ψυχὰς κοσμεῖν, καὶ τὰς μὲν γνωστικὰς δυνάμεις κοσμεῖν διὰ τοῦ θεωρητικοῦ τὰς δὲ ζωτικὰς διὰ τοῦ πρακτικοῦ, ἤγουν διὰ τοῦ ποιεῖν ἡμᾶς κρατεῖν θυμοῦ καὶ ἐπιθυμίας καὶ μὴ ἐᾶν ἡμᾶς παρὰ τὸ δέον μήτε θυμοῦσθαι μήτε ἐπιθυμεῖν. ταῦτα μὲν ἐν τούτοις, ἐν οἷς σὺν θεῷ καὶ ἡ παροῦσα πρᾶξις καὶ τὰ προλεγόμενα τῆς φιλοσοφίας.

---

2 οὖν om. K τὸ ex τοῦ corr. V² 4 κατὰ τὴν Ὁμηρ. Ἀθ.] cf. Hom. E 128 5 καὶ om. K 6 γὰρ (bis) om. K ἔχει om. K 8 φαντ. καὶ αἴσθ. T 9 εἰσι λογ. coll. T 10 καὶ γὰρ — ἄλογοι om. KT 11 καὶ διάνοια T καὶ (ante δόξα) om. V ἡ (post δόξα) om. KV 12 καὶ (post γὰρ) om. K 13 θεωρ. ζώοις colloc. T καὶ ἡ φαντ. post αἴσθησις transp. ὁμοίως omisso T 15. 16 ἐπέρχ. V: ἀπέρχ. K: εἰσέρχ. T 17 ἀλλ' ἄλ. λέγ.] ἀλλὰ T 18 εἶναι] καὶ T λέγων] λέγει (bis) T 19 ante οὕτω add. ὅτι T δὲ (post ζωτικαῖς) om. TV 23 καὶ (ante θυμοῦνται) om. V 24 οὖν om. T 25 κοσμεῖν ψυχὰς colloc. T γνωστ.] ζωτικὰς V¹ 29 καὶ ἡ παρ. πρ. post φιλοσοφίας coll. K: om. T

Digitized by Google

ΠΡΟΛΕΓΟΜΕΝΑ ΣΥΝ ΘΕΩΙ ΤΗΣ ΠΟΡΦΥΡΙΟΥ ΕΙΣΑΓΩΓΗΣ ΑΠΟ ΦΩΝΗΣ ΔΑΒΙΔ ΤΟΥ ΘΕΟΦΙΛΕΣΤΑΤΟΥ ΚΑΙ ΘΕΟΦΡΟΝΟΣ ΦΙΛΟΣΟΦΟΥ. 161v

⟨Πρᾶξις α'⟩.

Μέλλοντες σὺν θεῷ ἄρχεσθαι τοῦ παρόντος συγγράμματος τὰ εἰωθότα ὑπὸ τῶν ἐξηγητῶν ζητεῖσθαι κεφάλαια, ὀκτὼ τὸν ἀριθμὸν ὄντα, ζητήσωμεν. κεφάλαια δὲ ταῦτα λέγονται, διότι τὸ κῦρος παντὸς τοῦ λόγου ἐπέχουσιν· ὥσπερ γὰρ ἡ κεφαλὴ τὸ κῦρος παντὸς τοῦ ζῴου ἐπέχει, διότι αἱ αἰσθήσεις ἐν αὐτῇ εἰσιν ἢ διότι τὴν βασιλεύουσαν τῶν αἰσθήσεων, φημὶ δὴ τὴν ὅρασιν, αὐτὴ ἔχει, τὸν αὐτὸν τρόπον καὶ ταῦτα τὰ λεγόμενα κεφάλαια τὸ κῦρος παντὸς τοῦ λόγου ἐπέχουσιν. εἰσὶ δέ, ὡς εἴρηται, τὰ ὀκτὼ τὸν ἀριθμὸν κεφάλαια ταῦτα· οἷον ὁ σκοπός, τὸ χρήσιμον, τὸ γνήσιον, ἡ αἰτία τῆς ἐπιγραφῆς, ἡ εἰς τὰ κεφάλαια διαίρεσις, ἡ τάξις, ὁ διδασκαλικὸς τρόπος καὶ ἡ ὑπὸ τί μέρος ἀναφορά.

Οὐ περιττὸν δέ τι ποιοῦντες ταῦτα ζητοῦσιν, ἀλλὰ βουλόμενοι προθυμοτέρους τοὺς ἀναγινώσκοντας ἀπεργάσασθαι· καὶ γὰρ τὸν σκοπὸν ζητοῦσιν, ἐπειδὴ ὁ σκοπὸς ἐν συντόμῳ περιέχει πάντα τὰ ἐν τῷ λόγῳ λεγόμενα καὶ ἕξιν τινὰ ἐν τῷ ἀναγινώσκοντι τίθησι [δῆλον ὅτι πάντα τὰ ἐν τῷ λόγῳ λεγόμενα δεῖ πρὸς τὸν σκοπὸν ἀπευθύνεσθαι]· ὁ γὰρ τὸν σκοπὸν ἀγνοῶν ὀκνηρότερος ἐπὶ τὸ σύγγραμμα ἔρχεται, ὥσπερ οἱ μακρὰν ὁδὸν ἀπιόντες καὶ ἀγνοοῦντες ποῦ ἀπέρχονται. καὶ ἁπλῶς εἰπεῖν ὁ τὸν σκοπὸν ἀγνοῶν

---

1 incipit Crameri Anecd. Paris. p. 434 (c) inscripsi ex V: τοῦ αὐτοῦ προλεγόμενα σὺν θεῷ τῆς πορφυρίου εἰσαγωγῆς K: ἀρχὴ σὺν θεῷ τῶν προλεγομένων τῶν πέντε φωνῶν T: ἀρχὴ σὺν θεῷ τῶν προλεγομένων τῶν πέντε φωνῶν ἀπὸ φωνῆς Δαβὶδ τοῦ θεοφιλεστάτου καὶ θεοφρονεστάτου c 4 πρᾶξις α' addidi 6 ζητῆσαι c τὸν ἀρ. ὀκτὼ coll. T ὄντα om. V 8. 9 αἱ αἰσθ. post εἰσιν coll. Tc 8 αἱ supra scr. K: om. V 9 δὴ] δὲ K 10 αὐτὴν T ταῦτα om. V 11 ἔχουσιν Brand. τὰ ὀκτὼ ταῦτα κεφ. (τὸν ἀρ. om.) Tc: τὰ αὐτὰ κεφ. ὀκτὼ τὸν ἀρ. V 12 τὸ χρήσιμον om. T post τάξις add. τῆς ἀναγνώσεως V καὶ om. Tc 15 τι om. KV 17 τὰ πάντα τὰ c καὶ ἕξιν—λεγόμενα (19) om. V 18 ἐν om. K δῆλον ὅτι—ἀπευθύνεσθαι (19) delevi 20 ὀκνηροτέρως T: ὀκνηρότερον V 21 ἁπλῶς] ἄλλως V

Digitized by Google

ἔοικε τυφλῷ βαδίζοντι καὶ πολλὰ μοχθοῦντι· καὶ γὰρ ὁ τὸν σκοπὸν ἀγνοῶν οὐκ ἐπίσταται τί ἀναγινώσκει, ἀλλὰ νομίζει πάντα τὰ ἐν τῷ λόγῳ λεγόμενα μάτην λέγεσθαι. εὐλόγως δὲ καὶ τὸ χρήσιμον ζητοῦσιν, ἐπειδὴ ἐὰν γινώσκῃ ἕκαστος τὸ ἐκ τοῦ συγγράμματος ἀναφυόμενον χρήσιμον, προθυ-
5 μότερον ἀναγινώσκει τὸ σύγγραμμα. καὶ τὴν αἰτίαν δὲ τῆς ἐπιγραφῆς εὐλόγως ζητοῦσιν, ἐπειδὴ εἰ καὶ θέλει ἡ ἐπιγραφὴ σύμφωνος εἶναι τῷ σκοπῷ καὶ τὸν σκοπὸν ἐν συντόμῳ περιέχειν (οἷον ὥσπερ ἐπιγέγραπται Περὶ οὐρανοῦ, ἐπειδὴ περὶ οὐρανοῦ σκοπὸν ἔχει διαλαβεῖν), ἀλλ' οὖν πολλάκις ἀσαφὴς εὑρίσκεται ἡ ἐπιγραφή, ὥσπερ Ἀριστοτέλης ἐπέγραψεν Ἀναλυτικὰ
10 βουλόμενος Περὶ συλλογισμῶν ἐπιγράψαι, ἐπειδὴ περὶ συλλογισμῶν διαλαμβάνει ἐκεῖ. ἐπειδὴ οὖν πολλάκις ἀσαφὴς εὑρίσκεται ἡ ἐπιγραφή, εὐλόγως ζητεῖται ἡ αἰτία τῆς ἐπιγραφῆς. εὐλόγως δὲ καὶ τὸ γνήσιον ζητεῖται, ἐπειδὴ γινώσκοντες ὅτι γνήσιόν ἐστι τοῦ ἀνδρὸς τὸ σύγγραμμα διὰ τὸ ἀξίωμα τοῦ ἀνδρὸς προθυμότερον αὐτὸ ἀναγινώσκομεν· καὶ γὰρ πολλοὶ οὐκ εἰσιν ἱκανοὶ
15 κρῖναι εἴτε καλῶς ἔχουσι τὰ | ἐν τῷ συγγράμματι λεγόμενα εἴτε οὔ, ἀλλ' 162r
ἀγαπητὸν ἡγοῦνται τὸ ἀκολουθῆσαι τῇ δόξῃ τοῦ ἀνδρός. ἢ διὰ τοῦτο ζητεῖται τὸ γνήσιον, ἐπειδὴ εἰσὶ καὶ νόθα συγγράμματα.

Γίνεται δὲ νόθον σύγγραμμα κατὰ τέσσαρας τρόπους· ἢ γὰρ δι' ὁμωνυμίαν, καὶ ταύτην διττήν· ἢ γὰρ δι' ὁμωνυμίαν τῶν συγγραψαμένων ἢ δι'
20 ὁμωνυμίαν τῶν συγγραμμάτων. καὶ δι' ὁμωνυμίαν τῶν συγγραψαμένων, ὡς ὅταν εὑρεθῶσι δύο τινὲς ὁμωνύμως λεγόμενοι καὶ ποιήσῃ ὁ μὲν εἷς σύγγραμμα Περὶ ψυχῆς ὁ δὲ ἕτερος σύγγραμμα Περὶ οὐρανοῦ· τότε γὰρ διὰ τὴν ὁμωνυμίαν τῶν συγγραψαμένων νοθεία γίνεται τῶν συγγραμμάτων· νομίζεται γὰρ τὸ τούτου ἐκείνου εἶναι καὶ τὸ ἐκείνου τούτου. δι' ὁμωνυ-
25 μίαν δὲ τῶν συγγραμμάτων, ὡς ὅταν εὑρεθῶσί τινες διαφόρῳ ὀνόματι λεγόμενοι καὶ ποιήσωσιν ἀμφότεροι συγγράμματα τὸν αὐτὸν σκοπὸν ἔχοντα, οἷον ἀμφότεροι Περὶ ψυχῆς, καὶ μὴ ἐπιγράψωσι τὰ οἰκεῖα ὀνόματα ἀλλὰ μόνον τὸ τοῦ συγγράμματος ὄνομα· τότε γὰρ διὰ τὴν τῶν συγγραμμάτων ὁμωνυμίαν νοθεία γίνεται· νομίζεται γὰρ τὸ ἐκείνου τοῦ ἄλλου εἶναι
30 καὶ τὸ τοῦ ἄλλου ἐκείνου.

Κατὰ δεύτερον δὲ τρόπον γίνεται νόθον σύγγραμμα διὰ φιλοτιμίαν

---

4 ἀναφαινόμενον K 4. 5 προθυμοτέρως KTc 6 εἰ om. Brand. 7 περιελεῖν c 8 ἐπειδὴ—οὐρανοῦ om. c 9 καὶ ἀσαφὴς Brand. παραγραφή c Ἀριστοτέλης om. V ἐπέγραψεν] ἔγραψεν T 10 συλλογισμοῦ (alt. l) T 11 εὑρ.] ἐστιν V παραγραφὴ (superscr. ἐπι) c 12 παραγραφῆς c 14 προθυμότερον Par. 2089: προθυμοτέρως KTVc 15 λεγόμενα] κείμενα Vc 19 καὶ ταύτην—καὶ δι' ὁμωνυμίαν (20) om. K: καὶ ταύτην—ἢ γὰρ δι' ὁμων. om. V 19. 20 τῶν συγγραμμάτων ἢ δι' ὁμ. τῶν συγγραψαμένων V 20 post alt. ὁμων. add. μὲν T 21 ποιήσει c εἷς om. V 22 ἕτερος om. V 22. 23 διὰ τὴν ὁμων.] δι' ὁμων. V 24 νομίζεται—συγγραμμάτων (25) om. K post γὰρ add. καὶ T 25 ante ὡς add. καὶ c 26 περιέχοντα V 28 μόνου c γὰρ om. Tc 28. 29 διὰ τὴν ὁμ. τῶν συγγρ. T: δι' ὁμ. τῶν σ. V 29 νοθεία] νόθον KVc τοῦ] τὸ c 30 τοῦ (ante ἄλλου) Paris. 2089: om. KTVc ante ἐκείνου add. τὸ Tc 31 κατὰ δεύτερον—ἀναγινώσκεσθαι (p. 82,2) post προσκτώμενοι (p. 82,12) transp. V δεύτερον] τρίτον V νόθον γίνεται colloc. K

Digitized by Google

ἤτοι κενοδοξίαν, ὡς ὅταν τις εὑρεθῇ ἀφανὴς καὶ εὐτελὴς καὶ βουλόμενος ποιῆσαι τὸ οἰκεῖον σύγγραμμα ἀναγινώσκεσθαι ἐπιγράψῃ ὄνομα ἀρχαίου καὶ ἐνδόξου ἀνδρός, ἵνα διὰ τῆς ἀξιοπιστίας τοῦ ἀνδρὸς δεκτὸν τὸ παρὸν αὐτοῦ φαίνηται σύγγραμμα.

Κατὰ τρίτον δὲ τρόπον γίνεται νόθον σύγγραμμα δι' αἰσχροκέρδειαν, ὡς ὅταν τις βουλόμενος πόρον ἑαυτῷ περιποιήσασθαι ποιήσῃ σύγγραμμα καὶ ἐπιγράψῃ ἀρχαίου τινὸς ὄνομα, ὅπερ καὶ ἐπὶ τοῦ Πεισιστράτου φασὶ γενέσθαι· καὶ γὰρ λέγουσιν ὅτι ὁ Πεισίστρατος χύδην φερομένους τοὺς Ὁμήρου στίχους ἠβουλήθη συναγαγεῖν καὶ διώρισε μισθόν τινα τοῖς φέρουσιν αὐτῷ Ὁμηρικοὺς στίχους, καὶ λοιπὸν οἱ πολλοὶ δι' αἰσχροκέρδειαν ἐπλάττοντο στίχους καὶ ὡς Ὁμήρου ὄντας ἐπέφερον αὐτῷ κέρδος ἐντεῦθεν προσκτώμενοι.

Κατὰ τέταρτον δὲ τρόπον γίνεται νόθον σύγγραμμα δι' εὔνοιαν τοῦ οἰκείου διδασκάλου· καὶ γὰρ πολλοὶ ποιοῦσι συγγράμματα καὶ διὰ τὴν εὔνοιαν τὴν πρὸς τὸν διδάσκαλον τὸ ὄνομα τοῦ οἰκείου διδασκάλου ἐπιγράφουσιν, ὅπερ καὶ οἱ Πυθαγόρειοι ἐποίησαν· καὶ γὰρ οὗτοι ἐποίησαν τὰ Χρυσᾶ ἔπη καὶ πρὸς τιμὴν τοῦ οἰκείου διδασκάλου ἐπέγραψαν τὸ ὄνομα αὐτοῦ. ἐπειδὴ οὖν, ὡς εἴρηται, πολλά εἰσι νόθα συγγράμματα, τούτου χάριν ἀναγκαίως ζητεῖται τὸ γνήσιον, ἵνα γνῶμεν εἰ ἄρα αὐτοῦ εἰσιν ἢ ἄλλου.

Διακρίνονται δὲ τὰ γνήσια συγγράμματα τῇ τε ὕλῃ καὶ τῷ εἴδει· τῇ ὕλῃ μὲν τῇ φράσει ἤγουν ταῖς λέξεσι, τῷ εἴδει δὲ τοῦτ' ἔστι τοῖς θεωρήμασι· καὶ γὰρ διὰ τῆς φράσεως καὶ τῶν θεωρημάτων γινώσκομεν εἰ ἄρα αὐτοῦ εἰσι ἢ οὔ· εἰ γὰρ εὕρωμεν τὴν φράσιν | καὶ τὰ θεωρήματα συνήθη 162v
τῷ ἀνδρί, γινώσκομεν ὅτι αὐτοῦ ἐστι τὸ σύγγραμμα.

Εὐλόγως δὲ καὶ ἡ εἰς τὰ κεφάλαια διαίρεσις ζητεῖται, ἐπειδὴ γινώσκοντες τὰ ἐν τοῖς κεφαλαίοις λεγόμενα ἀκριβῶς τὸ ὅλον γινώσκομεν· καὶ γὰρ ὥσπερ γινώσκοντες ἐκ ποίων μερῶν συνίσταται ὁ ἄνθρωπος ἀκριβῶς τὸ ὅλον γινώσκομεν, οὕτω καὶ τὰ ἐν τοῖς κεφαλαίοις λεγόμενα γινώσκοντες ἀκριβῶς τὸ ὅλον γινώσκομεν. εὐλόγως δὲ καὶ ἡ τάξις ζητεῖται, ἵνα μὴ τὰ ὀφείλοντα πρῶτα ἀναγινώσκεσθαι τελευταῖα ἀναγνῶμεν ἢ ἐκ τοῦ ἐναντίου

---

1 εὑρεθῇ om. Tc εὐτελὴς καὶ ἀφανὴς colloc. K καὶ (ante βουλ.) om. Tc
2 ποιήσασθαι K ἐπιγράψῃ—σύγγραμμα (4) om. V 5 τρίτον] δεύτερον V
νόθον γίνεται colloc. K 5 et 10 αἰσχροκερδίαν K 6 καὶ ποιήσῃ V: ποιήσει c
σύγγρ.] γράμμα T 8 ὁ om. V 9 ἐβουλήθη V post συναγαγεῖν add.
αὐτούς KTVc: om. Par. 2089 διώρισε] δὴ ὥρισε KTc 10 ὁμηρικοὺς] ὁμήρου KV
10. 11 ἔπλαττον KV 11 ἐπέφερον] ἀπέφερον KVc αὐτῷ] αὐτοὺς V
15 ἐπιγρ. διδασκ. colloc. Tc 16 καὶ γὰρ—ἐποίησαν om. V οὗτοι Par. 2089:
αὐτοὶ KTc 16. 17 τὰ χρ. ἔπη ἐπ. coll. K 16. 18 ποιήσαντες τὰ χρ. ἔπη ἐπέγραψαν
τὸ ὄν. τοῦ οἰκ. διδ. πρὸς τιμὴν αὐτοῦ T: ποιήσαντες τὰ χρ. ἔπη ἐπέγραψαν πρὸς τιμὴν τοῦ
οἰκ. διδ. τὸ ὄν. αὐτοῦ c 19 ζητ. ἀναγκ. coll. c καὶ τὸ γνήσιον T
20 γνήσια] ἴδια V 21 ἤγουν] ἤτοι Brand. δὲ om. T 22 γινωσκόμενα c
23 εἰσι] εἰσι τοῦ ποιήσαντος Tc: ἐστι τὸ σύγγραμμα V οὔ] ἄλλου V 27 μερῶν]
μὲν V ὁ om. V 28 καὶ om. Brand. 29 ἀκριβῶς om. V ἢ] ἢ c
30 πρῶτον T ἀναγιν.] ζητεῖσθαι V ἐκ τοῦ ἐναντ.] καὶ τὸ ἐναντίον Tc

Digitized by Google

τὰ ὀφείλοντα τελευταῖα ἀναγινώσκεσθαι πρῶτα ἀναγνῶμεν. εὐλόγως δὲ καὶ ὁ διδασκαλικὸς τρόπος ζητεῖται, ἵνα γνῶμεν ποίῳ διδασκαλικῷ τρόπῳ κέχρηται· καὶ γάρ, ὡς ἐν τοῖς ἑξῆς μαθησόμεθα, πολλοί εἰσι διδασκαλικοὶ τρόποι. εὐλόγως δὲ καὶ ἡ ὑπὸ τί μέρος ἀναφορὰ ζητεῖται, ἵνα μὴ νομί-
5 σωμεν τὰ μὲν ὑπὸ τὸ θεωρητικὸν ἀναγόμενα ὑπὸ τὸ πρακτικὸν ἀνάγεσθαι, τὰ δὲ ὑπὸ τὸ πρακτικὸν ὑπὸ τὸ θεωρητικόν. ἐν οἷς σὺν θεῷ καὶ ἡ πρᾶξις.

Πρᾶξις β'.

Μαθόντες τὰ εἰωθότα λέγεσθαι κεφάλαια ἔλθωμεν καὶ ζητήσωμεν αὐτὰ καὶ ἐπὶ τοῦ παρόντος συγγράμματος ὀκτὼ τὸν ἀριθμὸν ὄντα. ἀλλὰ πρῶτον
10 περὶ τοῦ σκοποῦ διαλάβωμεν. ἰστέον ὅτι ὁ σκοπὸς καὶ συμπεφώνηται καὶ διαπεφώνηται· καὶ συμπεφώνηται μέν, ἐπειδὴ πάντες ὁμολογοῦσιν ὅτι σκοπὸν ἔχει περὶ τῶν πέντε φωνῶν διαλαβεῖν, τοῦτ' ἔστι περὶ γένους περὶ εἴδους περὶ διαφορᾶς περὶ ἰδίου περὶ συμβεβηκότος. καὶ τοῦτο πιστοῦται ἐξ αὐτοῦ· καὶ γὰρ αὐτὸς λέγει ἐν τῷ προοιμίῳ ὅτι ἀναγκαῖόν ἐστιν εἰπεῖν τί γένος καὶ τί
15 εἶδος καὶ τί διαφορὰ καὶ τί ἴδιον καὶ τί συμβεβηκός. διαπεφώνηται δέ, ἐπειδὴ οἱ μὲν λέγουσιν ὅτι οὐ δι' ἄλλο τι διαλαμβάνει περὶ τῶν πέντε φωνῶν εἰ μὴ δι' αὐτάς, τοῦτ' ἔστι διὰ τὸ παραστῆσαι ἡμῖν τὸ ἐξ αὐτῶν ἀναφυόμενον χρήσιμον, ἕτεροι δὲ λέγουσιν ὅτι διὰ τὰς Κατηγορίας Ἀριστοτέλους διαλαμβάνει περὶ αὐτῶν· ἐπειδὴ γὰρ ὁ Ἀριστοτέλης ἐν ταῖς Κατη-
20 γορίαις περὶ πάντων τῶν ὄντων διαλαμβάνει, εἰς δὲ τὴν τῶν ὄντων διδασκαλίαν συμβάλλονται ἡμῖν αἱ φωναί (διὰ γὰρ τῶν φωνῶν δηλοῦνται τὰ πράγματα), τούτου χάριν περὶ τῶν πέντε φωνῶν διαλαμβάνει. ἄλλοι δὲ λέγουσιν ὅτι διὰ τοῦτο περὶ τῶν πέντε φωνῶν διαλαμβάνει, ἐπειδὴ αἱ πέντε φωναὶ συμβάλλονται ἡμῖν εἰς πᾶσαν φωνὴν ὑπὸ τὴν φιλοσοφίαν οὖσαν·
25 ὥσπερ γὰρ οἱ γραμματικοὶ ἐπενόησαν τὰ ὀκτὼ μέρη τοῦ λόγου ὑφ' ἃ πᾶσα λέξις Ἑλληνικὴ | ἀνάγεται, καὶ ὥσπερ οἱ ῥήτορες ἐπενόησαν τὰς δεκατρεῖς 163r στάσεις ὑφ' ἃς πᾶν πολιτικὸν ζήτημα ἀνάγεται, καὶ ὥσπερ ὁ Ἀριστοτέλης ἐπενόησε τὰς δέκα κατηγορίας ὑφ' ἃς πάντα τὰ ὄντα ἀνάγονται, οὕτω καὶ πᾶσα φωνὴ ὑπὸ τὴν φιλοσοφίαν οὖσα ὑπὸ τὰς πέντε φωνὰς ἀνάγεται· ἢ
30 γὰρ γένος ἐστὶν ἢ εἶδος ἢ διαφορὰ ἢ ἴδιον ἢ συμβεβηκός.

Ὅτι γὰρ πέντε εἰσὶν αἱ φωναί, δείκνυται ἐκ διαιρέσεως τοιαύτης· ἡ φωνὴ διττή ἐστιν· ἢ γὰρ ἔναρθρός ἐστιν ἢ ἄναθρος. | καὶ ἔναρθρος μὲν ἡ ἐκ διανοίας προβαλλομένη ὥσπερ ἡ τοῦ ἀνθρώπου, ἄναρθρος δὲ ὥσπερ ἡ

---

1 εὐλόγος T 2 διδασκαλικῷ om. V 6 ἐν—πρ.] ταῦτα ἐν τούτοις. ἐν οἷς ἡ πρᾶξις V: ἐν οἷς σὺν θεῷ καὶ ἡ παροῦσα πρᾶξις c: om. T 8 εἰωθότα T κεφ. λέγ. coll. KTc 12 τοῦτ' ἔστι] ἤτοι Tc περὶ εἴδ.] καὶ εἴδ. καὶ c 15 καὶ τί διαφ. post συμβ. transp. V 16 διαλαμβ.] λαμβ. c 17 αὐτάς Par. 2089: ἑαυτάς KV: αὐτό Tc διὰ om. Tc ἡμῖν om. V 18 ὅτι om. Tc 19 γὰρ om. T 20 τῶν (post πάντων) om. V 22 ἄλλοι—διαλαμβάνει (23) om. Tc 23. 24 αἱ πέντε φωναὶ] αὗται Tc 27. 28 ἐπενόησεν ὁ ἀρ. colloc. T 28 ἐπενόησε] ἐποίησε V ἀνάγεται Tc 30 διαφορὰ ἢ εἶδος colloc. K 31 γὰρ ex δὲ corr. V δείκνυνται V

Digitized by Google

τῶν ἀλόγων ζῴων καὶ ὁ ἦχος ὁ ἀπὸ λίθου ἢ ξύλου γινόμενος. καὶ ἑκατέρα δὲ τούτων διττή ἐστιν· ἥ γὰρ σημαντική ἐστιν ἢ ἀσήμαντος. καὶ ἔναρθρος μὲν καὶ σημαντικὴ ὥσπερ ἐπὶ τοῦ ἄνθρωπος καὶ ἵππος· αὗται γὰρ καὶ ἔναρθροί εἰσι, καθὸ ἀνθρώπων εἰσὶ φωναί, καὶ σημαντικαί, καθὸ
5 κατὰ πραγμάτων τίθενται. ἔναρθρος δὲ καὶ ἀσήμαντος ὡς ἐπὶ τοῦ ἱπποκένταυρος· τοῦτο γὰρ ἀσήμαντόν ἐστιν, ἐπειδὴ οὐ τίθεται κατὰ πράγματος· οὔτε γὰρ ἔστιν ἱπποκένταυρος. ἄναρθρος δὲ καὶ σημαντικὴ ὡς ἐπὶ τῆς ὑλακῆς τῶν κυνῶν· αὕτη γὰρ καὶ ἄναρθρός ἐστι, καθὸ οὐκ ἔστιν ἀνθρώπου φωνή, καὶ σημαντική, καθὸ δηλοῖ παρουσίαν ἢ ξένου ἢ φίλου. ἄναρθρος
10 δὲ καὶ ἀσήμαντος ὡς ἐπὶ τοῦ ἤχου τοῦ ἐκ λίθου ἢ ξύλου γινομένου· αὕτη γὰρ ἡ φωνὴ ἀσήμαντός ἐστιν· οὔτε γὰρ τίθεται κατὰ πράγματος.

Τούτων οὖν οὕτως ἐχόντων οἱ φιλόσοφοι περὶ τῆς ἀνάρθρου φωνῆς οὐ διαλαμβάνουσιν οὔτε δὲ περὶ τῆς ἐνάρθρου καὶ ἀσημάντου φωνῆς· οὗτοι γὰρ περὶ πράγματα καταγινόμενοι τῶν σημαινομένων φροντίζουσι. περὶ
15 τούτων δὲ τοῖς γραμματικοῖς μελέτω· οὗτοι γὰρ ὡς περὶ φωνὰς καταγινόμενοι οὐ πάνυ τῶν σημαινομένων φροντίζουσι. περὶ δὲ τῆς ἐνάρθρου καὶ σημαντικῆς φωνῆς διαλαμβάνουσιν οἱ φιλόσοφοι, καὶ περὶ ταύτης οὐ πάσης· ἰστέον γὰρ ὅτι ἡ ἔναρθρος καὶ σημαντικὴ φωνὴ διττή ἐστιν· ἢ γὰρ μερική ἐστιν ἢ καθόλου. καὶ μερικὴ μέν, ὡς ὅταν εἴπωμεν 'Σωκράτης' 'Πλάτων'
20 (ταῦτα γὰρ μερικά εἰσι), καθόλου δέ, ὡς ὅταν εἴπωμεν 'ἄνθρωπος' 'ἵππος'· ταῦτα γὰρ καθόλου εἰσι. περὶ οὖν τῆς μερικῆς οὐ διαλαμβάνουσιν, ἐπειδὴ τὰ μερικὰ ἀόριστα καὶ ἀπερίληπτά εἰσιν, ἀλλὰ περὶ τῆς καθόλου διαλαμβάνουσιν.

Αὕτη οὖν ἡ ἔναρθρος καὶ σημαντικὴ καθόλου φωνὴ διττή ἐστιν· ἥ
25 γὰρ οὐσιώδης ἐστὶν ἢ ἐπουσιώδης. ἐπουσιῶδες δὲ λέγεται τὸ ἐπὶ τῆς οὐσίας ὄν. ἑκάτερον δὲ τούτων διττόν ἐστιν· καὶ γὰρ τὸ ἐπουσιῶδες διττόν ἐστιν· ἢ γὰρ μιᾷ φύσει ἁρμόζει ἢ πολλαῖς φύσεσι. καὶ εἰ μὲν πολλαῖς φύσεσιν ἁρμόζει, γίνεται τὸ κοινῶς συμβεβηκός, ὅπερ διττόν ἐστιν· ἢ γὰρ χωριστόν ἐστιν | ἢ ἀχώριστον. καὶ χωριστὸν μέν ἐστιν ὡς ἐπὶ τοῦ κινεῖσθαι (τοῦτο 163v
30 γὰρ χωριστὸν συμβεβηκός ἐστι· δύναται γάρ τις μὴ ἀεὶ κινεῖσθαι, ἀλλὰ δύναται καὶ ἠρεμεῖν. τοῦτο δὲ πολλαῖς φύσεσιν ἁρμόζει· καὶ γὰρ παντὶ ζῴῳ παρέπεται τὸ κινεῖσθαι), ἀχώριστον δὲ ὡς τὸ λευκὸν τοῦ κύκνου καὶ τὸ μέλαν

---

3 τοῦ om. KT ἀνθρώπου καὶ ἵππου KT 4 εἰσὶν ἀνθρ. coll. TV 5. 6 ἱπποκένταυρος scripsi: ἱπποκενταύρου KTc: κένταυρος V 7 οὔτε] an οὐδὲ? κένταυρος V 8 καὶ ἄναρθ.] ἄναρθ. μὲν K: ἄναρθ. c 9 καὶ σημ.] σημ. δὲ K φίλου] ἰδίου V 10 ante ἐπὶ add. ἡ c ἤχου τοῦ ἐκ om. V: ἐκ om. Tc γινομένη Vc 11 οὔτε] οὐ Tc; an οὐδὲ? 12 οὖν om. TVc ἀνάρθρου] ἐνάρθρου Tc 13 φωνῆς om. V 14 περὶ—μελέτω (15)] τοῖς γραμματικοῖς γὰρ μελέτω περὶ τούτου V 15 δὲ] γὰρ K ὡς om. K 17 διαλαμβ.] φροντίζουσι c 19 μὲν om. c 21 post διαλαμβ. add. οἱ φιλόσοφοι K 22. 23 διαλαμβάνουσιν om. K 25 ἐπουσιῶδες] ἐπουσιώδης K 26 καὶ γὰρ τὸ] τὸ γὰρ Tc διττόν ἐστιν om. Tc 27 γὰρ om. Tc φύσεσι (bis) om. Tc 28 ἁρμόζει om. TVc τὸ κοινῶς om. V 29 ἐστιν (post μέν) om. Tc 30 τις post κινεῖσθαι transp. V 30. 31 δύναται καὶ om. KTc 31 πολαῖς T

Digitized by Google

τοῦ κόρακος· ταῦτα γὰρ ἀχώριστα συμβεβηκότα εἰσίν· οὔτε γὰρ ὁ κύκνος δύναται μὴ εἶναι λευκὸς οὔτε ὁ κόραξ δύναται μὴ εἶναι μέλας. ταῦτα δὲ πολλαῖς φύσεσιν ἁρμόζει· οὐ μόνον γὰρ ὁ κόραξ ἐστὶ μέλας ἀλλὰ καὶ ὁ Αἰθίοψ, καὶ πάλιν οὐ μόνον ὁ κύκνος ἐστὶ λευκὸς ἀλλὰ καὶ ἡ χιὼν καὶ τὸ
5 ψιμύθιον. εἰ δὲ μιᾷ φύσει ἁρμόζει, γίνεται τὸ ἴδιον ἐπουσιῶδες, ὡς ὅταν εἴπωμεν τοῦ μὲν ἀνθρώπου ἴδιον εἶναι τὸ γελαστικὸν τοῦ δὲ ἵππου τὸ χρεμετιστικόν. ὅθεν καὶ ἴδια λέγονται παρὰ τὸ ἰδίως μιᾷ φύσει ὑπάρχειν· καὶ γὰρ μόνῳ τῷ ἀνθρώπῳ παρέπεται τὸ γελᾶν καὶ μόνῳ τῷ ἵππῳ τὸ χρεμετίζειν.

10 Καὶ τὸ οὐσιῶδες δὲ πάλιν διττόν ἐστιν· ἢ γὰρ μιᾷ φύσει ἁρμόζει ἢ πολλαῖς φύσεσι. καὶ εἰ μὲν πολλαῖς φύσεσιν ἁρμόζει, ἢ ἐν τῷ τί ἐστι κατηγορεῖται καὶ γίνεται τὸ γένος (ἐρωτώμενοι γὰρ τί ἐστιν ἄνθρωπος τὸ γένος ἀποκρινόμεθα λέγοντες 'ζῷον', ὅπερ πολλαῖς ἁρμόζει φύσεσιν· οὐ μόνον γὰρ ὁ ἄνθρωπος ζῷον ἀλλὰ καὶ ὁ ἵππος καὶ ὁ κύων καὶ ὁ βοῦς), ἢ
15 ἐν τῷ ὁποῖόν τί ἐστι κατηγορεῖται καὶ γίνεται ἡ διαφορά· ἐρωτώμενοι γὰρ ὁποῖόν τί ἐστιν ἄνθρωπος λέγομεν ὅτι λογικόν, τὴν διαφορὰν ἀποκρινόμενοι. τοῦτο δὲ πολλαῖς φύσεσιν ἁρμόζει· οὐ μόνον γὰρ ὁ ἄνθρωπός ἐστι λογικόν, ἀλλὰ καὶ ἄγγελος καὶ δαίμων. εἰ δὲ μιᾷ φύσει ἁρμόζει, ἢ πάλιν ἐν τῷ τί ἐστι κατηγορεῖται καὶ γίνεται τὸ εἶδος (ἐρωτώμενοι γὰρ τί ἐστι Σωκρά-
20 της καὶ λέγοντες ὅτι ἄνθρωπος τὸ εἶδος ἀποκρινόμεθα, τοῦτο δὲ μιᾷ φύσει ἁρμόζει· μόνοις γὰρ τοῖς ἀνθρώποις ἁρμόζει ἡ τοῦ ἀνθρώπου φωνή), ἢ ἐν τῷ ὁποῖόν τί ἐστι κατηγορεῖται καὶ γίνεται τὸ οὐσιῶδες ἴδιον, οἷον ὡς ὅταν ἐρωτώμενοι ὁποῖόν τί ἐστιν ὁ ἄνθρωπος εἴπωμεν 'νοῦ καὶ ἐπιστήμης δεκτικόν'· τοῦτο γὰρ ἰδίως μόνῳ τῷ ἀνθρώπῳ πρόσεστιν.

25 Πέντε οὖν οὐσῶν τῶν φωνῶν, ὡς ἐδίδαξεν ἡ διαίρεσις (ἔστι γὰρ γένος εἶδος διαφορὰ ἴδιον συμβεβηκός), πέντε εἰσὶ καὶ οἱ τρόποι τῶν κατηγοριῶν τῶν φωνῶν, τοῦτ' ἔστι πέντε τρόποι εἰσὶν οἱ κατὰ τῶν φωνῶν τούτων φερόμενοι· ἔστι γὰρ τί ἐστιν, ὁποῖόν τί ἐστιν, ὁποῖόν ἐστι καὶ ποῖόν ἐστι καὶ πῶς ἔχει. καὶ τὸ μὲν γένος καὶ τὸ εἶδος ἐν τῷ τί ἐστι κατηγοροῦνται
30 (ἐρωτώμενοι γὰρ τί ἐστι τὸ προσιὸν ἢ ἄνθρωπος λέγομεν ἢ ζῷον, καὶ ἰδοὺ τὸ μὲν ζῷον γένος ἐστὶ τὸ δὲ ἄνθρωπος εἶδος), ἡ δὲ διαφορὰ καὶ τὸ ἴδιον οὐσιῶδες ἐν τῷ ὁποῖόν τί ἐστι κατηγοροῦνται (ἐρωτώμενοι γὰρ ὁποῖον τί ἐστι τὸ προσιὸν ἢ λογικὸν λέγομεν ἢ νοῦ καὶ ἐπιστήμης δεκτικόν, καὶ ἰδοὺ

---

2 pr. μὴ om. V 3 μόνος V 4 ἐστι om. V λευκὸν Tc 5 ψιμμύθιον KT 6 εἴπωμεν] λέγωμεν V 7 λέγεται Tc φύσει μιᾷ colloc. Tc 8 παρέπεται] ὑπάρχοι (sic) V γελᾶν] γελαστικὸν c 13. 14 ὅπερ—ζῷον om. c 13 ἁρμόζει πολλαῖς colloc. V 14 γὰρ ὁ om. V καὶ ὁ ἵππος καὶ ὁ βοῦς καὶ ὁ κύων Tc: καὶ ἵππος καὶ κύων καὶ βοῦς V 16 ὅτι om. V 17 ἁρμ.] ὑπάρχει KTc ἐστι om. V λογικός Tc 20 ὅτι om. V 21 ἡ τοῦ ἀνθρ. φωνὴ τοῖς ἀνθρ. ἁρ. coll. Tc 23 ὁ om. KT 24 ἰδίως ἤγουν ἰδιαζόντως V 25 πέντε—πῶς ἔχει (p. 86,11) eicias ἐδίδαξεν] ἐδείξαμεν V 26 συμβ. ἴδιον διαφορά colloc. V ἴδιον καὶ συμβ. Tc 28 τί ἐστιν] εἰπεῖν c ὁποῖόν τι] καὶ ποῖον V¹: καὶ ποῖόν τι V² ante ὁποῖόν ἐστι add. καὶ V 29 κατηγοροῦνται Par. 2089: κατηγορεῖται KTVc 30 et 33 προῖὸν KTc 32 ὁποῖον] ποῖον (bis) V κατηγορεῖται K

Digitized by Google

τὸ μὲν λογικὸν δια|φορά ἐστι τὸ δὲ νοῦ καὶ ἐπιστήμης δεκτικὸν ἴδιον 164r
οὐσιῶδες), τὸ δὲ ἴδιον ἐπουσιῶδες ἐν τῷ ὁποῖόν ἐστι κατηγορεῖται (ἐρω-
τώμενοι γὰρ ὁποῖόν ἐστιν ὁ ἄνθρωπος λέγομεν γελαστικὸν καὶ ὁποῖόν ἐστιν
ὁ ἵππος λέγομεν χρεμετιστικόν), τὸ δὲ ἀχώριστον συμβεβηκὸς ἐν τῷ ποῖόν
5 ἐστι κατηγορεῖται (ἐρωτώμενοι γὰρ ποῖόν ἐστιν ὁ κόραξ λέγομεν μέλαν καὶ
ποῖόν ἐστι κύκνος λέγομεν λευκόν), τὸ δὲ χωριστὸν συμβεβηκὸς ἐν τῷ πῶς
ἔχει κατηγορεῖται· ἐρωτώμενοι γὰρ πῶς ἔχει Σωκράτης λέγομεν ὅτι ὑγιαίνει
ἢ κινεῖται. δέδεικται οὖν ὅτι πέντε εἰσὶν αἱ φωναί· ἔστι γὰρ γένος εἶδος
διαφορὰ ἴδιον καὶ συμβεβηκός. καὶ πέντε τρόποι οἱ κατὰ τῶν φωνῶν τού-
10 των φερόμενοι· ἔστι γὰρ τί ἐστιν, ὁποῖόν τί ἐστιν, ὁποῖόν ἐστι, ποῖόν ἐστι
καὶ πῶς ἔχει.

Ἀποροῦσι δέ τινες λέγοντες ὅτι οὐκ εἰσὶ μόναι πέντε φωναὶ ἀλλὰ καὶ
ἕξ· ἔστι γὰρ γένος εἶδος διαφορὰ συμβεβηκὸς ἴδιον οὐσιῶδες καὶ ἴδιον ἐπου-
σιῶδες. πρὸς οὓς ἔστιν εἰπεῖν ὅτι περὶ φωνῶν ἐστιν ὁ λόγος, μία δὲ
15 φωνή ἐστι τὸ ἴδιον οὐσιῶδες καὶ τὸ ἴδιον ἐπουσιῶδες· εἴτε γὰρ οὐσιῶδές
ἐστιν εἴτε ἐπουσιῶδες, ἴδιον λέγεται. ἐπεὶ κατὰ τοῦτον τὸν λόγον πλείονες
τῶν ἓξ φωνῶν εἰσιν· ἔστι γὰρ συμβεβηκὸς χωριστόν, ἔστι δὲ καὶ ἀχώριστον,
ἀλλὰ μία φωνή ἐστι καὶ τὸ χωριστὸν συμβεβηκὸς καὶ τὸ ἀχώριστον· εἴτε
γὰρ χωριστόν ἐστιν εἴτε ἀχώριστον, συμβεβηκὸς λέγεται. ταῦτα μὲν ἐν
20 τούτοις.

Ἰστέον δὲ ὅτι οὐσιῶδες μέν ἐστιν ὃ παρὸν μὲν σώζει ἀπὸν δὲ φθείρει,
ὡς ἐπὶ τοῦ λογικοῦ· τοῦτο γὰρ οὐσιωδῶς πρόσεστι τῷ ἀνθρώπῳ· παρὸν
μὲν γὰρ σώζει τὸν ἄνθρωπον, ἀπὸν δὲ φθείρει αὐτόν· οὐ δύναται γὰρ
ἄνθρωπος χωρὶς τοῦ λογικοῦ εἶναι. ἐπουσιῶδες δέ ἐστιν ὃ οὔτε παρὸν
25 σώζει οὔτε ἀπὸν φθείρει, ὡς ἐπὶ τοῦ λευκοῦ· τοῦτο γὰρ οὔτε παρὸν σώζει
τὸν ἄνθρωπον οὔτε ἀπὸν φθείρει· ἐνδέχεται γὰρ τὸν ἄνθρωπον καὶ εἶναι
λευκὸν καὶ μὴ εἶναι καὶ ὅμως συνίστασθαι. τὸ δὲ λευκὸν τοῦ κύκνου καὶ
τὸ μέλαν τοῦ Αἰθίοπος ἀχώριστά εἰσι συμβεβηκότα· οὔτε γὰρ κύκνον ἐνδέ-
χεται μὴ εἶναι λευκὸν οὔτε Αἰθίοπα μὴ εἶναι μέλανα. ταῦτα ἔχομεν εἰπεῖν
30 περὶ τοῦ σκοποῦ. ἐν οἷς καὶ ἡ δευτέρα πρᾶξις.

---

1 ἐστι διαφορὰ colloc. V 2 τὸ δὲ ἴδιον] καὶ τὸ ἴδιον δὲ KTc ὁποῖον K^2T^2c: ὁποῖόν τι K^1T^1V 3 et 4 ὁ (bis) om. KTc 4 ποῖον] ὁποῖον Tc 5 ὁ om. TVc μέλας KTc 6 λευκός KTc χωριστὸν δὲ colloc. Tc 7 ὅτι om. V 8 αἱ om. V 9 συμβεβηκὸς ἴδιον διαφ. (καὶ om.) colloc. V 10 ante ὁποῖόν ἐστι et ποῖόν ἐστι add. καὶ V 12 πέντε μόναι colloc. TVc 13 ἴδ. ἐπουσ. καὶ ἴδ. οὐσ. colloc. V 16 κατὰ τὸν λόγον αὐτῶν V 17 συμβ. ἀχώριστον καὶ χωριστὸν συμβ. V 18 ἀλλὰ—ἀχώριστον om. K καὶ τὸ χωρ. συμβ. om. c συμβεβηκὸς (post χωριστὸν) om. T post ἀχώρ. add. συμβεβηκός V 19 ἀχώρ. ἐστιν εἴτε χωρ. colloc. V εἴτε ἀχωρ.] ἢ ἀχωρ. KT 19. 20 ταῦτα μὲν ἐν τούτοις om. K 21 δὲ] οὖν K alt. μὲν om. Kc 22 ὡς ἐπὶ—φθείρει αὐτόν (23) om. KTc 25 ὡς ἐπὶ—φθείρει (26) om. TV 26 pr. τὸν ἄνθρωπον Laur. 72,5: om. Kc 27 εἶναι καὶ μὴ εἶναι λευκὸν colloc. V καὶ (ante ὅμως) om. K δὲ] γὰρ KVc 28 ἀχώριστόν ἐστι συμβεβηκός KTc 29 Αἰθίοπα] κόρακα V 30 ἐν οἷς σὺν θεῷ ἡ πρᾶξις V: om. T

Digitized by Google

Πρᾶξις γ'.

Μαθόντες τὸν σκοπὸν τοῦ παρόντος συγγράμματος ἔλθωμεν ἐπὶ τὸ χρήσιμον. ἰστέον ὅτι τὸ χρήσιμον τοῦ παρόντος συγγράμματος τριττόν ἐστι· χρησιμεύει γὰρ καὶ εἰς τὰς Κατηγορίας Ἀριστοτέλους καὶ εἰς πᾶσαν τὴν φιλοσοφίαν καὶ εἰς τὰς διαλεκτικὰς μεθόδους. καὶ εἰς μὲν τὰς Κατηγορίας Ἀριστοτέλους χρησιμεύει, ὅτι ἐν ταῖς Κατηγορίαις διδάσκει ἡμᾶς ὁ Ἀριστοτέλης περὶ τῶν δέκα γενικωτάτων γενῶν, διδάσκει δὲ ἡμᾶς ἐν τῷ παρόντι συγγράμματι τί ἐστι γένος καὶ πάλιν ὅτι τὰ γένη | τῶν εἰδῶν 164v εἰσι γένη καὶ διὰ τῶν διαφορῶν διαιροῦνται εἰς τὰ εἴδη· καὶ γὰρ τὸ ζῷον, ὅπερ ἐστὶ γένος, διὰ τῶν διαφορῶν, φημὶ δὲ διὰ τοῦ λογικοῦ καὶ τοῦ ἀλόγου, διαιρεῖται εἰς τὰ εἴδη, οἷον εἰς τὸ λογικὸν ζῷον καὶ εἰς τὸ ἄλογον ζῷον. διδάσκει δὲ ἡμᾶς ἐν τῷ παρόντι συγγράμματι καὶ τί ἐστιν εἶδος καὶ τί ἐστι διαφορά. καὶ πάλιν ἐπειδὴ τὰ γενικώτατα γένη ὅρους οὐκ ἐπιδέχονται (ὁ γὰρ ὅρος ἀπὸ γένους καὶ συστατικῶν διαφορῶν σύγκειται, οἷον ὁ ἄνθρωπός ἐστι ζῷον λογικὸν θνητὸν νοῦ καὶ ἐπιστήμης δεκτικόν· ἰδοὺ τὸ μὲν ζῷον γένος ἐστὶν αἱ δὲ λοιπαὶ συστατικαὶ διαφοραί. τὰ δὲ γενικώτατα γένη οὐκ ἔχουσιν ὑπεραναβεβηκὸς γένος τὸ ὀφεῖλον τεθῆναι ἐν τῷ ὅρῳ· τούτου χάριν οὐκ ἐπιδέχονται ὅρον, ἀλλὰ διὰ ἰδίου δηλοῦνται), διδάσκει [δὲ] ἡμᾶς ἐν τῷ παρόντι συγγράμματι τί ἐστιν ἴδιον. καὶ πάλιν ἐπεὶ τὰ πολλὰ τῶν δέκα γενικωτάτων γενῶν συμβεβηκότα εἰσὶν οἷον τὸ ποιὸν καὶ τὸ ποσόν, διδάσκει ἡμᾶς ἐν τῷ παρόντι συγγράμματι τί ἐστι συμβεβηκός.

Δέδεικται οὖν ὅτι χρησιμεύει τὸ παρὸν σύγγραμμα εἰς τὰς Ἀριστοτέλους Κατηγορίας. εἰς πᾶσαν δὲ τὴν φιλοσοφίαν χρησιμεύει τὸ παρὸν σύγγραμμα οὕτως· εἰ ἄρα αἱ Ἀριστοτέλους Κατηγορίαι εἰς πᾶσαν τὴν φιλοσοφίαν συμβάλλονται (εἰσαγωγαὶ γάρ εἰσι τῆς φιλοσοφίας καὶ δι' αὐτῶν πάντα τὰ ὄντα διδασκόμεθα), συμβάλλεται δὲ ἡ παροῦσα πραγματεία εἰς τὰς Ἀριστοτέλους Κατηγορίας, ὡς δέδεικται, δῆλον ὅτι διὰ μέσου τῶν Κατη-

---

2 post μαθόντες add. σὺν θεῷ KTc: om. V καὶ ἐπὶ TV 3 post ἰστέον add. δὲ c τριττόν K²: τρίτον K¹Vc: τετραχές T 4 χρησιμεύει] χρήσιμον Brand. post χρησιμεύει γὰρ add. τὸ παρὸν σύγγραμμα εἰς τὴν ἡμῶν αὐτῶν οὐσίαν. κοινωνικοὶ γάρ ἐσμεν οἱ ἄνθρωποι καὶ ἐξαγγέλλομεν (ἐξαγγέλομεν T) ἑαυτοῖς διὰ τῆς φωνῆς τὰ τοῦ νοῦ γεννήματα, ὅθεν καὶ φωνὴ λέγεται παρὰ (διὰ K) τὸ φωτίζειν, φῶτες γὰρ ἐκαλοῦντο οἱ ἄνθρωποι KTc 6 Ἀριστοτέλους χρησιμεύει om. V ἐν ταῖς κατηγορίαις post ἡμᾶς transp. T: om. V ὁ om. Tc 7 δὲ] δὴ V an ἡμᾶς ⟨Πορφύριος⟩? 8 τὰ γένη ὅτι coll. c τῶν (ante εἰδῶν) om. V 9 καὶ γὰρ—εἴδη (11) om. V 10 τοῦ (ante ἀλόγου) om. T 11 διαιρεῖται post φημὶ δὲ colloc. Tc τὸ ζῶον τὸ λογικὸν T καὶ εἰς τὸ ἄλ. ζῶον om. V 12 alt. ἐστι om. V 14 σύγκειται post γένους transp. K διαφ. συστ. colloc. Tc ὁ om. KTc 15 γένος ζῶον colloc. c 16 an αἱ δὲ λοιπαὶ ⟨λέξεις⟩? (cf. p. 91,13) 17 ἐπαναβεβηκὸς V γένος om. K τεθεῖναι KVc 18 ἰδίων V: τοῦ ἀιδίου c δὲ delevi 19 ἴδιον—τί ἐστι (21) om. Tc: in mrg. suppl. K¹ ἐπεὶ om. V 19. 20 τῶν δέκα γενῶν τῶν γενικ. V 20 ποιὸν ποσὸν (καὶ τὸ om.) V διδάσκει δὲ V 22 τὰς τοῦ ἀριστ. KT 23 τὸ παρὸν σύγγρ. om. Tc

Digitized by Google

γοριῶν συμβάλλεται ἡμῖν τὸ παρὸν σύγγραμμα καὶ εἰς πᾶσαν τὴν φιλοσοφίαν. συμβάλλεται δέ, ὡς εἴρηται, τὸ παρὸν σύγγραμμα καὶ εἰς τὰς διαλεκτικὰς μεθόδους. ἀλλὰ πρῶτον εἴπωμεν διὰ τί λέγονται διαλεκτικαὶ μέθοδοι καὶ πόσαι εἰσὶ καὶ τὴν τάξιν αὐτῶν, καὶ οὕτω λέγωμεν πῶς συμβάλλεται τὸ παρὸν σύγγραμμα καὶ εἰς τὰς διαλεκτικὰς μεθόδους.

Ἰστέον δὲ ὅτι διαλεκτικαὶ ἐλέγοντο, ἐπειδὴ ἐν τῷ διαλέγεσθαι ἀνεφαίνοντο· ἐν γὰρ τῷ διαλέγεσθαι καὶ διῃροῦν καὶ ὡρίζοντο καὶ ἀποδείξεσιν ἐκέχρηντο καὶ τῇ ἀναλύσει. εἰσὶ δὲ τέσσαρες αἱ διαλεκτικαὶ μέθοδοι· ἔστι γὰρ διαιρετικὴ ὁριστικὴ ἀποδεικτικὴ ἀναλυτική. καὶ διαιρετικῆς μὲν ἔργον ἐστὶ τὸ λαμβάνειν τὰ γένη καὶ διαιρεῖν αὐτὰ εἰς εἴδη, ὁριστικῆς δὲ ἔργον ἐστὶ τὸ ὁρίζεσθαι τὰ πράγματα, ἀποδεικτικῆς δὲ τὸ ἀποδείξεσι πιστοῦσθαι τὰ λεγόμενα. ἔστι δὲ ἡ πίστις τριττή· ἢ γὰρ ἐκ τῶν καθόλου τὰ μερικὰ πιστοῦνται ἢ ἐκ τῶν μερικῶν τὰ καθόλου ἢ ἐκ τοῦ ἴσου τὸ ἴσον. καὶ ἡνίκα μὲν ἐκ τῶν καθόλου τὰ μερικὰ κανονίζονται, λέγεται ἀπόδειξις, οἷον ὡς ὅταν βουλόμενοι δεῖξαι ὅτι ὁ ἄνθρωπος ἔμψυχός ἐστιν ἐκ τῶν καθόλου τοῦτο πιστωσώμεθα λέγοντες ὅτι 'ὁ ἄνθρωπος ζῷόν ἐστι, πᾶν ζῷον ἔμψυχόν ἐστιν, ὁ ἄνθρωπος ἄρα ἔμψυχός ἐστιν'. ἡνίκα δὲ ἐκ τῶν μερικῶν τὰ καθόλου κανονίζομεν, λέγεται ἐπαγωγή, οἷον ὡς ὅταν βουλόμενοι δεῖξαι ὅτι πᾶν | ζῷον τὴν κάτω γένυν κινεῖ ἐκ τῶν μερικῶν τοῦτο πιστωσώμεθα 165r λέγοντες ὅτι 'ὁ ἄνθρωπος τὴν κάτω γένυν κινεῖ, ὁ ἵππος τὴν κάτω γένυν κινεῖ, πᾶν ζῷον ἄρα τὴν κάτω γένυν κινεῖ'. ἡνίκα δὲ ἐκ τοῦ ἴσου τὸ ἴσον κανονίζομεν, λέγεται τὸ τοιοῦτον παράδειγμα οἷον ὡς ἐπὶ τοῦ Διονυσίου· βουλόμενος γάρ τις μὴ δοθῆναι τῷ Διονυσίῳ στρατὸν εἰσέρχεται καὶ κέχρηται παραδείγματι τῷ Πεισιστράτῳ λέγων ὅτι 'μὴ δῶμεν τῷ Διονυσίῳ στρατόν, ἵνα μὴ τυραννήσῃ ὡς ὁ Πεισίστρατος'. ἰστέον δὲ ὅτι εἷς κυρίως τρόπος ἐστὶν ἀποδείξεως ὁ ἀπὸ τῶν καθόλου τὰ μερικὰ κανονίζων· οὗτος γὰρ ὄντως ἀναγκαίως ἔχει· ὁ γὰρ λόγος ὁ κανονίζων ἀπὸ τῶν καθόλου τὰ μερικὰ ἀναγκαίως ἀληθεύει· ἀνάγκη γὰρ πᾶσα τὸν ἄνθρωπον, εἴ γε ζῷόν ἐστιν, ὁμοίως πᾶσι τοῖς ζῴοις ἔμψυχον εἶναι. ὁ δὲ κανονίζων ἀπὸ τῶν μερικῶν τὰ καθόλου οὐκ ἔστι κυρίως τρόπος ἀποδείξεως, ἐπειδὴ οὐ δύναταί

---

1 καὶ om. KTc 2 ὡς—σύγγραμμα om. V 4 λέγωμεν Laur. 72,5: λέγομεν KTVc πῶς—συγγρ.] τὸ παρὸν σύγγρ. πῶς χρησιμεύει V 5 καὶ om. KV 6 δὲ om. T λέγονται V 6. 7 ἀνεφαίν.—διαλέγεσθαι om. V διεφαίν. c 7 ἐν τῷ γὰρ colloc. K διωρίζοντο Tc 8 διαλεκτικοὶ V 9 καὶ ἀναλυτική Brand. διαιρετικοῦ Kc 10 εἰς εἴδη om. V ὁριστικοῦ KTc 11 ἀποδεικτικοῦ KTc 13 πιστοῦται TV 14 τοῦ καθόλου T κανονίζεται V 15 βουλώμενοι T ἀποδεῖξαι V (cf. v. 18) 15. 16 ὁ (post ὅτι) om. V (bis) 15 ἔμψυχον KV 16 et 19 πιστωσόμεθα TVc 16 ὅτι (post λέγοντες) om. Tc 17 ἔμψυχον V 18 κανονίζωμεν Kc 19 γένυν κινεῖ supra suppl. K² 20 ὁ (ante ἄνθρ.) om. V ὁ ἵππος—κινεῖ (21) om. V 21 πᾶν—κινεῖ om. T ἄρα ζῶον colloc. V 22 κανονίζωμεν T οἷον om. K 22. 23 Διονυσίου om. V 23 γὰρ om. V Διονυσίῳ] διονύσῳ V 24 τῷ πεισιστράτῳ παράδειγμα (sic) V πισειστράτῳ T 26 ἐστὶ τῆς ἀποδ. K τὰ μερικὰ om. K κανονίζων] expl. Crameri Anecd. Paris. 26. 27 οὗτος γὰρ ὄντως ἀναγκ.] οὗτος γὰρ ἀναγκ. οὕτως K: οὗτος γὰρ οὕτως ἀναγκ. T: οὕτως γὰρ ὄντως ἀναγκ. V 28 ἀληθεύει in ras. T

Digitized by Google

τις πᾶσι τοῖς μεριχοῖς ἐπεξελθεῖν ἀπείροις καὶ ἀπεριλήπτοις οὖσιν, ἵνα κανονίσῃ ἐκ τῶν μεριχῶν τὰ καθόλου. ἄλλως τε δὲ οὔτε ἀληθεύει πάντως ὁ λόγος ὁ ἐκ τῶν μεριχῶν τὰ καθόλου κανονίζων· τὸ γὰρ λέγειν ὅτι 'ὁ ἄνθρωπος τὴν κάτω γένυν κινεῖ, ὁ ἵππος τὴν κάτω γένυν κινεῖ, πᾶν ἄρα ζῷον τὴν κάτω γένυν κινεῖ' οὐκ ἀληθεύει· οὔτε γὰρ ὁ χροκόδειλος οὔτε ὁ φοίνιξ τὸ ὄρνεον οὔτε ὁ δελφὶν τὴν κάτω γένυν κινοῦσιν, ἀλλὰ τὴν ἄνω. ἀλλ' οὔτε δὲ ὁ ἐκ τοῦ ἴσου τὸ ἴσον κανονίζων ἐστὶ κυρίως τρόπος ἀποδείξεως· οὐδὲ γὰρ πάντως ἀληθεύει· οὔτε γὰρ εἰ ὁ Πεισίστρατος ἐτυράννησε, πάντως καὶ ὁ Διονύσιος τυραννήσει, οὔτε εἰ πλεύσας τις ἐναυάγησε, πάντως καὶ ἄλλος πλέων ναυαγήσει.

Ἀναλυτικῆς δὲ ἔργον ἐστὶ τὸ διαλύειν τι εἰς ἐκεῖνα, ἐξ ὧν καὶ συνίσταται, οἷον ὡς ὅταν λαμβάνων τις τὸν ἄνθρωπον διαλύῃ αὐτὸν εἰς χεῖρας καὶ πόδας καὶ κεφαλὴν καὶ σάρκας καὶ ὀστέα, καὶ ταῦτα ἀναλύῃ εἰς τὰ τέσσαρα στοιχεῖα, ἐξ ὧν καὶ σύγκειται, καὶ τὰ τέσσαρα στοιχεῖα εἰς ὕλην καὶ εἰς εἶδος, ἐξ ὧν καὶ συνίσταται. ἰστέον δὲ ὅτι ἄλλο ἐστὶ διάλυσις καὶ ἄλλο ἀνάλυσις· ἡ μὲν γὰρ διάλυσις ἐπὶ τῶν μερῶν λέγεται, ἡ δὲ ἀναλυσις ἐπὶ τῶν τεσσάρων στοιχείων. διαφέρουσι δὲ τὰ μέρη τῶν τεσσάρων στοιχείων, ὅτι τὰ μέρη οἰκείαν περιγραφὴν ἔχουσι καὶ περιωρισμένα εἰσί (καὶ γὰρ περιώρισται πόθεν ἕως ποῦ ἐστιν ἡ χεὶρ καὶ πόθεν ἕως ποῦ ἐστιν ὁ πούς), τὰ δὲ τέσσαρα στοιχεῖα οὐκ ἔχουσι περιγραφὴν οὐδέ εἰσι περιωρισμένα· οὐδὲ γάρ ἐστι περιωρισμένον πόθεν ἕως ποῦ ἐν τῷ ἀνθρώπῳ ἐστὶ τὸ ὕδωρ καὶ πόθεν ἕως ποῦ ἡ γῆ καὶ πόθεν ἕως ποῦ τὸ πῦρ καὶ πόθεν ἕως | ποῦ ὁ ἀήρ. ταῦτα μὲν ἐν τούτοις. 165v

Ἡ δὲ τάξις αὐτῶν ἐστι τοιαύτη· ἡ διαιρετικὴ προτερεύει τῆς ὁριστικῆς, ἐπειδὴ καὶ ἡ διαίρεσις προτερεύει τοῦ ὁρισμοῦ· καὶ γὰρ λαμβάνων τις ἐκ τῆς διαιρέσεως τὰ χρειώδη ἀποτελεῖ τὸν ὅρον, οἷον βουλόμενος ὁρίσασθαι τὸν ἄνθρωπον λαμβάνει τὸ γένος, φημὶ δὲ τὸ ζῷον, καὶ ἐκ τῆς διαιρέσεως τοῦ ζῴου τῆς εἰς λογικὸν καὶ ἄλογον λαμβάνει τὸ λογικὸν καὶ ἐκ τῆς διαιρέσεως τοῦ λογικοῦ τῆς εἰς θνητὸν καὶ ἀθάνατον λαμβάνει τὸ θνητόν. ἐπειδὴ οὖν λαμβάνων τις ἐκ τῆς διαιρέσεως τὰ χρειώδη ἀποτελεῖ τὸν ὅρον,

---

2 οὔτε] an οὐδὲ ? 3 ὁ (ante ἐκ) om. V ὁ (ante ἄνθρ.) om. V 4 ὁ ἵππος—κινεῖ om. V 6 οὔτε ὁ δελφὶν om. V δελφῖνος Brand. 7 ἀλλ' om. V κύριος V 8 οὐδὲ] οὐ K 9 διόνυσος V alt. πάντως om. V 10 ἄλλος] ἕτερός τις KT πλέων post ναυαγήσει colloc. V 11 ἀναλυτικῆς scripsi: ἀναλυτικοῦ KT: ἀναλυτικῶν V (cf. p. 88,9. 11) τι om. V καὶ om. K 11. 12 συνίστανται TV 12 διαλύει T 13 σάρκα K ταῦτα ἀναλύῃ] ἀναλύει αὐτὰ T: ταῦτα ἀναλύσῃ V τὰ om. T 14 post στοιχεῖα add. πάλιν ἀναλύει T σύγκειται T 14. 15 εἰς ὕλην καὶ εἶδος T: om. K 15 alt. καὶ om. T συνίστανται TV 16 διάλ. μὲν γὰρ (ἡ om.) KT 17 διαφέρουσι—στοιχείων (18) om. V 19 post pr. πόθεν add. καὶ T 20 ἐστιν (ante ὁ πούς) om. V 21 οὐδὲ Laur. 72,5: οὔτε KTV ἐν τῷ ἀνθρ. post περιωρισμένον colloc. K: ante περιωρ. T 22 ante ἡ γῆ add. ἐστιν K 22. 23 καὶ πόθεν ἕως ποῦ ὁ ἀήρ] καὶ πόθεν ἕως ποῦ ἐστι τὸ ὕδωρ καὶ πόθεν ἕως ποῦ ὁ ἀήρ K: om. V 25 τοῦ ὁρ. προτ. colloc. V 26 τὰ χρειώδη Laur. 72,5: τὸ χρήσιμον KTV (cf. v. 30) βουλ. τις T 27 φημὶ δὲ] οἷον V 30 ἐκ τῆς διαιρέσεως post χρειώδη colloc. T: om. K

Digitized by Google

εὐλόγως ἡ διαιρετικὴ προτερεύει τῆς ὁριστικῆς. ἡ δὲ ὁριστικὴ προτερεύει τῆς ἀποδεικτικῆς, ἐπειδή, ὥς φησιν ὁ Ἀριστοτέλης, 'ἀρχὴ ἀποδείξεως ὁ ὁρισμός ἐστιν'· ἡ γὰρ ἀπόδειξις τὴν φύσιν τοῦ ὑποκειμένου πράγματος παρίστησι, καὶ οἱ ὁρισμοὶ δὲ τὴν φύσιν τῶν πραγμάτων παριστῶσιν. ἡ δὲ ἀναλυτικὴ τελευταίαν ἔχει τάξιν, ἐπειδὴ ἐναντίως πως ἔχει πρὸς τὰ ἄλλα· καὶ γὰρ ἡ ἀναλυτικὴ ἐναντίως ἔχει πρὸς τὴν διαιρετικήν, ὅτι ἡ μὲν διαιρετικὴ ἀπὸ ἁπλοῦ τινος ἄρχεται καὶ εἰς σύνθετά τινα τελευτᾷ (καὶ γὰρ λαμβάνει τις τὴν οὐσίαν ἁπλοῦν τι οὖσαν καὶ διαιρῶν αὐτὴν καταντᾷ ἄχρι τοῦ ἀνθρώπου καὶ ἵππου καὶ κυνός, ἅτινα σύνθετά τινά εἰσιν), ἡ δὲ ἀναλυτικὴ ἀπὸ συνθέτου ἄρχεται καὶ εἰς ἁπλᾶ καταντᾷ· καὶ γὰρ ὁ ἀναλυτικὸς λαμβάνων τὸν ἄνθρωπον, ὅπερ σύνθετόν τί ἐστι, διαιρεῖ αὐτὸν ἄχρι τῆς ὕλης καὶ τοῦ εἴδους, ἅπερ ἁπλᾶ τινά εἰσι. πρὸς δὲ τὴν ὁριστικὴν ἐναντίως πως ἡ ἀναλυτική, ὅτι ἡ μὲν ὁριστικὴ ἐκ διαφόρων μίαν φύσιν ποιεῖ (καὶ γὰρ ἐκ τοῦ ζῷον λογικὸν θνητὸν νοῦ καὶ ἐπιστήμης δεκτικὸν μίαν φύσιν ἀποτελεῖ, τὸν ἄνθρωπον), ἡ δὲ ἀναλυτικὴ τοὐναντίον ἐξ ἑνός τινος διάφορα ποιεῖ· καὶ γὰρ λαμβάνει τὸν ἄνθρωπον ἕν τι ὄντα καὶ διαλύει αὐτὸν εἰς διάφορα, οἷον εἰς χεῖρας πόδας κεφαλὴν φλέβας σάρκας ὀστᾶ. πρὸς δὲ τὴν ἀποδεικτικὴν ἐναντίως ἔχει ἡ ἀναλυτική, ὅτι ἡ μὲν ἀποδεικτικὴ ἐκ συλλογισμῶν συνίσταται (βουλόμενοι γὰρ δεῖξαι τὸν ἄνθρωπον ἔμψυχον διὰ συλλογισμοῦ τοῦτο δεικνύομεν λέγοντες ὅτι 'ὁ ἄνθρωπος ζῷον, πᾶν ζῷον ἔμψυχον, ὁ ἄνθρωπος ἄρα ἔμψυχον'), ὁ δὲ συλλογισμός, ὡς καὶ ἡ ὀνομασία δηλοῖ, συλλογή ἐστι λόγων, ἡ δὲ ἀναλυτικὴ τοὐναντίον διάλυσιν ποιεῖται· καὶ γὰρ τοὺς συλλογισμοὺς εἰς λόγους διαλύει καὶ τοὺς λόγους εἰς λέξεις. ταῦτα μὲν καὶ περὶ τῆς τάξεως.

Ἔλθωμεν δὲ καὶ δείξωμεν πῶς χρησιμεύει τὸ παρὸν σύγγραμμα εἰς τὰς διαλεκτικὰς μεθόδους. ἰστέον ὅτι εἰς τὴν διαιρετικὴν χρησιμεύει οὕτως· ὥσπερ ἐν τοῖς ἔξω ἐστὶ τὸ διαιροῦν καὶ τὸ διαιρούμενον καὶ τὰ εἰς ἃ γίνεται ἡ διαίρεσις οἷον ὡς ἐπὶ τῆς τεκτονικῆς (ἔστι γὰρ ὁ πρίων ὁ διαιρῶν καὶ τὸ ξύλον τὸ διαιρούμενον καὶ αἱ σανίδες εἰς ἃς ἐγένετο ἡ διαίρεσις), οὕτω καὶ ἐν|ταῦθά ἐστι τὸ διαιροῦν καὶ τὸ διαιρούμενον καὶ τὰ εἰς ἃ ἐγένετο 166r ἡ διαίρεσις, καὶ διαιρούμενον μέν ἐστι τὸ γένος (τοῦτο γάρ ἐστι τὸ διαιρούμενον) διαιροῦν δὲ αἱ συστατικαὶ διαφοραί (καὶ γὰρ αἱ συστατικαὶ διαφοραί εἰσιν αἱ διαιροῦσαι· τὸ γὰρ λογικὸν προσερχόμενον τῷ ζῴῳ διαιρεῖ

2 φησιν ὁ Ἀρ.] Anal. post. B 3 p. 90b24 4 καὶ οἱ ὁρ. δὲ] οἱ δὲ ὁρισμοὶ T
5 an τὰς ἄλλας? 6 καὶ γὰρ—διαιρετικήν] καὶ πρῶτα μὲν ἔχει ἐν. πρὸς τὴν διαιρ. T: καὶ γὰρ ἡ ἀναλ. ἐν. πρὸς τὴν διαιρετικὴν (διαλυτικὴν m.[1]) ἔχει V 9 τοῦ om. V
σύνθετά τινά Paris. 1938: σύνθετόν τι KTV (cf. v. 12) 11 an ὅσπερ?
τι om. K αὐτὸ T τῆς] καὶ V 13 πως om. KT ante ὅτι add. οὕτως T 15 ἡ δὲ ἀναλ.—ἄνθρωπον (16) suppl. in mrg. K τοὐναντίον om. V
τινος om. T 16 post alt. καὶ add. γὰρ K 17 καὶ κεφαλὴν K σάρκα TV
καὶ ὀστᾶ T 18 ante ὅτι add. οὕτως T 20 ζῷόν ἐστι, πᾶν δὲ ζῷον ἔμψυχόν ἐστιν KT 21 καὶ om. K 22 λόγων] λέξεων V τοὐναντίαν T
24 τάξεως] λέξεως V 25 δὲ om. KT 27 τὸ (ante διαιρούμενον) om. KT
28 ἐπὶ τοῦ τῆς τεκτ. V ὁ (post πρίων) om. T καὶ om. KV 29 ἃς] ἃ KT
32 διαιροῦσι K καὶ γὰρ—διαφοραί om. V

Digitized by Google

αὐτὸ ἐκ τοῦ ἀλόγου ζῴου), διῃρημένα δέ εἰσι τὰ εἴδη· καὶ γὰρ τὰ εἴδη εἰσὶ τὰ ἐκ τῶν γενῶν διῃρημένα. συμβάλλεται οὖν ἡμῖν τὸ παρὸν σύγγραμμα εἰς τὴν διαιρετικήν, ἐπειδὴ διδάσκει ἡμᾶς τί ἐστι γένος καὶ τί εἶδος καὶ τί διαφορὰ καὶ λέγει ὅτι τὸ μὲν γένος τῇ ὕλῃ ἀναλογεῖ ἡ δὲ
5 συστατικὴ διαφορὰ τῷ εἴδει· ὥσπερ γὰρ ἡ ἀνείδεος ὕλη κοινῶς πᾶσι τοῖς ζῴοις ὑπόκειται (πάντα γὰρ τὰ ζῷα ἐξ ὕλης καὶ εἴδους σύγκειται), προσερχόμενον δὲ τὸ εἶδος εἰδοποιεῖ αὐτὰ καὶ ποιεῖ τὸ μὲν ἄνθρωπον τὸ δὲ ἵππον, οὕτω καὶ τὸ γένος κοινῶς πᾶσι τοῖς εἴδεσιν ὑπόκειται (καὶ γὰρ τὸ ζῷον πᾶσι τοῖς εἴδεσιν αὐτοῦ ὑπόκειται), προσερχομένη δὲ ἡ διαφορὰ εἰδοποιεῖ
10 αὐτὸ καὶ ποιεῖ τὸ μὲν λογικὸν ζῷον τὸ δὲ ἄλογον. εἰς δὲ τὴν ὁριστικὴν χρησιμεύει οὕτως· ὁ ὅρος ἀπὸ γένους καὶ συστατικῶν διαφορῶν σύγκειται, οἷον ἄνθρωπός ἐστι ζῷον λογικὸν θνητὸν νοῦ καὶ ἐπιστήμης δεκτικόν (ἰδοὺ τὸ μὲν ζῷον γένος ἐστίν, αἱ δὲ λοιπαὶ λέξεις συστατικαὶ διαφοραί)· διδάσκει δὲ ἡμᾶς τὸ παρὸν σύγγραμμα τί γένος καὶ τί συστατικαὶ διαφοραί. εἰς δὲ
15 τὴν ἀποδεικτικὴν χρησιμεύει, ὅτι, ὡς ἐμάθομεν, ἡ ὁριστικὴ ἀρχή ἐστιν ἀποδείξεως· εἰ ἄρα οὖν εἰς τὴν ὁριστικὴν χρησιμεύει τὸ παρὸν σύγγραμμα, ὡς δέδεικται, δῆλον ὅτι διὰ μέσου τῆς ὁριστικῆς καὶ εἰς τὴν ἀποδεικτικὴν χρησιμεύει. εἰς δὲ τὴν ἀναλυτικὴν χρησιμεύει, ἐπειδὴ τὰ φυσικὰ πράγματα εἰς ὕλην καὶ εἶδος ἀναλύονται, ἐξ ὧν καὶ σύγκεινται· διδάσκει δὲ ἡμᾶς ὅτι
20 ἀναλογεῖ τῇ μὲν ὕλῃ τὸ γένος τῷ δὲ εἴδει ἡ διαφορά. ἐν οἷς ἡ πρᾶξις.

Πρᾶξις δ'.

Μαθόντες τὸν σκοπὸν καὶ τὸ χρήσιμον ἔλθωμεν καὶ εἴπωμεν τὴν αἰτίαν τῆς ἐπιγραφῆς. ἰστέον ὅτι ἐπιγέγραπται τὸ παρὸν σύγγραμμα Πορφυρίου Εἰσαγωγή, Πορφυρίου τοῦ Φοίνικος τοῦ μαθητοῦ Πλωτίνου τοῦ
25 Λυκοπολίτου (ἡ δὲ Λυκόπολις ἐν Αἰγύπτῳ ἐστί), περὶ οὗ εἴρηται ὅτι

οὐ πολλοὺς Αἴγυπτος, ἐπὴν δὲ τέκῃ, μέγα τίκτει.

περὶ τούτου δὲ λέγει ὁ Πορφύριος ὅτι Πλωτῖνος ὁ καθ' ἡμᾶς ἐῴκει μὲν αἰσχυνομένῳ, ὅτιπερ ἐν σώματι ἦν, βουλομένων δέ τινων ἀναθέσθαι αὐτῷ εἰκόνα ἔφη ὅτι ἀρκεῖ μοι τὸ ἐκ τῆς φύσεως εἴδωλον, τοῦτ' ἔστι τὸ σῶμα,

---

1 διῃρημένα scripsi: διαιρούμενα KV¹T: εἰς ἃ γέγονεν ἡ διαίρεσις V²: διαιρεθέντα Elias alt. τὰ εἴδη] ἐπειδὴ V 2 διῃρημένα] διαιρούμενα libri (cf. v. 1) οὖν ἡμῖν] δὲ KT 5 ἡ] ὁ V 5. 6 τοῖς ζῴοις om. V 6 τοῦ εἴδους T σύγκεινται T 7 τὸ] τὸν (ante μὲν et δὲ) K 8 καὶ γὰρ—ὑπόκειται (9) om. K 9 ὑποκ. αὐτοῦ colloc. T 10 αὐτὰ V ζῶον om. V 11 διαφ. συστ. colloc. K 13 διδάσκει—διαφοραί (14) om. T 14 συστατικὴ διαφορά V 15 ὅτι—χρησιμεύει (16) om. K 15. 16 τῆς ἀποδείξεως T 19 εἶδος καὶ ὕλην colloc. V ἀναφύονται V καὶ Laur. 72,5: om. KTV (cf. p. 89,14. 15) 20 ἐν οἷς ἡ πρᾶξις om. KT 22 post μαθόντες add. καὶ T 22. 23 καὶ εἴπ. καὶ τὴν αἰτίαν V 23 ὑπογραφῆς K 25 post Αἰγύπτῳ add. πόλις V ὅτι om. T 26 οὐ πολλοὺς Αἴγ.] unde sumpserit versum nescio αἴγυπτος τίκτει, ἐπὰν V 27 δὲ τούτου colloc. V λέγει ὁ Πορφ.] De vita Plotini c. 1 Πλωτῖνος ὁ ἕλλην καθ' ἡμᾶς V 29 εἰκόνα post τινων (28) colloc. V ἔφη ὅτι om. V

Digitized by Google

μὴ καὶ εἰδώλου εἴδωλον ἔχειν'. εἰδώλου δὲ εἴδωλον τὴν εἰκόνα ἔφη· τοῦ γὰρ σώματός ἐστιν ἐκτύπωμα. ἰστέον δὲ ὅτι Πορφυρίου μαθητὴς ἦν ὁ Ἰάμβλιχος, περὶ ὧν, φημὶ δὲ τοῦ Πορφυρίου καὶ τοῦ Ἰαμβλίχου, εἶπεν ἡ Πυθία 'ἔνθους ὁ Σύρος, πολυμαθὴς ὁ Φοίνιξ', Φοίνικα πολυμαθῆ λέγουσα τὸν Πορφύριον (ἀπὸ γὰρ Φοινίκης ἦν), ἔνθουν δὲ Σύρον τὸν Ἰάμβλιχον (οὗτος γὰρ Σύρος ἦν)· | ἔνθουν δὲ αὐτὸν λέγει, ἐπειδὴ περὶ τὰ θεῖα 166v ἐνησχολεῖτο. Εἰσαγωγή δὲ ἐπιγέγραπται, ἐπειδὴ αὕτη εἰσάγει ἡμᾶς εἰς πᾶσαν τὴν φιλοσοφίαν· καὶ γὰρ διδάσκει ἡμᾶς περὶ τῶν πέντε φωνῶν, φημὶ δὴ περὶ γένους καὶ εἴδους καὶ διαφορᾶς καὶ ἰδίου καὶ συμβεβηκότος, ὑφ' ἃς πᾶσα φωνὴ ὑπὸ τὴν φιλοσοφίαν οὖσα ἀνάγεται. εὐλόγως δὲ Εἰσαγωγὴ ἐπέγραψε καὶ οὐ Περὶ εἰσαγωγῆς, ἵνα δραστικώτερον δείξῃ τὸ σύγγραμμα καὶ ὅτι αὐτὴν τὴν εἰσαγωγὴν διδάσκει ἡμᾶς· αἱ γὰρ τοιαῦται ἐπιγραφαί, φημὶ δὴ αἱ ἄνευ τῆς προθέσεως, δραστικώτερον παριστῶσι τὸ σύγγραμμα, οἷον Πλάτωνος Φαίδων, Πλάτωνος Ἀλκιβιάδης· αἱ γὰρ μετὰ τῆς προθέσεως ὕφεσιν καὶ μείωσίν τινα εἰσάγουσιν, οἷον Περὶ ψυχῆς, Περὶ χρισίμων ἡμερῶν.

Ἔλθωμεν δὲ καὶ ἐπὶ τὸ γνήσιον. ἰστέον ὅτι ἐκ πολλῶν δείκνυται γνήσιον Πορφυρίου τὸ παρὸν σύγγραμμα· καὶ γὰρ καὶ ἐκ τοῦ προοιμίου (πρὸς γὰρ Χρυσαόριόν τινα ὕπατον Ῥώμης ποιεῖται τὴν προσφώνησιν, πρὸς ὃν καὶ ἐν ἄλλοις αὐτοῦ συγγράμμασι προσφωνεῖ), καὶ ὅτι μέμνηται τοῦ συγγράμματος τούτου καὶ ἐν ἄλλοις αὐτοῦ συγγράμμασι, καὶ ὅτι σαφηνείας ἐνταῦθα φροντίζει, ὅπερ ἴδιον αὐτοῦ· καὶ γὰρ τριῶν ὄντων τρόπων, καθ' οὓς ἡ ἀσάφεια γίνεται, ὡς ἐν τῷ προοιμίῳ μαθησόμεθα, αὐτὸς πάνυ τῆς σαφηνείας φροντίζει. ταῦτα μὲν καὶ τὸ γνήσιον.

Ἔλθωμεν δὲ καὶ ἐπὶ τὴν τάξιν. ἰστέον ὅτι πρὸ πάσης τῆς φιλοσοφίας ἐστὶ τὸ παρὸν σύγγραμμα· εἰ γάρ, ὡς ἐμάθομεν ἐν τῷ χρησίμῳ, τὸ παρὸν σύγγραμμα εἰς τὰς Ἀριστοτέλους Κατηγορίας συμβάλλεται, αἱ δὲ Ἀριστοτέλους Κατηγορίαι πρώτην τάξιν ἔχουσι (πρὸ γὰρ ὅλης τῆς φιλοσοφίας εἰσί), δῆλον ὅτι εὐλόγως καὶ τὸ παρὸν σύγγραμμα πρὸ πάσης τῆς φιλοσοφίας ἐστί· καὶ γὰρ ὡς συμβαλλόμενον εἰς τὰς Ἀριστοτέλους Κατηγορίας προτέτακται αὐτῶν, προτετάμενον δὲ αὐτῶν ἐξ ἀνάγκης καὶ πρὸ πάσης τῆς φιλοσοφίας ἐστί· καὶ γὰρ αἱ Ἀριστοτέλους Κατηγορίαι πρὸ πάσης εἰσὶ τῆς φιλοσοφίας. ἄλλως τε δὲ τὸ παρὸν σύγγραμμα εἰσαγωγή ἐστι πάσης τῆς φιλοσοφίας· καὶ γὰρ διὰ τούτου εἰσαγόμεθα εἰς πᾶσαν τὴν

---

1 καὶ μὴ colloc. KT 2 ἐκτύπωμα ex ἐκτύπωσις corr. T δὲ om. K ὁ om. V 3 δὲ] δὴ Brand. τοῦ (ante Ἰαμβλ.) om. V 4 Φοίνικα om. KT δὲ πολυμαθῆ λέγουσι V 7 ἐνησχόλητο KT αὕτη] αὐτὴ T 8 γὰρ om. V 9 δὴ] δὲ K περὶ εἴδους περὶ (περὶ om. T) διαφορᾶς ἰδίου καὶ συμβ. KT 10 δὲ καὶ V 10. 11 Εἰσαγωγὴν Brand. 11 καὶ οὐ Περὶ εἰσαγ. ἐπέγρ. colloc. KT δείξῃ ὅτι δραστ. KT 15 τινα post ὕφεσιν colloc. V οἷον om. V 16 post ἰστέον add. δὲ V 17 καὶ (post γὰρ) om. KV 17. 18 ἐκ τοῦ πορφυρίου προοιμίου V 19 συγγρ.] γράμμασι V 20 καὶ (ante ἐν) om. KT αὐτοῦ] αὐτοῦ Brand. 25 ἐμάθομεν] p. 87,4 post χρησίμῳ add. ὅτι KTV: om. Paris. 2089 26 συμβ. post σύγγρ. colloc. V 31 et 33 τῆς om. K 32 post δὲ add. καὶ KT

Digitized by Google

φιλοσοφίαν διδασκόμενοι τὰς πέντε φωνάς, τοῦτ' ἔστι τί γένος καὶ τί εἶδος καὶ τί διαφορὰ καὶ τί ἴδιον καὶ τί συμβεβηκός· εἰσαγωγὴ δὲ οὖσα πάσης τῆς φιλοσοφίας εὐλόγως πρὸ πάσης τῆς φιλοσοφίας ἐστί· καὶ γὰρ αἱ εἰσαγωγαὶ πρότεραι θέλουσιν εἶναι τῶν ὧν εἰσιν εἰσαγωγαί. ταῦτα μὲν καὶ
5 ἡ τάξις.

Ἔλθωμεν δὲ καὶ εἴπωμεν τὴν εἰς τὰ κεφάλαια διαίρεσιν. ἰστέον ὅτι τὸ παρὸν σύγγραμμα διαιρεῖται εἰς δύο τμήματα. καὶ ἐν μὲν τῷ πρώτῳ τμήματι λέγει τί ἐστιν ἑκάστη τῶν πέντε φωνῶν, οἷον τί ἐστι γένος, τί ἐστιν εἶδος καὶ τὰ ἑξῆς, ἐν δὲ τῷ δευτέρῳ τμήματι παρα|δίδωσι τὰς κοινω- 167r
10 νίας καὶ τὰς διαφορὰς αὐτῶν. καὶ ὅσον μὲν κατὰ τὴν ἀκρίβειαν ἤρκει τὸ εἰπεῖν τί ἐστιν ἑκάστη τῶν φωνῶν (καὶ γὰρ ὁ γινώσκων τί ἐστιν ἑκάστη τῶν φωνῶν γινώσκει καὶ κατὰ τί κοινωνοῦσι καὶ κατὰ τί διαφέρουσιν), ἀλλ' ἐπειδὴ πρὸς εἰσαγομένους ποιεῖται τὸν λόγον καὶ πρὸς Χρυσαόριόν τινα ὕπατον Ῥώμης πολιτικοῖς ἐνασχολούμενον πράγμασιν, ἠβουλήθη σαφεστέ-
15 ραν τὴν διδασκαλίαν ποιήσασθαι καὶ κατ' ἰδίαν παραδοῦναι τὰς κοινωνίας καὶ τὰς διαφορὰς αὐτῶν. τινὲς δὲ λέγουσιν ὅτι εἰς τρία τμήματα διαιρεῖ τὴν παροῦσαν πραγματείαν, καὶ ἐν μὲν τῷ πρώτῳ παραδίδωσι τί ἐστιν ἑκάστη τῶν πέντε φωνῶν, ἐν δὲ τῷ δευτέρῳ λέγει τὰς κοινωνίας αὐτῶν, ἐν δὲ τῷ τρίτῳ τὰς διαφοράς. καὶ εἰ μὲν ἐν ἄλλῳ τόπῳ παρεδίδου τὰς
20 κοινωνίας αὐτῶν καὶ ἐν ἄλλῳ τόπῳ τὰς διαφοράς, καλῶς ἂν ἔλεγον· ὅπου δὲ ἅμα κοινωνίαν καὶ διαφορὰν παραδίδωσι καὶ ἐν τῷ αὐτῷ τόπῳ τὰ δύο παραδίδωσι, δῆλον ὅτι οὐ δυνάμεθα τοῦτο δύο τμήματα εἰπεῖν· καὶ γὰρ μετὰ τὸ εἰπεῖν κοινωνίαν λέγει διαφορὰν καὶ πάλιν μετὰ τὸ εἰπεῖν διαφορὰν λέγει κοινωνίαν. ταῦτα μὲν καὶ ἡ εἰς τὰ κεφάλαια διαίρεσις.

25 Ἔλθωμεν δὲ καὶ ἐπὶ τὸν διδασκαλικὸν τρόπον καὶ εἴπωμεν ποίῳ τρόπῳ διδασκαλικῷ κέχρηται. ἰστέον ὅτι τεσσάρων ὄντων τῶν διδασκαλικῶν τρόπων κατὰ τὸν Ἀριστοτέλην, οἷον διαιρετικοῦ ὁριστικοῦ ἀποδεικτικοῦ ἀναλυτικοῦ, τοῖς τέσσαρσι τρόποις κέχρηται· καὶ γὰρ καὶ τῷ διαιρετικῷ κέχρηται, ἡνίκα διαιρεῖ τὴν οὐσίαν εἰς σῶμα καὶ ἀσώματον καὶ εἰς τὰ ἑξῆς. ὁμοίως
30 δὲ καὶ τῷ ὁριστικῷ, ἡνίκα ὑπογράφει τὰς πέντε φωνάς· καὶ γὰρ ἡ ὑπογραφὴ εἰκών ἐστι τοῦ ὁρισμοῦ. καὶ τῷ ἀποδεικτικῷ, ἡνίκα ἀποδείκνυσι πῶς θεωροῦνται ἐν τῷ γένει αἱ διαφοραί, ἄρα δυνάμει ἢ ἐνεργείᾳ. καὶ

---

1. 2 καὶ non pos. nisi ante τί συμβ. KT 2. 3 πάσης—εὐλόγως om. V 3 πρὸ] προτέρα V 4 τῶν ὧν εἰσιν εἰσαγ. Paris. 2089: om. KTV 6 post εἴπωμεν add. καὶ V ἰστέον δὲ V 7 διαιρεῖται post ὅτι (6) colloc. K 8 ἑκάστη] ἕκαστον libri (cf. v. 11. 18) 9 καὶ τὰ ἑξῆς] τί ἐστιν ἴδιον, τί ἐστι διαφορά, τί ἐστι συμβεβηκός V τὴν κοινωνίαν Brand. 10 αὐτῶν post κοινωνίας colloc. KT 11 ἐστιν] ἔσται V (bis) 11. 12 ἕκαστον τῶν φωνῶν V 14 post ὕπατον add. ὡς εἴρηται K: ante ὕπατον T ἐβουλήθη V 16 τὰς (ante διαφ.) om. K αὐτῶν post κοινωνίας colloc. KT 17 πρώτῳ τμήματι KT 18 et 19. 20 τὴν κοινωνίαν Brand. 19 καὶ ἐν ἄλλῳ τόπῳ] ἐν ἄλλῳ δὲ KT 21 τὰ] τὰς V 22 παραδίδωσι om. K τοῦτο Paris. 2089: τούτου KTV δύο] τρία KT 26 κέχρ. διδασκ. colloc. K τεσσάρων τρόπων ὄντων διδασκ. (τῶν om.) V 27 κατὰ τὸν Ἀριστοτέλην] cf. Anal. pr. A 27 p. 43b1 sq. 28 τῇ διαιρετικῇ KT 29 εἰς (ante τὰ) om. V 30 ὑπογράφεται V

Digitized by Google

τῷ ἀναλυτικῷ, ἡνίκα τὰς ὑπογραφὰς τῶν πέντε φωκῶν ἀναλύει εἰς τὰς λέξεις. καὶ ἑκάστην τῶν λέξεων σαφηνίζει λέγων διὰ τί ἑκάστη τούτων πρόσκειται ἐν τῇ ὑπογραφῇ, καὶ πάλιν διαλαμβάνει περὶ τῆς ὕλης καὶ τοῦ εἴδους, εἰς ἃ τὰ φυσικὰ πράγματα ἀναλύονται, καὶ λέγει ὅτι τῇ μὲν ὕλῃ
5 τὸ γένος ἀναλογεῖ, τῷ δὲ εἴδει ἡ διαφορά. ταῦτα μὲν καὶ περὶ τοῦ διδασκαλικοῦ τρόπου.

Ἔλθωμεν δὲ καὶ εἴπωμεν τὴν ὑπὸ τί μέρος ἀναφοράν. ἰστέον ὅτι τὸ παρὸν σύγγραμμα ὑπὸ τὴν λογικὴν ἀνακτέον, ἡ δὲ λογικὴ εἴτε μέρος ἐστὶ τῆς φιλοσοφίας εἴτε ὄργανον ἐν ταῖς Κατηγορίαις μαθησόμεθα. ταῦτα
10 ἔχει ἡ παροῦσα πρᾶξις καὶ τὰ προλεγόμενα τῆς Πορφυρίου Εἰσαγωγῆς. |

---

4 εἰς τὰ φυσ. πρ. ἀναλύων αὐτά V καὶ (ante λέγει) om. V post εἴπωμεν add. καὶ V 8 ἀνακτέον] ἀνάγεται K 9 ἐστὶ post φιλοσ. colloc. K post κατηγορίαις add. σὺν θεῷ KT ταῦτα ἔχει (ἐν οἷς σὺν θεῷ V)—εἰσαγωγῆς KV: ἐν τούτοις καὶ ἡ παροῦσα σὺν θεῷ πραγματεία τετέλεσται T

Digitized by Google

ΣΧΟΛΙΑ ΣΥΝ ΘΕΩΙ ΕΙΣ ΤΗΝ ΕΙΣΑΓΩΓΗΝ ΠΟΡΦΥΡΙΟΥ 167v
ΑΠΟ ΦΩΝΗΣ ΔΑΒΙΔ ΤΟΥ ΘΕΟΦΙΛΕΣΤΑΤΟΥ ΚΑΙ ΘΕΟΦΡΟΝΟΣ ΦΙΛΟΣΟΦΟΥ.

⟨Πρᾶξις α'⟩.

5 Ἐπειδὴ κόρον ἔχειν τῶν προοιμίων ἡγούμεθα (πάντων γὰρ κόρος ἐστὶ τῶν ἐφ' ἡμῖν πλὴν τῶν ἀρετῶν), σπουδαιότερον αὐτοὺς τοὺς ἀγῶνας ὑποδυσώμεθα ἐπ' αὐτήν που ἀφικόμενοι τῆς μετὰ χεῖρας λέξεως τὴν ἐξήγησιν. αὕτη τοίνυν ἡ προκειμένη λέξις, φημὶ δὴ τὸ προοίμιον, διττὴν ἔχει τὴν παράδοσιν· ἐν μὲν γὰρ τῷ πρώτῳ προοιμίῳ τρία τινὰ παραδίδωσι, τὸν 10 σκοπὸν τὸ χρήσιμον καὶ τὸν τρόπον τῆς διδασκαλίας, ἐν δὲ τῷ δευτέρῳ προοιμίῳ αἰτίας τινὰς παραδίδωσι τῶν λεχθησομένων.

Ἐν τῷ πρώτῳ προοιμίῳ τὸ μὲν χρήσιμον καταμερίσας ὁ φιλόσοφος τὸ μὲν προέταξε τὸ δὲ μετέταξε τοῦ σκοποῦ μεσαζομένου. ἄξιον δὲ ζητῆσαι τί δήποτε οὕτως ἔταξε. καί φαμεν ὅτι θεωρῶν ὁ φιλόσοφος τοὺς εἰσαγο- 15 μένους ἑλκομένους τε καὶ ἀνθελκομένους ἐξ ἑκατέρων, φημὶ δὴ τοῦ σκοποῦ καὶ τοῦ χρησίμου, μέσην ὁδὸν βαδίζων ὁ Πορφύριος συνεκέρασε τῷ σκοπῷ τὸ χρήσιμον καὶ μεταξὺ τοῦ χρησίμου τὸν σκοπὸν ἔθηκε· καὶ γὰρ ὁ σκοπὸς πρὸς ἑαυτὸν ἀνθέλκει ἡμᾶς, ἐπειδὴ ἀπὸ τούτου ἄρξασθαι δεῖ, εἴ γε κατὰ τὸν Πλάτωνα 'μία ἐστὶ ἀρχὴ τοῦ καλῶς βουλεύεσθαι, τὸ εἰδέναι περὶ 20 ὅτου ἐστὶν ἡ σκέψις, ἢ τοῦ παντὸς ἁμαρτάνειν ἀνάγκη'· ὁ γὰρ τὸν σκοπὸν τοῦ συγγράμματος ἀγνοῶν οὐδ' ὅλως παρακολουθεῖ τοῖς λεγομένοις. τὸ δὲ χρήσιμον πρὸς ἑαυτὸ ἡμᾶς ἀνθέλκει, ἐπειδὴ γινώσκοντες τὰ ἐκ τοῦ συγγράμματος ἀναφυόμενον χρήσιμον προθυμότερον αὐτὸ ἀναγινώσκομεν·

---

1 titulum praebet V: eius loco imaginem, quae ornata est notis ὁ φιλόσοφος πορφύριος, ὁ ὕπατος χρυσαόριος, ὁ δαῖδ θεσσαλονίκης ἐξηγούμενος, exhibet T: om. K 4 πρᾶξις α' addidi (cf. p. 99,29) 5 τῶν πρ. κόρον ἔχειν colloc. V ἡγούμενοι V 6 σπουδαιοτέρως V αὐτοὺς] πρὸς T 6. 7 ὑποδυσόμεθα V 7 που om. T τὴν ἐξήγ. ante τῆς μετὰ transponas 8 δὴ] δὲ K 12 ante τὸ add. καὶ V ὁ φιλοσόφος om. T 14 καί φαμεν ὅτι om. T 15 δὴ] δὲ KT 16 ante ὁ πορφ. add. ὁ φιλόσοφος T 18. 19 κατὰ τὸν Πλάτωνα] Phaedr. p. 237 B. C 19 βουλεύσασθαι T τὸ εἰδέναι om. T 22 ἐκ om. K 23 προθυμοτέρως KT

Digitized by Google

καὶ γὰρ εἰ μή τις θαυμάσει τι, οὐκ ἔρχεται εἰς τὸ ζητῆσαί τι περὶ αὐτοῦ· οἷον ὁ πλέων τοῦ πλοίου κινουμένου νομίζει τὴν γῆν κινεῖσθαι, καὶ εἰ μὴ θαυμάσει τὸ γινόμενον, οὐδὲ ἔρχεται εἰς ζήτησιν τούτου, τοῦτ' ἔστιν οὐ ζητεῖ πόθεν γίνεται τοῦτο. ὅθεν καὶ τὴν Ἶριν τὴν ἄγγελον τῶν θεῶν θαύμαντος θυγατέρα ἔλεγον ἀλληγορικῶς νοοῦντες τὴν φιλοσοφίαν· καὶ γὰρ τὴν Ἶριν τὴν φιλοσοφίαν λέγουσιν εἶναι· ὥσπερ γὰρ ἡ Ἶρις μυθεύεται παρὰ τοῖς ποιηταῖς ἄγγελος εἶναι τῶν θεῶν, οὕτω καὶ ἡ φιλοσοφία ἄγγελός ἐστι τῶν θεῶν· αὕτη γὰρ ἀπαγγέλλει ἡμῖν τὰ θεῖα, εἴ γε γνῶσις θείων τε καὶ ἀνθρωπίνων πραγμάτων ἐστί. Θαύμαντος δὲ θυγατέρα αὐτὴν ἔλεγον, ἐπειδὴ ἀρχὴ τῆς φιλοσοφίας τὸ θαῦμά ἐστιν· εἰ γὰρ μὴ θαυμάσει τίς τι, οὐδὲ ἔρχεται εἰς τὸ ζητῆσαί τι περὶ αὐτοῦ· οἷον εἰ μὴ θαυμάσει τις τὴν Ἶριν τὴν οὖσαν ἐν τῷ οὐρανῷ, οὐδὲ ἔρχεται εἰς τὸ ζητῆσαι πόθεν γίνεται τοῦτο. διὰ τοῦτο οὖν ἀπὸ τοῦ χρησίμου δεῖ ἄρχεσθαι, ἐπειδή, ὡς εἴρηται, γινώσκοντες τὸ ἐκ τοῦ συγγράμματος ἀναφυόμενον χρήσιμον | προθυμότερον ἀναγινώσκομεν τὸ σύγγραμμα. ἄλλως τε δὲ καὶ κατὰ τὸν Πίνδαρον 'χρὴ παντὸς ἔργου πρόσωπον θέμεναι θηλαυγές', ὥσπερ καὶ ἐπὶ τῶν οἴκων· δεῖ γὰρ τὰ τῶν οἴκων προπύλαια λαμπρὰ εἶναι, ἵνα διὰ τούτων ἅπας θαυμάσῃ καὶ τὰ ἔσω· οὕτως οὖν δεῖ τὸ χρήσιμον εὐθέως ἐν τῷ προοιμίῳ εἶναι, ἵνα πᾶς εὐθέως γινώσκων τὸ χρήσιμον προθυμότερος ἔλθῃ ἐπὶ τὴν ἀνάγνωσιν τοῦ συγγράμματος. ἑκατέρου οὖν ὡς εἴρηται τούτων, τοῦ τε χρησίμου καὶ τοῦ σκοποῦ, πρὸς ἑαυτὸ ἡμᾶς ἀνθέλκοντος τὴν μέσην ὁδὸν βαδίζων ὁ Πορφύριος συνεκέρασε τὸ χρήσιμον τῷ σκοπῷ καὶ μεταξὺ τοῦ χρησίμου τὸν σκοπὸν ἔθηκε· τριττοῦ γὰρ ὄντος τοῦ χρησίμου, ὡς ἐν τῷ προοιμίῳ εἴρηται, τοῦ παρόντος συγγράμματος (χρησιμεύει γάρ, ὡς εἴρηται, καὶ εἰς τὰς Ἀριστοτέλους Κατηγορίας καὶ εἰς πᾶσαν τὴν φιλοσοφίαν καὶ εἰς τὰς διαλεκτικὰς μεθόδους), εὐθέως ἐν τῷ προοιμίῳ τίθησι τοὺς δύο τρόπους τοῦ χρησίμου καὶ μετὰ ταῦτα τὸν σκοπὸν καὶ τελευταῖον τὸν τρίτον τρόπον τοῦ χρησίμου· φησὶ γὰρ οὕτως·

p. 1,3 Ὄντος ἀναγκαίου, Χρυσαόριε, καὶ εἰς τὴν τῶν παρὰ Ἀριστοτέλει Κατηγοριῶν διδασκαλίαν τοῦ γνῶναι τί γένος καὶ τί

1 τι (post θαυμάσει)] πως KV οὐκ om. V τι (post ζητῆσαι) om. T 2 καὶ om. V 3 θαυμάσει τι V 4 γίνεται] γέγονε V 5 et 9 θαύματος KV (cf. Hesiod. Theog. 265. 266) 6 τὴν (ante ἶριν) om. T εἶναι om. V παρὰ] περὶ T 7 τοῖς ποιηταῖς] Hom. O 144 8 τοῦ θεοῦ KT ἀγγέλλει Brand. 9 ἐστὶ πραγμ. T: ἐστὶ (πραγμ. om.) V αὐτὴν θυγ. colloc. V 12 post οὐρανῷ add. οἷον ὡς ἐπὶ τοῦ τόξου V τὸ ζητῆσαι] ζήτησιν K 13 τοῦτο] ὅτι ἐν τῷ ὑγρῷ καὶ ἀστάτῳ ἀέρι σώζεται τὸ τοιοῦτον εἶδος KT 14. 15 προθυμότερον Paris. 2089: προθυμοτέρως KTV 15 ante τὸ συγγρ. add. τὸ χρήσιμον τουτέστι V Πίνδαρον] Olymp. VI, 4 16 ἔργου] οἴκου V θεμένους K ὥσπερ—οἴκων om. V 17 τούτου V θαυμάζῃ V 19 προθυμοτέρως KT 20 ἑκατέρων KT τοῦ τε] φημὶ δὲ τοῦ KT 22 μεταξὺ] μέσον V 23 τριττοῦ—εἴρηται V: τετραχῶς γὰρ λαμβανομένου ὡς ἐν τῷ χρησίμῳ εἴρηται τοῦ χρησίμου KT (cf. p. 87,3) 24 post εἴρηται add. εἴς τε τὴν ἡμῶν αὐτῶν οὐσίαν KT 26 δύο] τρεῖς KT 27 τρίτον] τέταρτον KT

Digitized by Google

διαφορὰ τί τε εἶδος καὶ τί ἴδιον καὶ τί συμβεβηκός, εἴς τε τὴν τῶν ὁρισμῶν ἀπόδοσιν καὶ ὅλως εἰς τὰ περὶ διαιρέσεως καὶ ἀποδείξεως.

Καὶ ἰδοὺ διὰ μὲν τοῦ εἰπεῖν καὶ εἰς τὴν τῶν παρὰ Ἀριστο-
5 τέλει κατηγοριῶν διδασκαλίαν ἐδήλωσεν ὅτι οὐ μόνον εἰς τὰς Ἀριστοτέλους Κατηγορίας χρησιμεύει τὸ παρὸν σύγγραμμα ἀλλὰ καὶ εἰς πᾶσαν τὴν φιλοσοφίαν· ὁ γὰρ καί σύνδεσμος καὶ ἄλλου τινός ἐστι δηλωτικός, οἷον ὡς ὅταν εἴπωμεν 'καὶ γράφει'· ἐὰν γὰρ εἴπωμεν μετὰ τοῦ καί συνδέσμου, δηλοῦμεν ὅτι καὶ ἄλλο τι ποιεῖ. οὕτως οὖν εἰπὼν μετὰ τοῦ
10 καί συνδέσμου καὶ εἰς τὴν τῶν παρὰ Ἀριστοτέλει Κατηγοριῶν διδασκαλίαν ἐδήλωσεν ὅτι καὶ εἰς ἄλλο τι χρησιμεύει. εἰπὼν δὲ τοῦ γνῶναι τί διαφορὰ καὶ τί εἶδος καὶ τὰ ἑξῆς ἐδήλωσε τὸν σκοπόν· σκοπὸν γὰρ ἔχει περὶ τούτων διαλαβεῖν. εἰπὼν δὲ εἴς τε τὴν τῶν ὁρισμῶν ἀπόδοσιν καὶ ὅλως εἰς τὰ περὶ διαιρέσεως καὶ ἀπο-
15 δείξεως τὸν τρίτον τρόπον τοῦ χρησίμου ἐδήλωσε, τοῦτ' ἔστιν ὅτι χρησιμεύει τὸ παρὸν σύγγραμμα καὶ εἰς τὰς διαλεκτικὰς μεθόδους, εἰς τὴν διαιρετικὴν ὁριστικὴν ἀποδεικτικὴν καὶ ἀναλυτικήν. παραδίδωσι δὲ καὶ τὸν διδασκαλικὸν τρόπον, ὡς ἐν τοῖς ἑξῆς μαθησόμεθα. ταῦτα μὲν ἐν τούτοις.

Ἄξιον δὲ ζητῆσαι διὰ τί οὕτως ἐποιήσατο τὴν τάξιν ὁ Πορφύριος
20 τῶν πέντε φωνῶν, τοῦτ' ἔστι διὰ τί πρῶτον τὸ γένος ἔθηκε καὶ δεύτερον τὴν διαφορὰν | τρίτον τὸ εἶδος τέταρτον τὸ ἴδιον καὶ πέμπτον τὸ 168v
συμβεβηκός. ἀλλὰ πρὸ τούτου ὀλίγα τινὰ ἔξωθεν εἴπωμεν. ἰστέον ὅτι ἐπειδὴ τὰ μερικὰ ἄλλοτε ἄλλως ἔχουσι καὶ ἀεὶ ἐν φθορᾷ εἰσι καὶ ἐν ἀλλαγῇ καὶ στάσεως οὐδεμιᾶς μετέχουσι, τούτου χάριν ἡ φιλοσοφία μιμου-
25 μένη τὴν φύσιν ἐπενόησε τὰ καθόλου, ἅτινα ἀεὶ ὡσαύτως ἔχουσιν (ἀεὶ γὰρ ὁ καθόλου ἄνθρωπος ὡσαύτως ἔχει), περὶ ἃ καὶ καταγίνεται. τὰ δὲ μερικὰ λέγεται καὶ καθ' ἕκαστον καὶ ἄτομα. καὶ καθ' ἕκαστον μὲν λέγεται, ἐπειδὴ δύναται ἕκαστον τούτων καθ' ἑαυτὸ παραλαμβάνεσθαι, ἄτομα δὲ λέγονται, οὐκ ἐπειδὴ οὐ τέμνονται (τέμνονται γὰρ ὡς ὅλον εἰς μέρη· τέμνεται γὰρ ⟨ὁ
30 Σωκράτης⟩ εἰς χεῖρας καὶ πόδας καὶ κεφαλήν), ἀλλ' ἄτομα λέγονται, ἐπειδὴ ὥσπερ τὸ γένος διαιρεῖται εἰς εἴδη, οἷον τὸ ζῷον εἰς ἄνθρωπον ἵππον καὶ κύνα, καὶ τὰ εἴδη εἰς ἄτομα, οἷον ὁ καθόλου ἄνθρωπος εἰς Σωκράτην Πλάτωνα Ἀλκιβιάδην, τὸν αὐτὸν τρόπον οὐ διαιρεῖται ταῦτα εἰς τέλειά τινα· εἰ γὰρ καὶ ὁ Σωκράτης διαιρεῖται εἰς χεῖρας πόδας καὶ κεφαλήν,

---

1 τί τε] καὶ τί KT 4 τοῦ] τὸ V τῶν om. V 8 καὶ (ante συνδέσμου) om. T 9 ἐποίει KT οὖν om. V 11 διδασκαλίαν om. KT τι om. V 12 καὶ τί εἶδος om. KT καὶ τὰ ἑξῆς] καὶ τί ἴδιον καὶ τί συμβεβηκός KT 13. 14 τῶν ὁρισμῶν] ὁρισμὸν T 15 τρίτον] τέταρτον KT 16 καὶ (post σύγγραμμα) om. KT 17 pr. καὶ om. V 18 μὲν om. V 19 δέ ἐστι V 20 καὶ δεύτ.] δεύτ. δὲ V 22 εἴπ. ἔξωθεν colloc. KT ἰστέον δὲ V 23 ἐπειδὴ om. V 24 post ἀλλαγῇ add. ἄλλοτε γὰρ ἄλλως ἔχουσι V 25 ἀεὶ καὶ ὡσαύτως TV 26 καὶ om. KT 27 ἕκαστα (pr. l.) V 28. 29 οὐκ ἐπειδὴ] οὐχ ὅτι V 29 τέμνεται γὰρ om. V 29. 30 ὁ Σωκράτης inserui (cf. v. 34): om. KTV 30 πόδας χεῖρας (καὶ om.) V λέγεται KT 31. 32 καὶ κύνα] βοῦν κύνα V 33 καὶ ἀλκιβ. T διαιροῦνται KT 34 καὶ (ante κεφ.) om. V

Digitized by Google

ἀλλ' οὖν εἰς τέλειά τινα οὐ διαιρεῖται· οὔτε γὰρ ἡ χεὶρ καθ' ἑαυτὴν οὖσα τέλειόν τί ἐστιν οὔτε ὁ ποὺς καθ' ἑαυτὸν ὢν οὔτε ἡ κεφαλὴ καθ' ἑαυτὴν οὖσα. διὰ τοῦτο οὖν λέγεται ταῦτα ἄτομα, ἐπειδὴ ὡς εἴρηται οὐ διαιροῦνται εἰς τέλειά τινα. πάλιν ἄτομα λέγεται, ἐπειδὴ διαιρούμενα οὐ σώζει τὸ οἰκεῖον εἶδος· καὶ γὰρ Σωκράτης διαιρούμενος εἰς χεῖρας πόδας καὶ κεφαλὴν οὐ σώζει τὸ οἰκεῖον εἶδος· οὐ γὰρ ἡ χεὶρ κατ' ἰδίαν λέγεται Σωκράτης οὔτε ὁ ποὺς οὔτε ἡ κεφαλή, ἀλλ' ἅμα πάντα τὰ μέρη. διὰ τοῦτο δὲ τὰ ἄτομα διαιρούμενα οὐ σώζει τὸ οἰκεῖον εἶδος, ἐπειδὴ ὡς ὅλον εἰς μέρη διαιροῦνται, τὰ δὲ ὡς ὅλον εἰς μέρη διαιρούμενα οὐ σώζει τὸ οἰκεῖον εἶδος· ἐὰν γὰρ διαιρεθῶσιν, οὐκέτι φυλάττουσι τὸ αὐτὸ εἶδος, ὅπερ εἶχον καὶ πρότερον. λέγουσι δέ τινες ὅτι κακῶς λέγετε τὰ ὡς ὅλον εἰς μέρη διαιρούμενα μὴ σώζειν τὸ οἰκεῖον εἶδος· ἰδοὺ γὰρ ὁ καθόλου ἄνθρωπος ὅλον τι ὢν διαιρεῖται εἰς τοὺς κατὰ μέρος ἀνθρώπους, οἷον εἰς Σωκράτην Πλάτωνα καὶ Ἀλκιβιάδην, καὶ φυλάττει τὸ αὐτὸ εἶδος· καὶ γὰρ ὁ Σωκράτης ἄνθρωπός ἐστι καὶ ὁ Πλάτων ὁμοίως καὶ ὁ Ἀλκιβιάδης. πρὸς οὓς ἔστιν εἰπεῖν ὅτι οὐκ ἔστι τοῦτο ὅλον, ἀλλὰ καθόλου· ἄλλο γάρ ἐστι τὸ ὅλον καὶ ἄλλο τὸ καθόλου· τὸ μὲν γὰρ καθόλου ὁμοειδῶς ἐν ἑκάστῳ τῶν εἰδῶν αὐτοῦ καὶ τῶν ἀτόμων θεωρεῖται, οἷον τὸ καθόλου ζῷον ὁμοειδῶς ἐν παντὶ τῶν εἰδῶν αὐτοῦ θεωρεῖται· καὶ γὰρ ὁ ἄνθρωπος ζῷόν ἐστι καὶ ὁ ἵππος ζῷόν ἐστι καὶ ὁ κύων ὁμοίως. καὶ ἐν παντὶ δὲ τῶν ἀτόμων αὐτοῦ ὁμοτίμως θεωρεῖται· καὶ γὰρ καὶ ὁ Σωκράτης ζῷόν ἐστι καὶ ὁ Πλάτων. τὸ δὲ ὅλον οὐ θεωρεῖται ὁμοτίμως ἐν παντὶ τῶν μερῶν· | καὶ γὰρ ὁ Σωκράτης 169r
οὐ θεωρεῖται ἐν χειρὶ μόνῃ ἢ ἐν ποδὶ μόνῳ ἢ ἐν τῇ κεφαλῇ μόνῃ ἀλλ' ἐν ὅλοις ἅμα τοῖς μέρεσιν· οὔτε γὰρ ἡ χεὶρ τοῦ Σωκράτους Σωκράτης ἐστὶν οὔτε ἡ κεφαλή, ἀλλ' ἅμα πάντα τὰ μέρη.

Ἔλθωμεν τοίνυν καὶ εἴπωμεν περὶ τῆς τάξεως τῶν πέντε φωνῶν. ἰστέον ὅτι, ὡς ἐμάθομεν ἐν τῷ σκοπῷ, ἡνίκα τὴν διαίρεσιν τῆς φωνῆς ἐποιούμεθα, τὸ γένος καὶ τὸ εἶδος καὶ ἡ διαφορὰ οὐσιώδη εἰσί, τὸ δὲ ἴδιον καὶ τὸ συμβεβηκὸς ἐπουσιώδη. ἔστι δὲ καὶ τὸ ἴδιον πολλάκις οὐσιῶδες, ὡς ἐκεῖ μεμαθήκαμεν. ἐπειδὴ οὖν τὸ γένος καὶ ἡ διαφορὰ καὶ τὸ εἶδος μόνως οὐσιώδη εἰσί, τὸ δὲ συμβεβηκὸς ἐπουσιῶδες καὶ τὸ ἴδιον ὁμοίως (εἰ καὶ εὕρηται οὐσιῶδες, ἀλλ' οὖν οὐκ ἀεί ἐστιν οὐσιῶδες), τούτου χάριν τὸ

---

2 τι om. V ὢν om. KT 2. 3 καθ' ἑαυτὴν οὖσα Paris. 2089: om. KTV
4 λέγονται V 5 καὶ πόδας T 7 post ποὺς add. κατ' ἰδίαν V ἅμα om. KT
τὰ om. V 9 σώζουσι V 10 αὐτὸ om. K 11 λέγετε scripsi: λέγουσι KT: λέγεται V 12 διαιρούμενα om. V 13 ὅλον] ἓν V 14 ἀλκιβιάδην] γεώργιον KT αὐτὸ] οἰκεῖον V καὶ γὰρ καὶ T 15 καὶ ὁ Ἀλκιβιάδης om. KT 17 ἐν om. KT 17. 19 εἰδῶν] ἰδίων V 19 ὁ ἄνθρ.] καὶ ἄνθρ. V
20 ζῷόν ἐστι (post ἵππος) om. T 20. 21 θεωρ. ὁμοτίμως K: θεωρ. ὁμοίως καὶ ὁμοτίμως T 21 καὶ γὰρ—Πλάτων om. TV 22 ὁμοτίμως post μερῶν colloc. T
23 μόνῳ om. T μόνῃ (post κεφ.) om. KT 26 τοίνυν ἔλθωμεν colloc. KV ante περὶ τῆς τάξεως add. καὶ T 27 ὡς ἐμάθομεν ἐν τῷ σκοπῷ] cf. p. 84,24
28 οὐσιώδη] οὐσιῶδές τι V 29 ἐπουσιῶδες TV οὐσιῶδες post μεμαθήκαμεν colloc. V 30 ὡς—μεμαθήκ.] ὡς εἰρήκαμεν ἐκεῖσε T ἐπεὶ T 31 μόνον KT (cf. p. 99,17) 31. 32 εἰ δὲ καὶ T 32 post εὕρηται add. καὶ V

Digitized by Google

γένος καὶ ἡ διαφορὰ καὶ τὸ εἶδος προτερεύουσι τοῦ τε ἰδίου καὶ τοῦ συμβεβηκότος· τὸ γὰρ οὐσιῶδες τιμιώτερον τοῦ ἐπουσιώδους ἐστίν, εἴ γε τὸ μὲν οὐσιῶδες παρὸν μὲν σώζει ἀπὸν δὲ φθείρει (καὶ γὰρ τὸ λογικὸν παρὸν μὲν συνίστησι τὸν ἄνθρωπον ἀπὸν δὲ φθείρει αὐτόν· τοῦ γὰρ λογικοῦ
5 ἀπόντος οὐδὲ ἄνθρωπός ἐστι), τὸ δὲ ἐπουσιῶδες ἤγουν τὸ ἐπὶ τῆς οὐσίας ὄν, τοῦτ' ἔστι τὸ συμβεβηκός, οὔτε παρὸν σώζει οὔτε ἀπὸν φθείρει· καὶ γὰρ τὸ λευκὸν οὔτε παρὸν συνίστησι τὸν ἄνθρωπον οὔτε ἀπὸν φθείρει αὐτόν· ἐνδέχεται γὰρ μὴ ὄντα λευκὸν τὸν ἄνθρωπον ἀλλὰ μέλανα ἄνθρωπον εἶναι. τούτου οὖν χάριν, ὡς εἴρηται, τὸ γένος καὶ ἡ διαφορὰ
10 καὶ τὸ εἶδος προτερεύουσι τοῦ ἰδίου καὶ τοῦ συμβεβηκότος. τὸ δὲ γένος προτερεύει τῆς διαφορᾶς, ἐπειδὴ τὸ γένος περιέχει ἐν ἑαυτῷ τὰς διαφοράς· καὶ γὰρ τὸ καθόλου ζῷον περιέχει ἐν ἑαυτῷ καὶ τὸ λογικὸν καὶ τὸ ἄλογον. ἡ δὲ διαφορὰ προτερεύει τοῦ εἴδους, ἐπειδὴ ἡ διαφορὰ καθολικωτέρα ἐστὶ τοῦ εἴδους· καὶ γὰρ τὸ λογικὸν τοῦ ἀνθρώπου καθολικώτερόν
15 ἐστι· φέρεται γὰρ κατὰ πλειόνων· οὐ μόνον γὰρ ὁ ἄνθρωπος λογικός ἐστιν ἀλλὰ καὶ ἄγγελος καὶ δαίμων. τὸ δὲ εἶδος προτερεύει τοῦ ἰδίου, ἐπειδὴ τὸ μὲν εἶδος μόνως οὐσιῶδές ἐστι, τὸ δὲ ἴδιον οὐκ ἔστι μόνως οὐσιῶδες, ὡς εἴρηται· τὰ δὲ οὐσιώδη, ὡς δέδεικται, τιμιώτερά εἰσι τῶν ἐπουσιωδῶν. τὸ δὲ ἴδιον προτερεύει τοῦ συμβεβηκότος, ἐπειδὴ τὸ μὲν συμβεβηκὸς μόνως
20 ἐπουσιῶδές ἐστι, τὸ δὲ ἴδιον καὶ οὐσιῶδες καὶ ἐπουσιῶδες· εὐλόγως οὖν προτερεύει τὸ ἴδιον· καὶ γάρ, ὡς δέδεικται, τὸ οὐσιῶδες τιμιώτερόν ἐστι τοῦ ἐπουσιώδους. κατ' ἄλλον δὲ λόγον προτερεύει τὸ ἴδιον τοῦ συμβεβηκότος, ὅτι τὸ μὲν ἴδιον ἀντιστρέφει (δύναμαι γὰρ εἰπεῖν ὅτι εἴ τι ἄνθρωπος, καὶ γελαστικόν, καὶ εἴ τι γελαστικόν, καὶ ἄνθρωπος· μόνῳ γὰρ τῷ ἀνθρώπῳ
25 τὸ γελαστικὸν ἕπεται), τὸ δὲ συμβεβηκὸς οὐκ ἀντιστρέφει· οὐ δύναμαι γὰρ εἰπεῖν ὅτι εἴ τι κύκνος, λευκόν, καὶ εἴ τι λευκόν, κύκνος· | οὐ γὰρ ἀλη- 169v
θεύει ὁ λόγος· ἰδοὺ γὰρ καὶ ἡ χιὼν καὶ τὸ ψιμύθιον λευκά εἰσι καὶ οὐκ εἰσι κύκνοι. ταῦτα ἔχει καὶ ἡ παροῦσα πρᾶξις.

Πρᾶξις β'.

30 p. 1,3 Ὄντος ἀναγκαίου.

Τινὲς αἰτιῶνται τὴν ἀρχὴν ὡς κακῶς ἔχουσαν· φασὶ γάρ· εἰ τὸ ὄν

---

2 τιμιώτερον Paris. 2089: ἰδιαίτερον KT: ἰδιώτερον V (cf. vs. 18) ἐστι τοῦ ἐπουσ. colloc. V 5 οὐδὲ V¹: οὔτε KTV² 8 μὴ ὄντα] καὶ μὴ εἶναι V τὸν ἄνθρ. λευκὸν colloc. V 8. 9 ἄνθρ. εἶναι] καὶ εἶναι αὐτὸν ἄνθρ. V 9 τὸ γένος ὡς εἴρ. colloc. V 11 τὰς διαφοράς—ἑαυτῷ om. V 12 καὶ (post ἑαυτῷ) om. K 15 λογικόν V 16 ἄγγελοι καὶ δαίμονες V 19 μὲν om. V 20 post ἐστι add. ὡς εἴρηται V 22 τὸ ἴδιον προτ. colloc. V 23 εἴ τι om. K καὶ (ante γελ.) om. K 24 καὶ (ante ἄνθρ.) om. KT 26 οὐ] οὐδὲ T 27 καὶ (post γάρ) om. V ψιμμίθιον T λευκόν ἐστι V 28 ταῦτα—πρᾶξις] ἐν οἷς σὺν θεῷ ἡ παροῦσα θεωρία V 29 totum caput alterum hic omisit et sub titulo πρᾶξις δ' post verba περὶ τούτου διαλαμβάνειν οὐ βούλομαι (p. 110,20) inseruit V 30 post ἀναγκαίου add. χρυσαόρις T 31 ὡς κακῶς] κακῶς K: καλῶς V

Digitized by Google

ὁμώνυμόν ἐστι, τὸ δὲ ὁμώνυμον ἀόριστον, ἀόριστον ἄρα τὸ ὄν· οὐ δεῖ δὲ τὴν ἀρχὴν ἀπὸ ἀορίστων ποιεῖσθαι. πρὸς δὲ τοῦτό φαμεν ὅτι οὐκ ἔστιν ὁμώνυμον τὸ ὄν, ὡς καὶ ἤδη ἐδείχθη ἐν τοῖς προτέροις, ἀλλ' ἀφ' ἑνός· τίνα δέ εἰσι τὰ ἀφ' ἑνός, τελείως ἐν ταῖς Κατηγορίαις εἰσόμεθα. ἔτι δέ
5 φασιν· διὰ τί οὐ προέταξε τὸ ἀναγκαῖον τοῦ ὄντος; καὶ λέγομεν πρὸς τοῦτο τρεῖς αἰτίας· πρῶτον μὲν ὅτι ὡς καθολικώτερον τὸ ὂν τοῦ ἀναγκαίου προέταξεν· εἴ τι μὲν γὰρ ἀναγκαῖον, τοῦτο καὶ ὄν ἐστιν, οὐκ εἴ τι δὲ ὄν, τοῦτο καὶ ἀναγκαῖον. εἰ προέταξεν οὖν τὸ ἀναγκαῖον, οὐκέτι τοῦ ὄντος ἐδέετο. δεύτερον δὲ διὰ τὸ εὐφραδές· εἰ γὰρ εἶπεν οὕτως 'ἀναγκαίου
10 ὄντος', οὐχ οὕτως ἔμελλεν εὔφωνος εἶναι ἡ φράσις ἔχουσα τὸ κεχηνός. τρίτον ἵνα ἀπὸ τῶν γενικωτάτων ἄρξηται· οὕτως οὖν βουλόμενος ὁ Πορφύριος ἄρξασθαι τὸ ὂν προέταξε.

Πάλιν ζητοῦσί τινες διὰ τί ἀναγκαίου εἶπε καὶ οὐχὶ δικαίου ἢ ἀγαθοῦ ἢ χρησίμου. πρὸς τοῦτο ἀπολογούμεθα ἀπὸ διττῆς τινος διαιρέσεως,
15 πρώτης μὲν οὕτως· ἰστέον ὅτι δύο ταῦτα ἀλλήλοις παράκειται, τὸ ἀγαθὸν καὶ τὸ χρήσιμον. τὸ δὲ χρήσιμον τέμνεται εἰς δύο, εἰς τὸ ὁμώνυμον τῷ γένει χρήσιμον καὶ εἰς τὸ ἀναγκαῖον. καὶ ἀγαθὸν μέν ἐστι τὸ δι' ἑαυτὸ αἱρετόν, οἷον εὐδαιμονία εὐσέβεια. χρήσιμον δέ ἐστι τὸ ἀντιδιαστελλόμενον τῷ ἀναγκαίῳ, ὅπερ οὔτε παρὸν σώζει οὔτε ἀπὸν φθείρει, ὡς ἡ τοιάδε ἐσθής.
20 ἀναγκαῖον δὲ ὃ παρὸν μὲν σώζει ἀπὸν δὲ φθείρει, ὡς ἡ ἀναπνοή. πάλιν τὸ ἀναγκαῖον ἐξαχῶς λέγεται· λέγεται γὰρ ἀναγκαῖον ἡ ὕλη, ὡς αἱ σανίδες τοῦ πλοίου πρὸς τὴν τούτου κατασκευήν. λέγεται ἀναγκαῖον ὡς τὸ λογικὸν τοῦ ἀνθρώπου. λέγεται ἀναγκαῖον καὶ τὸ βίᾳ, ὡς ὅταν εἴπωμεν ὅτι ἀναγκαίως ὁ τεμνόμενος τελευτᾷ. λέγεται ἀναγκαῖον καὶ τὸ ἕπεσθαι, ὡς ὅταν
25 εἴπωμεν ὅτι ἀναγκαίως αἱ προτάσεις ἔχουσι τὸ συμπέρασμα· ἕπεται γὰρ ταῖς προτάσεσι τὸ συμπέρασμα. λέγεται δὲ ἀναγκαῖον καὶ τὸ δι' ἑαυτὸ μὲν φευκτὸν δι' ἕτερον δὲ αἱρετόν, ὡς τὸ φλεβότομον· δι' ἑαυτὸ μὲν γὰρ φευκτόν ἐστιν, ἐπειδὴ ὀδύνην ποιεῖ, δι' ἕτερον δὲ αἱρετόν, ἐπειδὴ κενοῖ τὴν ὕλην. λέγεται δὲ ἀναγκαῖον καὶ τὸ καὶ δι' ἑαυτὸ αἱρετὸν καὶ δι' ἕτερον,

---

1 ἄρα τὸ ὂν ἀόρ. colloc. KT 2 ἀορίστου V 3 ὡς καὶ ἤδη ἐδείχθη] cf. p. 3,2 4 τί δέ εἰσι τὰ ἀφ' ἑνός T: τί δέ ἐστι τὸ ἀφ' ἑνός V 5 οὐ προέταξε post ὄντος colloc. V 6 πρώτην V ὅτι om. V 8 οὖν] γὰρ T 9 εἶπεν] ἦν V 10 ὄντως V ἤμελλεν T ἡ φράσις εἶναι colloc. V 11 τρίτην V post οὖν add. ἀπὸ τῶν γενικωτάτων V 12 ἄρξασθαι ante βουλ. colloc. V 13 δικαίου ἢ om. V 14 τοῦτο δὲ V post ἀπολογ. add. πάλιν T ἀπὸ] διὰ KT (cf. p. 101,7) 15 οὕτως] ὄντως V 16. 17 τὸ δὲ χρήσ.—ἀναγκ. deleas τὸ (ante ὁμών. et ἀναγκ.) om. TV 18 ἡ εὐδ. ἡ εὐσέβ. V 19 ὅπερ] ὃ K 21 καὶ ἐξαχῶς V λέγεται (alterum) om. V alt. ἀναγκαῖον om. T ἡ πρώτη ὕλη V ὡς] οἷον T 22 λέγεται δὲ V ὡς] καὶ V; ante ὡς inseras τὸ εἶδος. 23 τὸ βίᾳ scripsi: τῇ βίᾳ libri οἷον ὡς V ὅτι om. K 23. 24 ἀναγκαίως—τελευτᾷ] ἀναγκαῖον τὸν τεμνόμενον τελευτᾶν T 25 τὸ om. KT συμπεράσματα T ἕπεται—τὸ συμπέρασμα (26) om. V 26 καὶ τὸ δι' ἑαυτὸ—κενοῖ (28)] ὃ δι' ἑαυτὸ μὲν φευκτόν ἐστιν, ἐπειδὴ ὀδύνην ποιεῖ, τὸ φλεβότομον λέγω, δι' ἕτερον δὲ αἱρετόν, ἐπειδὴ κενοῖ KT 29 δὲ om. KT καὶ τὸ καί] τὸ καὶ KT: καὶ τὸ V δι' ἑαυτὸ—ἕτερον] δι' ἕτερον ἀναγκαῖον (sic) καὶ δι' ἑαυτὸ KT

Digitized by Google

ὡς ἡ ὑγίεια καὶ δι' ἑαυτὴν μέν ἐστιν αἱρετή (οὐδὲν γὰρ ἔχει ἀποβολῆς ἄξιον), καὶ δι' ἕτερον δὲ αἱρετή ἐστι, διὰ τὰς ψυχικὰς ἐνεργείας· αἱ γὰρ ψυχικαὶ ἐνέργειαι διὰ τῆς ὑγιείας προέρχονται. αἱ δὲ πέντε φωναὶ καὶ δι' ἑαυτάς εἰσιν ἀρεταί, ἐπειδὴ πάντως ὀφείλομεν | γινώσκειν τί ἐστιν ἑκάστη 170r
5 αὐτῶν, ἀλλὰ καὶ δι' ἕτερόν εἰσιν αἱρεταί· συμβάλλονται γὰρ ἡμῖν καὶ εἰς τὰς Κατηγορίας Ἀριστοτέλους καὶ εἰς πᾶσαν τὴν φιλοσοφίαν καὶ τὰ τοιαῦτα.

Δεύτερον δὲ ἀπὸ τοιᾶσδε διαιρέσεως· τῶν ὄντων τὰ μέν ἐστι δι' ἑαυτὰ αἱρετὰ τὰ δὲ δι' ἕτερα, καὶ αἱρετὰ μὲν δι' ἑαυτὰ ὡς ἡ εὐδαιμονία (ταύτην γὰρ αἱρούμεθα ἔχειν δι' ἑαυτήν), αἱρετὰ δὲ δι' ἕτερα ὡς ἡ ἐσθής· αὕτη
10 γὰρ δι' ἑαυτὴν οὐκ ἔστιν αἱρετή, ἀλλὰ διὰ τὸ θάλπειν τὸ ἡμέτερον σῶμα. τῶν δὲ δι' ἕτερον αἱρετῶν διαφορά τίς ἐστι· τούτων γὰρ τὰ μὲν ἀπαραίτητά ἐστι τὰ δὲ παραίτησιν ἐπιδεχόμενα, καὶ ἀπαραίτητα μὲν ὡς ἡ ἀναπνοή (πάντως γὰρ δεῖται ταύτης πᾶν ἔμψυχον ζῷον· χωρὶς γὰρ ταύτης τὸ ἔμψυχον θερμὸν οὐ γίνεται), παραίτησιν δ' ἐπιδεχόμενα ὡς ἡ ἐσθής·
15 δύναται γὰρ χωρὶς ταύτης εἶναι τὰ ἔμψυχα ζῷα. τούτων οὖν τὰ ἀπαραίτητα λέγεται ἀναγκαῖα, τὰ δὲ παραίτησιν ἐπιδεχόμενα χρήσιμα, τὰ δὲ δι' ἑαυτὰ αἱρετὰ ἀγαθά. καλῶς οὖν ἀναγκαίου εἶπε καὶ οὐ χρησίμου οὔτε ἀγαθοῦ· τὸ γὰρ ἀναγκαῖον δηλοῖ τὸ ἀπαραίτητον· ἀπαραίτητον γὰρ ὑπάρχει ἡμῖν πάντως τὰς πέντε φωνὰς γνῶναι. χρήσιμον δ' οὐκ ἠδύνατο εἰπεῖν,
20 ἐπειδὴ παραίτησιν ἐπιδέχεται τὸ χρήσιμον, τοῦτο δὲ ἀπαραίτητόν ἐστιν. ἀγαθὸν δὲ ὁμοίως οὐκ ἠδύνατο εἰπεῖν, ἐπειδὴ τὸ ἀγαθὸν δι' ἑαυτὸ αἱρετόν ἐστι, τοῦτο δὲ τὸ παρὸν σύγγραμμα οὐ δι' ἑαυτὸ μόνον αἱρετόν ἐστιν, ἀλλὰ καὶ διὰ πᾶσαν τὴν φιλοσοφίαν.

p. 1,3 Χρυσαόριε.

25 Ἴσμεν αὐτοῦ φίλον εἶναι τὸν Χρυσαόριον, πρὸς ὃν ἐξεφώνησε τὸ παρὸν σύγγραμμα.

p. 1,3 Καὶ εἰς τὴν τῶν παρὰ Ἀριστοτέλει Κατηγοριῶν διδασκαλίαν.

Ὧδε τὸ πλεῖστον μέρος τοῦ χρησίμου ἐμφαίνει· καὶ γὰρ καὶ εἰς τὰς Κατηγορίας φησὶ συμβάλλεσθαι καὶ εἰς πᾶσαν τὴν φιλοσοφίαν· τοῦτο γὰρ
30 δηλοῖ ὁ καί σύνδεσμος. σαφὲς δέ ἐστι καθὸ εἰς τὰς Κατηγορίας φησίν, ἀσαφὲς δὲ καθὸ ὁ καί σύνδεσμος ἔξωθεν δηλοῖ πᾶσαν τὴν φιλοσοφίαν.

---

1 ἡ (post ὡς) om. K ὑγεία V post ὑγίεια add. καὶ γὰρ ὑγίεια K
2 δὲ om. T 3 ὑγείας TV 5 γὰρ] δὲ V 9 δι' ἑαυτήν] διὰ τὸ εἶναι ἀγαθὴν KT ὥσπερ KT 11 ante γὰρ add. μὲν KT 12 εἰσι KT παραίτησιν ἐπιδεχόμενα] παραιτούμενα KT 13 τὸ om. K 14 ex ἔμψυχον corr. ἔμφυτον V ἐπιδεχ.] δεχόμενα K 15 οὖν evan. V 16 ἀναγκ. λέγονται V 17 αἱρετὰ om. V καὶ evan. V 18. 19 ἡμῖν ὑπάρχει colloc. K 19 γνῶναι ante πάντως colloc. KT ἐδύνατο V 23 τὴν Paris. 2089: om. KTV 27 post διδασκαλίαν add. τοῦ γνῶναι V 28 καὶ (post γὰρ) om. V 29 τὴν om. KT 30 post συνδ. addas κατὰ τὸ σαφές τε καὶ ἀσαφές 31 καθὸ] ὅτι V post καθὸ add. καὶ K

Digitized by Google

ζητοῦσι δέ τινες διὰ τί εἰρηκὼς τῶν Κατηγοριῶν λέγει τῶν παρὰ Ἀριστοτέλει· ἤρκει γὰρ τῶν Κατηγοριῶν εἰπεῖν. καί τινές φασιν ὅτι πρὸς ἀντιδιαστολὴν ἄλλων εἶπε παρὰ Ἀριστοτέλει· βούλεται γὰρ δεῖξαι ὅτι συμβάλλεται εἰς τὰς Κατηγορίας Ἀριστοτέλους καὶ οὐκ ἄλλων· ἔγραψε γὰρ καὶ Θεόφραστος καὶ Εὔδημος περὶ κατηγοριῶν κατὰ μίμησιν τοῦ οἰκείου διδασκάλου. κακῶς δὲ οὗτοι ἐπελύσαντο· εἰ γὰρ ἅπαξ συμβάλλεται ταῖς Κατηγορίαις Ἀριστοτέλους, καὶ πάσαις ταῖς Κατηγορίαις συμβάλλεται. τοῦτο δὲ ἔδει εἰπεῖν ὅτι ἐκ τοῦ μείζονος θέλει δεῖξαι ὅτι πάσαις ταῖς Κατηγορίαις συμβάλλεται, | εἰ καὶ ταῖς Ἀριστοτέλους. ζητοῦσι δὲ διὰ τί τὸ πλεῖστον 170v μέρος τοῦ χρησίμου προέταξε τοῦ σκοποῦ. φαμὲν δὲ ὅτι τοῦτο ἐποίησε Πλάτωνι παρακολουθῶν παρακελευομένῳ προτάττειν τὸ χρήσιμον, ἵν', ὡς εἴπομεν ἀνωτέρω, διὰ τοῦ χρησίμου θαῦμα ἡμῖν ἐπέλθῃ, ἐκ δὲ τοῦ θαύματος ζήτησις, ἐκ δὲ τῆς ζητήσεως τὸ φιλοσοφεῖν.

p. 1,4 Τοῦ γνῶναι τί γένος τί διαφορὰ τί εἶδος τί ἴδιον καὶ τί συμβεβηκός.

Τούτων τὴν τάξιν ἀνωτέρω εἴπομεν.

p. 1,5 Εἴς τε τὴν τῶν ὁρισμῶν ἀπόδοσιν καὶ ὅλως εἰς τὰ περὶ διαιρέσεως καὶ ἀποδείξεως χρησίμης οὔσης τῆς τούτων θεωρίας.

Μάθωμεν οὖν τί ἐστι διαίρεσις καὶ ὁρισμὸς καὶ ἀπόδειξις καὶ ἀνάλυσις καὶ οὕτως ἐπὶ τὴν ἐξήγησιν χωρῶμεν. διαίρεσίς ἐστιν ἡ ἀπὸ γένους ἐπὶ εἶδος χωροῦσα, οἷον οὐσία εἰς σῶμα καὶ ἀσώματον καὶ τὰ ἑξῆς, ὁρισμός ἐστιν ὁ ἐκ γένους καὶ συστατικῶν διαφορῶν συνιστάμενος, ἀπόδειξίς ἐστιν ἡ διὰ συλλογισμῶν καὶ προτάσεων γινομένη, † τὸ ὂν ποτὲ μὲν ἀγαθὸν δεικνῦσα ποτὲ δὲ κακόν. κακὸν μὲν οὖν οὕτως· ἡ ἡδονὴ σύνεστι τῇ οἰκείᾳ λύπῃ, τὸ δὲ λυποῦν κακόν, ἡ ἡδονὴ ἄρα κακόν. πῶς δὲ σύνεστιν ἡ ἡδονὴ τῇ λύπῃ; ἐπειδὴ εἰ μὴ πρότερον διψήσεις, οὐχ ἡδὺ ποτοῦ μεταλαβεῖν, εἰ μὴ πρότερον πεινήσεις, οὐχ ἡδὺ βρώσεως μεταλαβεῖν. τὸ δὲ θαυμαστόν, ὅτι ἐναντίως ἔχοντα τὰ τοιαῦτα ἀλλήλοις συναυξάνονται καὶ συμμειοῦνται· ὅσον γὰρ διψῇς, τοσοῦτον ποτοῦ μεταλαμβάνειν ἡδύ. ἀγαθὸν

1 τῶν (post εἰρηκὼς) om. V 2. 3 Ἀριστοτέλους Brand. 2 εἰπεῖν om. V ὅτι om. K 3 ἀντιδ.] διαστολὴν V τῶν ἄλλων V παρὰ om. KT 4 οὐκ om. T 5 καὶ (post γὰρ) om. V 8 ἔδει] εἰ δεῖ V 9 ταῖς Ἀρ.] πρὸς τὰς Ἀρ. V 11 παρακολ. τῷ πλάτωνι T 11. 12 ὡς εἴπομεν ἀνωτέρω] cf. p. 95,17 sq. 13 τὸ om. V 14 καὶ τί διαφ. τί τε εἶδος καὶ τί ἴδιον Porph. 16 τούτων scripsi: τούτου K: τούτου χάριν T: τούτου δὲ V 19 οὖν om. KT 20 χωρῶμεν] χωροῦμεν KTV 21 οἷον om. V ἡ οὐσία V καὶ ἀσώμ.] ἢ ἀσωμ. V 22 ἐστιν] δὲ K 23 τὸ ὂν] scribas οἷον τὴν ἡδονὴν 24 οὖν om. KT 25 οἰκείᾳ] ἰδίᾳ KT κακή (alt. l.) T 26 τῇ ἡδονῇ ἡ λύπη V 26. 27 ἡδὺ] ἤδη KT (bis) 27. 28 καὶ τὸ δὴ θαυμ. V 28 ὅτι om. KV 29 διψᾶς K μεταλαμβάνων ἤδη KT

Digitized by Google

δὲ δεικνύει τὴν ἡδονὴν οὕτως· ἡ ἡδονὴ ἐφετόν, τὸ ἐφετὸν ἀγαθόν, ἡ ἡδονὴ ἄρα ἀγαθόν. εἰ δὲ εἴποι τις 'τί οὖν; τὸ ἥδεσθαι μοιχεύειν ἢ κλέπτειν ἀγαθόν ἐστι;' φαμὲν ὅτι ἐκείνῳ τῷ ταῦτα μελετῶντι ἀγαθὸν φαίνεται τῇ ἀλόγῳ δόξῃ ἑπομένῳ. ἀναλυτικὴ δὲ ἡ ἀναλύουσα τὴν σύνθεσιν· οἷον τὸ
5 ζῷον λογικὸν θνητὸν δηλοῖ τὸν ἄνθρωπον, ἀναλύει δὲ αὐτὸν εἰς λογικὸν ζῷον καὶ εἰς ἄλογον ζῷον καὶ εἰς τὰ τοιαῦτα. εἴπομεν δὲ ἀνωτέρω πῶς ἐξ ἐναντίας φέρεται πρὸς τὰς ἄλλας τρεῖς διαλεκτικὰς μεθόδους. χωρὶς δὲ ταύτης οὐδεμία συνίσταται τέχνη· θὲς γὰρ οἶκον εἶναι τελείως ἔχοντα τὰ οἰκεῖα, τοῦτον δὲ ἀναλύεις ἀπὸ τῆς στέγης κατιὼν ἐπὶ τοὺς θεμελίους· εἰ δὲ
10 κατὰ σαυτὸν ἐνθυμηθῇς ὅτι δεῖ σε ὀροφῶσαι οἶκον, διὰ τὴν στέγην καὶ τοὺς τοίχους ἐπινοεῖς καὶ διὰ τοὺς τοίχους τοὺς θεμελίους. ὥστε οὖν αὕτη ἐστὶν ἡ συνιστῶσα τὴν τέχνην.

Ἀποροῦσι δέ τινες λέγοντες διὰ τί τῆς διαιρέσεως προέταξε τὸν ὁρισμόν, καίτοι ἐδείχθη ὅτι θέλει ἡ διαίρεσις τοῦ ὁρισμοῦ προτερεύειν.
15 καί τινες ὑπὲρ τούτου ἀπολογοῦνται ὅτι διὰ | τοῦτο προέταξε τὸν ὁρισμόν, 171r
ὅτι δι' αὐτοῦ πανταχοῦ ὁρίζει τὴν φύσιν τῶν προκειμένων φωνῶν καὶ πάνυ αὐτοῦ δέεται. τινὲς δὲ πρὸς τούτους ἀντιλέγοντές φασιν ὅτι οὐχ οὕτως· καὶ γὰρ ὁμοίως πανταχοῦ διαιρεῖ τὰς προηγουμένας φωνὰς καὶ δέεται τῆς διαιρέσεως. κακῶς δὲ οὗτοι ἐλάβοντο τῶν πρώτων· οὔτε γὰρ εἰρηκότες
20 ὅτι πάνυ δεόμενος τοῦ ὁρισμοῦ αὐτὸν προέταξε, λέγουσιν ὅτι οὐ δέεται τῆς διαιρέσεως. διὰ δὲ τὸ μᾶλλον αὐτὸν προέταξεν· οὐδὲ γὰρ διὰ τῆς διαιρέσεως δηλοῖ ἡμῖν τὴν φύσιν ὡς ἐν τῷ ὁρισμῷ.

Πάλιν ἀποροῦσί τινες λέγοντες διὰ τί τῆς ἀναλυτικῆς οὐκ ἐμνημόνευσε. καί φασί τινες ὅτι αὕτη ἡ ἀναλυτικὴ μέθοδος φυσική τίς ἐστιν, οἷον ἡ ἀνα-
25 λύουσα τὰ φυσικὰ πράγματα, ὅτι ὁ ἄνθρωπος σύγκειται ἐκ τεσσάρων χυμῶν, οἱ χυμοὶ ἐκ τῶν τροφῶν, αἱ τροφαὶ ἐκ τῶν καρπῶν, οἱ καρποὶ ἐκ τῶν φυτῶν, τὰ φυτὰ ἐκ τῶν τεσσάρων στοιχείων, τὰ τέσσαρα στοιχεῖα ἐξ ὕλης καὶ εἴδους. λέγομεν πρὸς τοῦτο ὅτι τριττὴ ἡ παρὰ τοῖς φιλοσόφοις ἀνάλυσις· ἔστι γὰρ ἡ φυσικὴ ἡ λογική, καὶ αὕτη διττή. καὶ φυσικὴ μέν
30 ἐστιν οἷον εἴπομεν τρόπον. λογικὴ δὲ ἡ ἐν προτάσεσιν ἢ ἐν συλλογισμοῖς. καὶ ἐν μὲν προτάσεσιν, ὅταν τὴν δοθεῖσαν πρότασιν ἀναλύῃ εἰς τοὺς ὅρους, οἷον 'Σωκράτης φιλοσοφεῖ'. ταύτην τὴν πρότασιν ἀναλύει εἰς τὸ 'Σωκράτης' καὶ εἰς τὸ 'φιλοσοφεῖ' καὶ λέγει ὅτι τὸ μὲν 'Σωκράτης' ὄνομά ἐστι τὸ δὲ 'φιλοσοφεῖ' ῥῆμα. ἐν δὲ συλλογισμοῖς, ὡς ὅταν λάβωμεν τὸ ζητούμενον
35 ὡς ὁμολογούμενον (ὅταν κατὰ σύνθεσιν ἀγορεύηται τὸ προκείμενον)

---

2 ἡ] καὶ V 3 ἐπιμελετῶντι T 5. 6 εἰς ζῶον λογ. colloc. K 6 alt. ζῷον om. KT εἰς (ante τὰ) om. KT εἴπωμεν K (cf. p. 90,5) 10 ὀροφῆσαι KT 14 ἐδείχθη] cf. p. 89,24 16 παντ. δι' αὐτοῦ colloc V 19 οὔτε γὰρ] οὗτοι γὰρ οἱ T; an οὐδὲ γὰρ? 20 οὐ δέεται] δέεται μὲν καὶ T τῆς supra scr. K 23 λέγοντες om. KT διὰ τί—ἐμνημόνευσε in mrg. suppl. K 25 ὁ om. V 26 αἱ τροφαὶ—καρπῶν om. V 28 καὶ λέγομεν T ἡ om. K 29 ἡ φυσικὴ ἢ λογική K: ἡ φυσικὴ ἡ λογική V καὶ αὕτη διττή] ἡ συλλογιστική V 30 ἐστιν om. V τρόπον] τὸ πρῶτον V ἢ (prius)] ἡ K ἐν (ante συλλ.) om. T 32 ταύτην—εἰς τὸ φιλοσοφεῖ (33) om. KT 33 λέγω KT

Digitized by Google

καὶ καταντήσωμεν εἴς τι ὁμολογούμενον, οἷον εἰ ἀθάνατός ἐστιν ἡ ψυχή (τοῦτο τὸ ζητούμενον λαμβάνομεν ὡς ὁμολογούμενον, ἐπειδὴ ἀθάνατός ἐστιν ἡ ψυχή), εἰσὶν ἀμοιβαὶ τῶν φαύλων καὶ ἀγαθῶν πράξεων, εἰ δὲ εἰσὶν ἀμοιβαί, εἰσὶ τὰ ὑπὸ γῆν δικαιωτήρια, εἰ δὲ εἰσὶ τὰ ὑπὸ γῆν δικαιωτήρια, 5 ἔστι τὸ δικαζόμενον, εἰ δὲ ἔστι τὸ δικαζόμενον, ἔστιν ἄρα καὶ ὁ δικάζων, εἰ δὲ ἔστι δικαστής, ἔστι καὶ προνοητὴς καὶ πρόνοια. καὶ ὅρα πῶς κατηντήσαμεν εἰς τὴν πρόνοιαν, ἥτις ὁμολογεῖται παρὰ πᾶσιν οὖσα. ὅθεν πάλιν κατὰ σύνθεσιν λέγω· ἐπειδὴ ἔστι πρόνοια καὶ δικαστής, δῆλον ὅτι εἰσὶ τὰ ὑπὸ γῆν δικαιωτήρια, εἰ δὲ εἰσὶ ταῦτα, δῆλον ὅτι καὶ ἀμοιβαὶ φαύλων καὶ 10 ἀγαθῶν πράξεων, εἰ δὲ εἰσὶν ἀμοιβαί, ἔστι τὸ κρινόμενον, εἰ δὲ ἔστι τὸ κρινόμενον, ἀθάνατος ἄρα ἡ ψυχή. διὰ τί οὖν εἴασε καὶ ταύτας τὰς ἀναλυτικάς; καὶ λέγομεν ὅτι εἰρηκὼς τὴν διαίρεσιν καὶ τὸν ὁρισμὸν καὶ τὴν ἀπόδειξιν συμπεριέλαβε καὶ τὴν ἀνάλυσιν· πανταχοῦ γὰρ θεωρεῖται· ἐν μιᾷ γὰρ ἑκάστῃ νοεῖται· ὅπου γὰρ σύνθεσις, πάντως ἔστιν ἐκεῖ καὶ ἀνάλυσις· 15 ἔστι δὲ ἐν πᾶσι σύνθεσις. ἄλλως τε δὲ εἰρηκὼς τὴν διαίρεσιν καὶ τὸν ὁρισμὸν καὶ τὴν ἀπόδειξιν πολλῷ μᾶλλον τὴν ἀνάλυσιν ἐδίδαξε· διὰ γὰρ τὴν ἀνάλυσιν | καὶ αὗται λαμβάνονται· ἀμέλει ὡς αὐτῆς τιμιωτέρας οὔσης ἐξ 171v αὐτῆς τὴν ἐπιγραφὴν ἐποίησεν ὁ Ἀριστοτέλης, καίτοι περὶ πασῶν διαλαβών, τὰ Ἀναλυτικά. ἔστι δὲ καὶ ἄλλως εἰπεῖν· αἱ προκείμεναι φωναὶ καθολικαί 20 εἰσιν, ὡς εἴρηται· ἡ οὖν ἀνάλυσις οὐ μόνον τῶν καθόλου ἐστὶν ἀλλὰ καὶ τῶν καθ' ἕκαστα· δύναμαι γὰρ ἀναλύειν τὸν Σωκράτην εἰς ψυχὴν καὶ σῶμα. ἐπειδὴ οὖν καὶ τῶν καθ' ἕκαστά ἐστιν ἀνάλυσις, αἱ δὲ προκείμεναι φωναὶ τῶν καθόλου εἰσί, πολλάκις οὐκ ἠνέσχετο τὴν ἀναλυτικὴν ἀριθμῆσαι.

Ἰστέον δὲ ὅτι ὧδε τὸ λεῖπον τοῦ χρησίμου εἰσφέρει. ἀποροῦσι δέ τινες 25 λέγοντες διὰ τί λέγει χρησίμης οὔσης, καίτοι ἐδείχθη ὡς τὸ χρήσιμον παραίτησιν ἐπιδέχεται καὶ διὰ τοῦτο τὸ ἀναγκαῖον ἀντ' αὐτοῦ ἔταξε. λέγομεν δὲ ὅτι δύναται ὧδε νοεῖσθαι τὸ χρήσιμον ἀναγκαῖον· φέρεται γὰρ τὸ χρήσιμον καὶ ἐπὶ τοῦ ἀναγκαίου· ὥσπερ γὰρ τὸ ὄνομα φέρεται καὶ ἐπὶ ῥήματος καὶ συνδέσμου (ταῦτα δὲ λέγομεν ὀνόματα καθὸ ὀνομάζονται, κυρίως δὲ αὐτὸ 30 τὸ ὄνομα ὄνομα λέγεται), οὕτως καὶ τὸ χρήσιμον φέρεται καὶ ἐπὶ τοῦ ἀναγκαίου· χρήσιμον δὲ κυρίως λέγεται τὸ παραίτησιν ἐπιδεχόμενον. ἄλλως τε δέ φαμεν ὅτι δικαίως μὲν ἐκεῖ ἀναγκαῖον λέγει ὧδε δὲ χρήσιμον, ἐπειδὴ τῶν πέντε φωνῶν αἱ μέν εἰσιν οὐσιώδεις αἱ δὲ ἐπουσιώδεις. αἱ μὲν οὖν

---

1 καὶ καταντ.—ὁμολογούμενον om. V εἴς τι] εἰς τὸ T 2 λαμβ. ὡς om. K post ἐπειδὴ add. δὲ KT 4 εἰ δὲ—δικαιώτηρια om. V 5 δικαζόμενον] δικάζον (bis) T καὶ (ante ὁ δικάζων) om. KT 6 ἔστι καὶ προνοητὴς—δικαστής (8) om. V 7 ὡμολόγηται T πάλιν om. T 11. 12 καὶ ταύτας τὰς ἀναλ.] τὴν ἀναλυτικὴν T 14 καὶ ἑκάστῃ K νοεῖται] θεωρεῖται KT καὶ ἀνάλ. ἔστιν ἐκεῖ colloc. KT 16 πολὺ KT ἐδίδαξε] ἐδήλωσε KT 17 ὡς αὐτῆς] ὡσαύτως V 18 ὁ om. V 22 ἐπεὶ KT 25 χρησίμου V ἐδείχθη] cf. p. 101,16 26 καὶ διὰ τοῦτο scripsi: διὰ τοῦτο καὶ libri τὸ om. V ἀντ' αὐτοῦ om. T ἐτάξαμεν V 27 οὐ δύναται T 27. 28 χρήσιμον scripsi: ὄνομα libri 30 ὄνομα (alterum) om. KV 32 pr. δέ om. KT μὲν om. KT

Digitized by Google

οὐσιώδεις ἀναγκαῖαί εἰσιν εἰς ὁρισμοὺς καὶ εἰς ἀποδείξεις, αἱ δὲ ἐπουσιώδεις χρήσιμοι, ἐπειδὴ αἱ ὑπογραφαὶ ἐκ τῶν ἐπουσιωδῶν προέρχονται. ἀφορῶν οὖν πρὸς τὰς οὐσιώδεις φωνὰς εἶπεν ἀναγκαίου, ἀφορῶν δὲ πρὸς τὰς ἐπουσιώδεις εἶπε χρησίμης. ἐν οἷς καὶ ἡ παροῦσα πρᾶξις.

5 Πρᾶξις γ'.

p. 1,7 Σύντομόν σοι παράδοσιν ποιούμενος.

Ἐντεῦθεν τὸν τρόπον τῆς διδασκαλίας διδάσκει ὁ Πορφύριος· φησὶ γὰρ ὅτι δεινοῖς θεωρήμασιν οὐ βούλομαι ὁμιλεῖν· ἐκ τούτων γὰρ ἀσάφειά τις γίνεται. ἐπειδὴ δὲ ἐμνήσθημεν ἀσαφείας, φέρε διδάξωμεν πόθεν ἡ ἀσάφεια
10 τίκτεται. γίνεται τοίνυν ἡ ἀσάφεια ἢ ἀπὸ τῆς λέξεως ἢ ἀπὸ τῶν θεωρημάτων. καὶ ἀπὸ μὲν θεωρημάτων, ὡς ἔχει τὰ Ἡρακλείτεια· ταῦτα γὰρ βαθέα καὶ δεινὰ ὑπάρχει· περὶ γὰρ τῶν συγγραμμάτων Ἡρακλείτου εἴρηται δεῖσθαι βαθέος κολυμβητοῦ. ἀπὸ δὲ λέξεως γίνεται διττῶς ἡ ἀσάφεια· ἢ γὰρ διὰ τὸ μῆκος τῆς φράσεως γίνεται ἀσάφεια, ὡς ἔχει τὰ Γαλήνεια (κἂν
15 γὰρ εὐφραδῆ εἰσιν, ἀλλ' οὖν διὰ τὸ μῆκος ἀσαφῆ εἰσιν), ἢ διὰ τὴν ποιότητα τῆς λέξεως, ὡς ἔχει τὰ Ἀριστογένεια· οὗτος γὰρ 'καὶ ἡδὺν πόνον καὶ ἐνσεσαγμένον' φησί, ποῖος δὲ πόνος ἡδὺς καὶ ἐνσεσαγμένος οὐκ οἴδαμεν. τί δαὶ ἀπὸ πολλῶν τοῦτο δεικνύειν ἐπιχειροῦμεν ἡμῶν εὐπορούντων τοῦτο αὐτὸ ἀπὸ τῶν ἀρχηγῶν καὶ προστατῶν τῆς φιλοσοφίας δεῖξαι, Πλάτωνός τε καὶ
20 Ἀριστοτέλους; | τούτων γὰρ ὁ μὲν εἰς τὴν ἀσάφειαν διὰ τῶν φράσεων 172r ποιεῖν ἐπετήδευσεν, ὁ δὲ ἕτερος διὰ τῶν θεωρημάτων· τὰ μὲν γὰρ Ἀριστοτελικὰ θεωρήματα εὐχερῆ εἰσιν, ἡ δὲ φράσις δύσκολος. ἀμέλει εἰ νοήσεις τί ἐστιν ἐντελέχεια καὶ ποσὸν καὶ δύναμις, ἡδέα καὶ εὐχερῆ φαίνεταί σοι τὰ λεγόμενα· ὥστε οὖν ἡ φράσις ἐστὶ δυσχερής. τὰ δὲ Πλατωνικὰ θεωρή-
25 ματα πάνυ τι δύσκολά εἰσι καὶ δυσχερῆ καὶ ἁπλῶς εἰπεῖν πάσῃ δόξῃ σχεδὸν ἑπόμενα (ὅτι δέ ἐστι τοῦτο ἀληθές, σαφὲς ἐκ τοῦ δύνασθαι ἑκάστην ἐξήγησιν ἁρμόζειν αὐτὰ πρὸς ἃ βούλεται), ἡ δὲ φράσις εὐχερὴς καὶ ὁμαλὴ καὶ ἁπλῶς εἰπεῖν Πλατωνική.

---

1 εἰς (ante ἀποδ.) om. KT 2 ἐκ τῶν ἐπ. αἱ ὑπογρ. colloc. KT 3 τὰς (ante οὐσ.) om. KT πρὸς (alterum)] εἰς KT 4 χρησίμης scripsi: χρησίμου libri (cf. p. 104,25) ἐν οἷς—πρᾶξις] ταῦτα ἔχει ἡ τετάρτη πρᾶξις V: om. T 5 πρᾶξις γ' K: πρᾶξις β' V (cf. p. 99,30 not.): om. T 8 ὅτι om. V τις om. V 9 δὲ om. V φέρε που V διδάξομεν V 11 τῶν θεωρ. V Ἡρακλείτου Brand. 12 ὑπάρχοι V εἴρηται] a Socrate, si fides est Diog. Laert. II, 22. IX, 12 13 κολυβητοῦ V 13. 14 ἢ γὰρ — φράσεως in mrg. suppl. K 14 γίνεται ἀσάφεια om. K κἂν] καὶ V 15 εἰσιν (post ἀσαφ.) om. V 16 Ἀριστογένεια] ἀριστοτένεια V (cf. Suid. s. v. Ἀριστογένης) ἡδύπονον KT 17 δαὶ] δὲ TV 18 ἀπὸ πολλῶν] ἀπ' ἄλλων V ἐπιχειρῶμεν V² 19 τε] φημι KT 20 εἰς om. V 21 ἐπετήδευεν V 22 ἀμέλει] ἃ μὲν KT 23 ἐνδελέχεια V 25. 26 πάσης δόξης σχ. ἐχόμενα KT 26 ἑκάστη ἐξηγήσει KT ὁμαλὴς Brand.

Digitized by Google

Ἐπειδὴ δὲ οὐχ οἱ τυχόντες ἄνδρες ἀσάφειαν ποιεῖν ἐν τοῖς ἰδίοις συγγράμμασιν ἐπετήδευον, φέρε μάθωμεν τίνος χάριν τῆς ἀσαφείας αὐτοῖς μελέτη γέγονεν· οὔτε γὰρ ὁ θεὸς οὔτε ἡ φύσις οὔτε ἔμφρων ἀνὴρ μάτην τι ἐργάζεται. εἰ οὖν καὶ ἔμφρονες ἄνδρες τοῦτο ἐπετήδευον ἐργάζεσθαι, σαφὲς ὅτι πάντως διὰ τὶ τοῦτο ἐπετήδευον· οὕτω γὰρ καὶ ὁ Ὅμηρος διὰ μύθων τὴν ἰδίαν φιλοσοφίαν ἐδίδαξε· τούτου δὲ πρὸς τὴν φράσιν προσέχων τις οὐ δύναται τὰ βάθη τῆς διανοίας καταλαβεῖν· ἄλλα γὰρ τὰ φρασθέντα καὶ ἄλλα τὰ μεθερμηνευόμενα κατὰ ἀλληγορίαν. περὶ τούτου δὲ Ἀπολλώνιος ὁ Τυανεὺς ἔφη 'ὁ πάντα εἰπὼν καὶ πάντα σιγήσας'. διὰ τοῦτο γινώσκων ὁ Πλάτων τὸ βάθος τῶν θεωρημάτων ποικίλον παρεκελεύετο μὴ ἀναγινώσκειν τοὺς νέους τὸν Ὅμηρον, ἵνα μὴ τῇ φράσει προσέχοντες οἰηθῶσι εἶναι τὸν νοῦν κατὰ τὴν φράσιν καὶ οὕτως ἐπιμείνωσιν ἔχοντες· ἀγαπᾷ γὰρ τῶν νέων ἡ ἀκοὴ σώζειν τῶν οἰκείων διδασκάλων τὴν φωνήν· νομίζει γὰρ ἀληθῆ λέγειν αὐτὸν ἄνδρα θεὸν τρῶσαι, καὶ πολλάκις τοῦτο οὕτως ἔχειν οἰόμενος ταῦτα διαπράξασθαι βουληθείη. τελείοις οὖν περὶ τὴν ἀκρίβειαν τῶν θεωρημάτων καταγινομένοις ἡ Ὁμηρικὴ ποίησις πεποίηται. πεποίηται τοίνυν ἡ ἀσάφεια τῶν θεωρημάτων καὶ τῆς λέξεως, ἵνα τοὺς νόθους διακρίνῃ ἐκ τῶν γνησίων· ἄτοπον γάρ, εἰ τὰ ἄλογα ζῷα τὰ γνήσια γεννήματα διακρίνειν σπεύδει ἐκ τῶν νόθων, ὁ δὲ ἄνθρωπος οὐ ταὐτόν τι χαίρων ποιήσει ἔχων τὸν λόγον, ᾧ ῥυθμίζεται ἀνθρώπου φύσις· ὁ γοῦν ἀετὸς τὰ ἴδια τέκνα μαθεῖν σπεύδων εἰ γνήσιά εἰσιν ἀνταυγάζειν πρὸς τὴν ἀκτῖνα τοῦ ἡλίου ποιεῖ, καὶ εἰ μὲν γνήσια ᾖ, ἀκινήτοις ὀφθαλμοῖς δέχεται τὰς βολὰς τῶν ἀκτίνων, εἰ δὲ νόθα, οὐκ ἐνατενίζειν πρὸς τὴν ἔκλαμψιν τῶν ἀκτίνων οἷά τέ ἐστι, τὸ νόθον ἐκ τούτου ἐμφαίνοντα. τούτου οὖν χάριν οἱ παλαιοὶ τοὺς γνησίους βουλόμενοι ἐκ τῶν νόθων διακρίνειν ἀσάφειάν τινα ἐποίουν, ἵνα εἰ μέν τις γνήσιος ᾖ, | τὴν ἀσάφειαν τῶν θεωρημάτων 172v ἤτοι τῆς λέξεως μὴ εὐλαβούμενος ἑαυτὸν ἀπαγγέλλῃ γνήσιον εἶναι καὶ δι' ἔρωτα τῶν λόγων κόπον καὶ πόνον φέρῃ (ὁ γὰρ γνήσιος ὅσον ὁρᾷ αὐξανομένην ἀσάφειαν, τοσοῦτον σπουδαίως καθοπλίζεται, ἵνα τὸ ξένον καὶ δυσχερὲς κατορθωσάμενος μέγιστος ἐν λόγοις ὀφθείη), εἰ δὲ νόθος εἴη, εὐθέως τὴν ἀσάφειαν ὁρῶν τὴν ἀπαλλαγὴν εὐκταίαν ἡγήσηται, ἔρωτα πρὸς τοὺς

---

1 ἐπεὶ KT 2 ἐπετήδευσαν T μάθωμεν] ἴδωμεν V 3 ὁ om. KT ἡ om. KT ἀνὴρ om. V 4 γοῦν T καὶ om. K τοῦτο] ταῦτα V 5 ἐπετήδευον] ἐποίησαν V ὁ om. V 7 καταλ. τῆς διαν. colloc. KT 8 Ἀπολλ.] cf. Zelleri Ph. Gr. V³ p. 148 9 ἔφη] εἶπεν KT σιωπήσας V 10 ὁ Πλάτων] cf. Rei publ. X, 3 p. 598 D sq. παρεκελεύετο—οἰηθῶσι (11) om. V 11 τοὺς νέους in ras. K οἰηθήσονται T 12 τὸν νοῦν εἶναι colloc. KT 14 νομίζει—βουληθείη (15) deleas an γάρ ⟨τις⟩? 17 τῶν λέξεων K 19 γεννήματα] γενήματα V: om. KT 20 τι om. TV χαίρων scripsi: χαίρειν T: χαίρει V: om. K ποιήσειν V 21 ἀνταυγάζειν post ἡλίου colloc. T 22 ᾖ] εἴη KT 23 ἐνατενίζει TV 24 εἰσι V τῶν νόθων T τούτων T ἐμφαίνονται T 25 διακρίνειν ἐκ τῶν ν. colloc. K διακρίνειν] κατανοῆσαι V 27 ἀπαγγέλῃ T: ἀπαγγέλει V 28 τῶν om. KT κόπον K φέρει V 31 ἡγήσεται K ἔρωτα—ἡγήσεται (p. 107,2) om. KT

Digitized by Google

λόγους οὐδένα ἔχων, οὗ τὴν ἀπουσίαν καὶ παρουσίαν ὁ † βίος τὴν αὐτὴν ἡγήσεται.

Ἀλλὰ μὴν καὶ τῶν τοιούτων ἥψατο Πυθαγόρας· οὗτος γὰρ μαθεῖν βουλόμενος τοὺς γνησίως καὶ νόθως ἔχοντας πρὸς τὸν ἑαυτῶν διδάσκαλον τοὺς νέους ἀεὶ ἠρώτα ποῖα ἂν ἴδοιεν ἐνύπνια, γινώσκων ἀπὸ τῶν μεθ' ἡμέραν ἐνθυμήσεων καὶ κινήσεων γίνεσθαι τὰς νυκτερινὰς φαντασίας· εἴ τι γὰρ προῄρηται ἡ ψυχή, τοῦτο καὶ ἠρεμοῦντος τοῦ σώματος φαντάζεται. ἔλεγεν οὖν ὅτι εἰ γνησίως τις ἔχει πρὸς τὰ ἀναγνώσματα, δηλοῖ ἡ νυκτερινὴ φαντασία ἄγγελος οὖσα τῶν μεθ' ἡμέραν βουλευμάτων. Πλάτων δὲ τὸ τοιοῦτον γνῶναι βουλόμενος οὐ μόνον δι' ἀσαφείας τῶν θεωρημάτων ἀλλὰ καὶ διὰ συμποσίων τὴν πεῖραν ἐποιεῖτο, γινώσκων τότε τὸν ἐρωτώμενον τὸ ἀληθὲς ἐκφαίνειν, ὅταν ὁ οἶνος ἀπαλύνῃ τὴν καρδίαν καὶ πρὸς τὸ ψεῦδος κινεῖσθαι νωχαλὴν ἀπεργάσηται. ποῖον δὲ τούτων ἀκριβῆ τὴν ἀλήθειαν θηρᾶν ὑπονοήσεις; Πλάτωνα προδήλως, ὅτι εἰ μὲν ἀνοίκειον καὶ ἀλλότριον τῆς φιλοσοφίας ὑπάρχει τὸ συμποσίοις ἐμβυθίζεσθαι τὴν ψυχήν, ἀλλὰ ὁ οἶνος τὴν ἀλήθειαν τίκτει, ὅταν τὴν καρδίαν καὶ τὴν διάνοιαν ἀπαλύνῃ· τὰ γοῦν ἐνύπνια οὐ πάντως ἐκ τῶν νέων οὕτως ἀπαγγέλλονται, ὡς καὶ ὤφθησαν· πολλάκις γὰρ διά τινα λήθην ἢ πλέον λέγουσιν ἢ ἔλαττον ἢ τὰ πολλὰ ψεύδονται ἢ ἀλλάσσουσιν. ἐφ' οἷς ἡ παροῦσα θεωρία.

p. 1,7 Σύντομόν σοι παράδοσιν ποιούμενος.

Ὁρᾷς πῶς τὴν σαφήνειαν πανταχοῦ θέλει φυλάξαι· ὧδε γὰρ λέγων σύντομον ἐδήλωσεν ὅτι οὐ ποιεῖ ἀσάφειαν διὰ μῆκος φράσεως.

p. 1,7 Πειράσομαι.

Τὸ πειράσομαι αἰτιῶνται· τοῦτο γὰρ ἀλλότριον φιλοσόφου ὑπάρχει, τὸ ἐνδοιαστικῶς λέγειν τι. ἔχει δὲ ἀπολογίαν ὅτι μετριάζων τοῦτο λέγει, ὅπερ μᾶλλον πρέπει φιλοσόφῳ, ἢ ὅτι ὁ Χρυσαόριος μᾶλλον στρατηγίαις ἤπερ λόγοις σχολάζων οὐκ ἦν λογικὸς πάνυ, καὶ διὰ τοῦτο εἶπε πειράσομαι ἀντὶ τοῦ πεῖραν ποιήσομαι πρὸς τὴν σὴν φύσιν.

---

1 βίος] an μιαρός? 3 τὸ τοιοῦτον KT πυθαγόρου KT (cf. El. p. 126,3) 4 ἑαυτῶν] αὐτῶν T 5 ἴδοι V 6. 7 προῄρηται] προείρηται T 7. 8 ἔλεγε γοῦν T 8 post εἰ add. τι V 9 Πλάτων] cf. El. p. 126,10 9. 10 γνῶναι τὸ τοιοῦτον colloc. KT 12 ὅταν] ὅτε V ὁ om. V ἀπαλύνει V 13 νωχελὴν TV: νωχελῆ Braud. ἀπεργάσεται V ποῖον δὲ τούτων] ποιῶν δὲ τοῦτο T: ποιοῦντα δὲ τοῦτο K ἀκριβῶς T 14 ὅτι εἰ μὲν scripsi: εἰ μὲν ὅτι KT: εἰ μὴ ὅτι V 15 τῆς om. V ἐμμυτίζεσθαι V ἀλλὰ ὁ] ὁ γὰρ V 17 ἀπαγγέλονται TV ὤφθη V 19 ἐφ' οἷς ἡ παροῦσα θεωρία om. T 20 post ποιούμενος add. πειράσομαι (πειράσομαι v. 23 om.) K 21 τὴν ἀσάφ. πῶς colloc. T 22 σύντομον om. V ὅτι οὐ] ὅπου V ἐκφράσεως V 24 τὸ πειράσομαι om. T τοῦτο αἰτιῶνται, καὶ γὰρ T ὑπάρχει φιλ. colloc. KT 25 ἐνδυαστικῶς V 26 μᾶλλον ὁ χρ. colloc. V στρατ. μᾶλλον colloc. T 27 ἤπερ] εἴπερ V

Digitized by Google

p. 1,7 Ἐν εἰσαγωγῆς τρόπῳ.

Καὶ ὧδε τὴν ἀσάφειαν φεύγει· ἐν γὰρ τῷ λέγειν ἐν εἰσαγωγῆς τρόπῳ ἔδειξεν ὅτι τὴν ποιότητα τῆς λέξεως ἄγνωστον οὐ ποιεῖ ὥσπερ τὸ ἐνσεσαγμένον· αἱ γὰρ εἰσαγωγαὶ δυσχερεῖς λέξεις οὐ θέλουσιν ἔχειν.

5 p. 1,8 Τὰ παρὰ τοῖς πρεσβυτέροις ἐπελθεῖν.

Τὰ παρακολουθήσαντα τοῖς φιλοσόφοις· ἐφυλάξατο | γὰρ τὸ μὴ οἰκειο- 173r
ποιεῖσθαι τὰ ἀλλότρια. λέγει οὖν ὅτι οὐκ ἐμὰ λέγω, ἀλλ' ἅπερ ὠφελήθην παρὰ τῶν πρεσβυτέρων, ταῦτα λέγω.

p. 1,8 Τῶν μὲν βαθυτέρων ἀπεχόμενος ζητημάτων.

10 Ὁμοίως καὶ ὧδε τὴν ἀσάφειαν φεύγει· φησὶ γὰρ ὅτι τῶν δεινῶν καὶ ὑψηλῶν ζητημάτων ἀπέχομαι.

p. 1,9 Τῶν δὲ ἁπλουστέρων συμμέτρως στοχαζόμενος.

Τὸ στοχαζόμενος πάλιν αἰτιῶνται· οὐ δεῖ γὰρ ἐπ' ἀμφιβόλῳ λέγειν τὸν φιλόσοφον. τοῦτο δὲ ἔχει ἀπολογίαν ὁμοίαν τῷ πρώτῳ, ἐπειδὴ μετριά-
15 ζειν βούλεται.

Πρᾶξις δ'.

p. 1,9 Αὐτίκα.

Κατὰ τὸ οἰκεῖον ἐπάγγελμα βαδίζων ὁ Πορφύριος πανταχοῦ τὴν σαφήνειαν αὐτάδελφον θυγατέρα τοῦ οἰκείου συγγράμματος παρίστησι· φησὶ γὰρ
20 ὅτι ἀσαφῶς τι οὐ βούλομαι λέγειν διὰ τὴν πρὸς τὴν νεολαίαν φειδώ τε καὶ συμπάθειαν. ἵνα δὲ μηδεὶς εἴπῃ 'πῶς γὰρ ἠδύνατο ποιῆσαί τι σαφὲς ἀσαφές; ἔστι γάρ τινα ὁμολογούμενα ἅτινα ἀσάφειαν παντελῶς οὐκ ἔχει, ὡς τὸ δὶς δύο τέσσαρα καὶ ὁ θεὸς ἀγαθός ἐστι', λέγει ὅτι ἠδυνάμην βαθέως αὐτὰ ζητῆσαι καὶ δεινῶς εἰ ἐν ἐπινοίᾳ ἐστὶν ἢ ὑφέστηκε. τί δέ ἐστιν 'ἐν
25 ἐπινοίᾳ ἐστὶν ἢ ὑφέστηκεν'; ἐν ἐπινοίᾳ ἐστὶν οὗπερ γένεσις μὲν ἡ ἡμετέρα ἐπίνοια, φθορὰ δὲ ἡ ἡμετέρα λήθη· οἷον ἐννοοῦμεν εἶναι τραγέλαφον ὃν ἡ

---

2 τὴν ἀσάφειαν] τὸ ἀσαφὲς KT 4 τῆς λέξεως om. K 6 τὰ] τὸ K γὰρ om. KT 6. 7 οἰκειοποιεῖσθαι] οἰκειώσασθαι K 8 παρὰ] ἀπὸ V 14 ἀπολ. ἔχει colloc. V 16 πρᾶξις σὺν θεῷ γ' V (cf. p. 99,29 not.): om. T 18 πορφύριος] φιλόσοφος KT 19 αὐτάδελφον om. V (αὐτα erasum) 20 τι post βουλ. colloc. KT 21 ἐδύνατο V (const.) 21. 22 τὸ σαφὲς ἀσαφὲς ποιῆσαι KT 22 οὐκ om. V 24 εἰ] ἢ KT ψιλῇ ἐπινοία KT 24. 25 τί δέ ἐστι ψιλὴ ἐπίνοια (ψιλῇ ἐπινοία K) ἢ ὑφέστηκε KT 25 ἐν ἐπινοίᾳ] ψιλὴ ἐπίνοια KT 26 φθορὰ δὲ] καὶ φθορὰ V

Digitized by Google

φύσις οὐκ ἐδημιούργησεν, ἀλλ' ἡ ἡμετέρα ἐπίνοια τὴν φύσιν τυραννήσασα καθ' ἑαυτὴν ἐπενόησέ τι ἐκ τράγου καὶ ἐλάφου, ὅπερ ἡ φύσις ἠγνόησε. τοῦτο δὲ σώζει ὅσον περὶ αὐτοῦ ἐνθυμεῖται καὶ λογίζεται, ἀπόλλυσι δὲ αὐτὸ ὅταν ἐπιλάθηται. ὥστε γένεσις μὲν ἡ ἡμετέρα ἐπίνοια φθορὰ δὲ ἡ ἡμετέρα
5 λήθη. ὑφίστασθαι δέ φαμεν ὅπερ ἡ φύσις δημιουργεῖ καὶ γινώσκει, ὅπερ ἡ ἡμετέρα διάνοια οὔτε σώζει περὶ αὐτοῦ λογιζομένη οὔτε φθείρει ἐπιλανθανομένη αὐτοῦ, οἷον ὁ ἄνθρωπος καὶ ὁ κύων τῆς φύσεως δημιουργήματά ἐστι· περὶ τούτων κἂν ἐνθυμηθῇ τις κἄν τε μή, ἡ οὐσία οὐ φθείρεται οὔτε σώζεται. καλῶς οὖν ἔλεγεν ὅτι οὐ βούλομαι ζητῆσαι εἰ ἔστι γένος ἢ δια-
10 φορά, ἵνα μὴ ποικίλη καὶ δεινὴ ὀφθῇ τούτων ἡ διδασκαλία. τινὲς δὲ λέγουσι· τί γάρ; ἀμφεβάλλετο ὅλως τοῦτο, εἰ ἔστι γένος ἢ διαφορά, ὅτι λέγει ὅτι ἠδυνάμην ποιῆσαι αὐτὴν ποικίλην, ζητῶν εἴ ἐστιν ἢ μὴ ἔστιν; καί φαμεν ὅτι καὶ ἀμφεβάλλετο παρὰ τοῖς παλαιοῖς, εἰ ἔστι γένος καὶ εἶδος· ἔλεγε γὰρ ὁ Ἀντισθένης μὴ εἶναι γένος μήτε εἶδος· φησὶ γὰρ 'ἄνθρωπον ὁρῶ, ἀνθρω-
15 πότητα δὲ οὐχ ὁρῶ, ἵππον ὁρῶ, ἱππότητα δὲ οὐχ ὁρῶ, ὥστε οὖν οὐκ ἔστι τὸ καθόλου'. ληρῶδες δὲ τὸ τοιοῦτον· οὔτε γὰρ πάντα τὰ ὄντα ὑποπίπτει ταῖς αἰσθήσεσιν. τούτῳ δὲ τῷ λόγῳ τὰ πολλὰ τῶν | ὄντων οὐκ ἔστι· τὰ γὰρ 173v
θεῖα αἰσθήσει οὐχ ὑποπίπτει, καὶ ὅμως ἔστιν· ἀλλὰ μὴν οὔτε λογικὴ οὔτε ἄλογος ψυχὴ οὔτε φυσικὴ ἔστι, καθὸ αἰσθήσει οὐχ ὑποπίπτει. ἄλλως τε
20 δὲ αἰσθήσεσιν οὐ δεῖ καταπιστεύειν· ἰδοὺ γὰρ ὁ ἥλιος ποδιαῖος ἡμῖν φαίνεται τῶν πραγμάτων δεικνύντων αὐτὸν ἑκατονταεβδομηκονταπλασίονα τῆς γῆς ὑπάρχειν. καὶ τῶν πραγμάτων δεικνύντων ἡμῖν τὴν ἐν ὕδασι κώπην μὴ κεκλάσθαι, ἡ ὅρασις λέγει αὐτὴν μὴ εἶναι ὑγιῆ. πάλιν ἐν νηὶ καθημένων ἡμῶν καὶ τῶν παρ' αἰγιαλὸν δοκούντων ἡμῖν κινεῖσθαι, τὰ πράγματα
25 ψεῦδος εἶναι τὸ τοιοῦτον ἐπαγγέλλονται. δείξαντες οὖν ἀδίκως τὸν Ἀντισθένην τῶν καθόλου ἀναίρεσιν ποιησάμενον φέρε κατασκευάσωμεν πῶς ἔστι, πρῶτον δι' ὁρισμοῦ αὐτὰ παραδόντες. καθόλου τοίνυν ἐστὶ τὸ ἓν τῷ ἀριθμῷ κατ' εἶδος, ὑπὸ πολλῶν δὲ μετεχόμενον. ἓν τῷ ἀριθμῷ εἴπομεν, καθὸ ἕν τί ἐστιν. ἐπειδὴ δὲ καὶ ἡ ὕλη ἕν τί ἐστι, προσεθήκαμεν τὸ κατ'
30 εἶδος· κἂν γὰρ ἕν τι ὑπάρχῃ ἡ ὕλη, ἀλλ' οὐ κατ' εἶδος. ὅτι δὲ οὐ καθόλου ἐστὶν οὐδὲ μερικόν, ἐντελῶς εἰσόμεθα ἐν φυσικοῖς λόγοις γινόμενοι. ὑπὸ πολλῶν δὲ μετεχόμενον, ἐπειδὴ ἓν ὑπάρχον ἐν πολλοῖς θεωρεῖται. πῶς δὲ ἕν τι ὑπάρχον ἐν πολλοῖς θεωρεῖται, εἰσόμεθα· τὰ ἄτομα κοινωνεῖ

---

3 ἀπόλλυσι] ἀπόλει V 4 φθορὰ δὲ] καὶ φθορὰ TV 5 ὑφίστασθαι] ὑφεστώς KT φάμεν] μὲν V 6. 7 ἐπιλανθ. αὐτοῦ] αὐτὸ ἐπιλανθ. V 7 καὶ (ante ὁ κύων) om. V 8 εἰσι KT ἡ om. V 9 οὔτε σώζεται om. V οὖν om. K 11 ἀμφεβάλλετο] ἀμφέβαλέ τις V τοῦτο ὅλως colloc. T ὅτι (post λέγει) om. V 13 ὅτι om. KT ἀμφεβάλετο V 14 Ἀντισθ.] cf. El. p. 47,14 16 δὲ om. K an οὐδὲ? 18 καὶ ὅμως—ὑποπίπτει (19) om. K 19 ψυχὴ οὔτε ἄλογος colloc. T 20 δὲ om. V 23 μὴ εἶναι αὐτὴν coll. KT ἐν νηὶ—ἡμῖν (24)] τὸν (sic) παρ' αἰγιαλὸν δοκούντων ἡμῶν ἐν πλοίῳ καθιδρυμένων V 25 ἐπαγγέλλεται V οὖν om. V τὸν ἀντισθ. ἀδίκως colloc. K 26 καὶ πῶς V 27 αὐτὰ Par. 2089: αὐτὸ KTV 28 εἴπωμεν V 29 ἡ om. V τὸ om. KT 30 κἂν—εἶδος om. V οὐ καθόλου] οὐδὲ καθολικόν V 31 εἰσόμεθα σὺν θεῷ V 33 τι om. KT

Digitized by Google

πάντως ἢ κατὰ τὸ αὐτὸ ἢ κατὰ τὸ ὅμοιον· οἷον ὁ Σωκράτης καὶ ὁ Ἀλκιβιάδης καὶ ὁ Πλάτων πάντως κατά τι κοινωνοῦσι καὶ εἰ μὲν κατὰ τὸ αὐτὸ κοινωνοῦσιν, αὐτόθεν ἔχομεν τὸ ζητούμενον (τὸ αὐτὸ γὰρ ἕν ἐστιν, ὥστε τὸ εἶδος ἕν τί ἐστιν ὑπὸ πολλῶν δὲ μετεχόμενον), εἰ δὲ κατὰ τὸ ὅμοιον κοινωνοῦσιν, ἢ κατὰ ἕν τι κοινωνοῦσιν ἢ κατὰ πολλά. καὶ εἰ μὲν κατὰ ἕν τι, τὸ ζητούμενον ἔχομεν, εἰ δὲ κατὰ πολλά, ζητοῦμεν πάλιν καὶ τὰ πολλὰ κατά τί κοινωνοῦσι, κατὰ πολλὰ ἢ κατὰ ἕν τι. καὶ εἰ εἴπῃς κατὰ πολλά, πάλιν ἡ αὐτὴ ζήτησις μένει, ἕως οὗ εἰς ἕν τι λήξῃ τὰ πολλὰ κατὰ τὴν κοινωνίαν, ἢ ἐπ' ἄπειρόν τι χωρεῖ ἡ ζήτησις· κατὰ γὰρ ἕν τι κοινωνεῖ τὰ πολλά. καλῶς οὖν ἔχει ὁ ὁρισμὸς ὁ λέγων τὸ καθόλου ἓν τῷ ἀριθμῷ κατ' εἶδος ὑπὸ πολλῶν δὲ μετεχόμενον.

Μηδεὶς δὲ ὑπονοησάτω τὸν φιλόσοφον τῷ κατὰ παράλειψιν σχήματι χρήσασθαι· τούτῳ γὰρ κέχρηνται οἱ ῥήτορες οἱ δεινοὶ ὄντες, τὸ τοιοῦτον δὲ σιωπῆς μὲν ἐπάγγελμα ἐμφαίνει, λόγου δὲ μηχάνημα· δοκῶν γάρ τις σιωπᾶν διὰ μεθόδου τὰ ὑπονοούμενα σιωπᾶσθαι λέγει οἷον 'ἐῶ λέγειν ὅτι κλέπτης εἶ', 'οὐ θέλω δὲ εἰπεῖν ὅτι ἱερόσυλος εἶ', καὶ τὰ τοιαῦτα. τοιούτῳ δὲ οὐκ ἐχρήσατο ὁ φιλόσοφος, ἐπεὶ εἰ ἔλεγεν 'ἐῶ εἰπεῖν', τινὲς ἔλεγον αὐτὰ μὴ εἶναι· ἐδόκει γὰρ ἂν αὐτὰ λέγειν σιωπὴν ἐπαγγειλάμενος, αὐτὸς δέ φησιν, κἂν εἰσὶν ⟨ἐν⟩ ἐπινοίᾳ κἂν ὑφέστηκε, περὶ τούτου διαλαμβάνειν οὐ βούλομαι.

Πρᾶξις ε'.

Πηγὴν σαφοῦς διδασκαλίας τὸ σύγγραμμα ἔδειξας, ὦ Πορφύριε, σαφήνειαν ῥέουσαν πανταχοῦ τῆς νεολαίας φειδόμενος· λέγεις γὰρ δύνασθαί σε εἴτε ἐν ψιλαῖς ἐπινοίαις κεῖται τὰ προκείμενα εἴτε ὑφέστηκε ζητῆσαι· τῶν γὰρ εἶναι λεγομένων τὰ μὲν ἐν ψιλαῖς ἐπινοίαις κεῖται τὰ δὲ ἐν ἰδίαις ὑποστάσεσι | συνέστηκε, καὶ τῶν ἐν ἰδίαις ὑποστάσεσι συνισταμένων τὰ μὲν 174r σώματά εἰσι τὰ δὲ ἀσώματα, καὶ τῶν ἀσωμάτων τὰ μὲν καθ' ἑαυτὰ ὑφίσταται ἔχοντα οἰκείαν ὑπόστασιν, ὡς θεὸς νοῦς ψυχή, τὰ δὲ ἐν ὕλῃ, καὶ τῶν ὑφισταμένων ἐν τῇ ὕλῃ τὰ μὲν χωριστά εἰσι τῆς ὕλης, ὡς παρὰ Πλάτωνι αἱ ἰδέαι, τὰ δὲ ἀχώριστα τῆς ὕλης, ὡς τὰ φυσικὰ εἴδη οἷον θερμότης ψυχρότης, τὰ δὲ πῇ μὲν χωριστὰ πῇ δὲ ἀχώριστα, ὡς τὰ σχήματα καὶ τὰ μαθηματικά. λέγεις οὖν δύνασθαί σε εἴτε ἐν ψιλαῖς ἐπινοίαις ἐστὶ τὰ προ-

---

1 ἢ κατὰ τὸ αὐτὸ om. V 2 ὁ (ante Πλάτων) om. V καὶ εἰ μὲν—ὅμοιον κοινωνοῦσιν (5) Paris. 2089: om. KTV 5 καὶ om. V 6 τι om. V ζητοῦμεν—κατὰ πολλὰ (7) om. V 7 εἴποις K: εἴπεις T 8 λήξειε KT 9 τι (post ἄπειρον) om. KT 11. 12 δὲ om. V (bis) 12 παράληψιν V¹ 13 οἱ ῥήτορες κέχρ. colloc. KT alt. οἱ Paris. 2089: ὡς KTV τῷ τοιούτῳ V 15 λέγειν om. KV 16 εἰ (post κλέπτης) om. T τοιούτῳ—ἔλεγον αὐτὰ (18) Paris. 2089: om. KTV 18. 19 αὐτὸς δέ φησι] φησὶν οὖν KT 19 ἐν addidi (cf. p. 108,24) διαλαβεῖν KT 21 πρᾶξις ε' om. T 23 πανταχῇ ῥέουσαν KT 24 κεῖται] ἐστι KT 28 οἰκείαν] ἰδίαν T 29 τῶν ἐν ὕλῃ ὑφιστ. Urb. 35 (fort. rectius) παρὰ] περὶ T 31 ψυχρότης] ὑγρότης K 32 μαθηματικά] μαθήματα KT

Digitized by Google

κείμενα εἴτε ὑφέστηκε ζητῆσαι. ἀλλὰ μὴν καὶ εἰ ὁμολογεῖται ὑφίστασθαι, λέγεις δύνασθαι πάνυ βαθέως καὶ ὑψηλῶς περὶ αὐτῶν ζητῆσαι, εἴτε ἀσώματά εἰσιν εἴτε τριχῇ διαστατά. ὅτι δὲ ἀναγκαία ἡ ζήτησις ὑπάρχει, σαφὲς ἐκ τοῦ λέγειν τινὰς πάντα τὰ ὄντα σώματα εἶναι, ὥσπερ οἱ Στωϊκοί, ἄνδρες γηγενεῖς καὶ σπαρτοὶ ἀπὸ δρυὸς καὶ πέτρης κατὰ τὴν ποίησιν· οὗτοι γὰρ οὐδὲ τῆς προσηγορίας τῆς φιλοσοφίας μετέχειν ἤμελλον, εἰ μὴ ὅτι διὰ μεγαλορρημοσύνης τῶν ὀνομάτων αὐτὴν ἐκόσμησαν· φασὶ γὰρ τὸν φιλόσοφον μόνον πλούσιον μόνον βασιλέα μόνον εὐτυχῆ. καὶ μόνον μὲν πλούσιον, καθὸ τοῖς ἑαυτοῦ ἀρκεῖται καὶ ἄλλου οὐ δέεται (τοῦτο γάρ ἐστι πλουσίου, εἰ καὶ τὰ μάλιστα καὶ τοῦτο ὁ παρὼν καιρὸς ἐνόθευσε κόρον τοῦ πορίζειν μὴ ἔχειν τοὺς πλουτοῦντας δεικνύων), μόνος δὲ βασιλεύς, καθὸ τῶν πολεμίων ἐπικρατεῖ, θυμοῦ τε καὶ ἐπιθυμίας (τοῦτο γὰρ βασιλέως ἐστὶ τεκμήριον), μόνος δὲ εὐτυχής, καθὸ τούτων ἐφίεται ἃ καὶ δύναται καὶ ταῦτα δύναται ὧν ἐφίεται· ἐφίεται γὰρ ἀρετὴν ἀεὶ προσπορίζειν. οὗτοι οὖν διχόθεν συγκεκροτημένοι τὴν μὲν γνῶσιν χαμαιπετῆ καὶ εὐτελῆ κέκτηνται λέγοντες πάντα τὰ ὄντα σώματα εἶναι, τὸ παρ' αὐτοῖς δὲ θεῖον λεπτομερὲς σῶμα διὰ πάντων διῆκον (τοῦτο δὲ τὸ παρ' αὐτοῖς ὅσιον), τὴν δὲ ζωὴν ὑπερέχουσαν.

Ἐπειδὴ δὲ τοιαύτη ζήτησις καὶ ἀμφιβολία παρὰ τοῖς παλαιοῖς γέγονεν, ⟨τῶν μὲν⟩ Ἀριστοτελικῶν καὶ Πλατωνικῶν λεγόντων τῶν ὄντων τὰ μὲν εἶναι ἀσώματα τὰ δὲ τριχῇ διαστατά, τῶν δὲ Στωϊκῶν πάντα τὰ ὄντα σώματα εἶναι λεγόντων, δῆλον ὅτι καὶ τὰ γένη καὶ τὰ εἴδη, φέρε κατὰ τὴν συνήθη διδασκαλίαν δείξωμεν τὰς προκειμένας φωνὰς ἀσωμάτους κατὰ ἓξ τοιούτους λόγους. πρῶτον τὸ σῶμα οὐδέποτε ἐν μείζονι καὶ ἐλάττονι ὡσαύτως ἔχεται, οἷον ἐν τῷ ἐλέφαντι καὶ τῷ μύρμηκι οὐ τὸ αὐτὸ μέγεθος τῆς κεφαλῆς ὁρᾶται, ἐν τῷ Αἴαντι καὶ τῷ Τυδείδῃ οὐχ ὁ αὐτὸς βραχίων ὁρᾶται· εἰ οὖν τὸ γένος καὶ τὸ εἶδος ἐν μείζονι καὶ ἐλάττονι ὡσαύτως ἔχονται, σαφὲς ὅτι ἀσώματά εἰσίν· ἐν γὰρ τῷ ἐλέφαντι καὶ τῷ μύρμηκι τὸ αὐτὸ ζῶον ὑπάρχει· οὐ γάρ φαμεν τὸν ἐλέφαντα τοῦ μύρμηκος πλέον ζῆν, οὐδὲ τὸν Αἴαντα | τοῦ Τυδέως πλέον τι ζῆν ἢ ἀνθρωπότητος πλέον ἔχειν. ἐντεῦθεν δὲ 174v ἔχομεν προσπόρισμα, ὅτι καὶ αἱ σχέσεις ἀσώματοί εἰσι. τί δέ ἐστι σχέσις; τὸ λέγειν ὅτι τὸ ἥμισυ τῶν δέκα πέντε, τὸ δίς πέντε δέκα, καὶ

---

1 ἀλλὰ μὴν om. KT ὡμολόγηται KT 2 ζητῆσαι περὶ αὐτῶν colloc. T
3 ἡ om. KT 4 Στωϊκοί] cf. El. p. 47,29 5 σπάρτιοι KT (cf. Plat. Soph. p. 247 C) κατὰ τὴν ποίησιν] Hom. τ 163 6 τῆς φιλ. post ἤμελλον colloc. K μετέχειν om. T ἔμελλον V 7 μεγαλορημ. V 8 καὶ μόνον μὲν] μόνον δὲ KV
9. 10 πλούσιον V 13 ἃ—ἐφίεται (14) om. V 16 ἅπαντα KT λεπτομερῶς V 17 alt. δὲ] γὰρ V 19 ἐγεγόνει K 20 τῶν μὲν inserui post πλατ. add. καὶ πυθαγορικῶν (sic) TV 21 alt. δὲ om. V 22 καὶ (ante τὰ γένη) om. K τὰ εἴδη καὶ τὰ γένη colloc. T post εἴδη add. σώματα ἐδόξαζον V 25. 28 τῷ (ante μύρμηκι) om. KV 26 ἐν τῷ Αἴαντι—ὁρᾶται om. KT 27 ante ἐλάττονι add. ἐν V 28 ζῶον Urb. 35: ζῆν KTV οὐδὲ—ζῆν (30) om. V 30 ἢ ἀθρωπότητα πλέον ἔχειν σωκράτην πλάτωνος V
32 ὅτι om. KT τὸ δὶς πέντε δέκα om. V καὶ om. KT

Digitized by Google

τὸ ἥμισυ τῶν ἑξήκοντα τριάκοντα, τὸ δὶς τριάκοντα ἑξήκοντα. ταῦτα δὲ καὶ τῶν πρός τί εἰσι· λέγων γὰρ ἥμισυ σημαίνεις τὸ διπλάσιον (τὸ γὰρ ἥμισυ τοῦ διπλασίου ἐστὶν ἥμισυ), καὶ λέγων διπλάσιον δηλοῖς τὸ ἥμισυ· τὸ γὰρ διπλάσιον ἡμίσεός ἐστι διπλάσιον. διὰ τί δὲ ἀσώματοι αἱ σχέσεις; ἐπειδὴ καὶ ἐν μείζονι καὶ ἐν ἐλάττονι ὡσαύτως ἔχουσι· τὸ γὰρ ἥμισυ δύναται καὶ ἐπὶ μείζονος καὶ ἐπ' ἐλάττονός τάττεσθαι, καὶ τὸ διπλάσιον ὡσαύτως· ἐπὶ γὰρ τῶν δέκα δύναται καὶ διπλάσιον καὶ ἥμισυ λέγεσθαι, ἀλλὰ καὶ ἐπὶ τῶν ἑξήκοντα ὡσαύτως. δεύτερον δὲ οὐδέποτε σῶμα ὅλον ὡς ὅλον πᾶσι μεταδίδοται (οἷον ἀπὸ χοίνικος εἰ λάβοις τι καὶ ἄλλο ὀλίγον τι, ἐν ἑκατέροις ὁ χοῖνιξ οὐ θεωρεῖται ὅλος ὡς ὅλος)· τὸ οὖν γένος καὶ τὸ εἶδος ἐν πᾶσιν ὅλα ὡς ὅλα θεωρεῖται· ἡ γὰρ ἀνθρωπότης ὅλη ὡς ὅλη ἐν ἐμοὶ θεωρεῖται καὶ τὸ ζῷον ὅλον ὡς ὅλον, ὁμοίως δὲ καὶ ἐν Σωκράτει καὶ Ἀλκιβιάδῃ καὶ Πλάτωνι· ἀσώματα ἄρα τὰ τοιαῦτα. ἔχομεν ἐντεῦθεν ὅτι καὶ ὁ προφορικὸς λόγος ἀσώματός ἐστιν· ἐν πᾶσι γὰρ ὅλος ὡς ὅλος νοεῖται, οἷον εἰ φωνήσῃ τις καὶ εἴπῃ 'Σωκράτης', πάντες ὡσαύτως ἀκούουσι τὸ 'Σωκράτης' καὶ ὅλον ὡς ὅλον ἔχουσιν· οὐ γὰρ σὺ τὸ ἥμισυ ἀκούεις καὶ ἄλλος τὸ ἥμισυ. τρίτον πᾶν σῶμα σώματι προστιθέμενον αὔξησιν ποιεῖται τοῦ δεχομένου τὴν προσθήκην (οἷον κυαθιαῖον μέτρον εἰ ἐκχύσῃς εἰς ἄλλο κυαθιαῖον, διπλάσιον γίνεται τὸ δεχόμενον)· εἰ οὖν προστιθέμενον τὸ γένος καὶ τὸ εἶδος τῷ Σωκράτει ὁμολογουμένως οὐδὲν προστίθησιν, ὁμολογουμένως ἀσώματά ἐστι. καὶ ἄλλως· πᾶν σῶμα ἢ κατ' αὔξησιν ἢ κατ' ἀλλοίωσιν ἢ κατὰ μείωσιν κινεῖται· τὰ δὲ γένη καὶ τὰ εἴδη οὐδὲ κατ' αὔξησιν οὐδὲ κατ' ἀλλοίωσιν οὐδὲ κατὰ μείωσιν κινεῖται· φανερὸν ὅτι ἀσώματά εἰσιν. ἐντεῦθεν ἔχομεν προσπόρισμα, ὅτι καὶ αἱ ποιότητες, τὸ λευκὸν καὶ τὸ μέλαν, τὸ ψυχρὸν καὶ τὸ θερμόν, ἀσώματοί εἰσιν· ἰδοὺ γὰρ προστιθέμεναι τῷ Σωκράτει καὶ τῷ Ἀλκιβιάδῃ οὐδεμίαν προσθήκην ποιοῦνται. τέταρτον οὐδέποτε ταὐτὸν σῶμα ἐν ταὐτῷ καιρῷ ἐν πᾶσι θεωρεῖται (κἂν γὰρ τὸ ὅμοιον, ἀλλ' οὖν οὐ τὸ αὐτό· οὐ γὰρ τὸ ὅμοιον ταὐτόν ἐστιν, οἷον εἰ φανείη ὀστοῦν ἐλέφαντος ἐν τῇ σῇ ὠμοπλάτῃ, οὐ ταὐτόν ἐστι καὶ τῷ ὄντι ἐν τῇ ὠμοπλάτῃ Ὀρέστου)· εἰ οὖν τὸ γένος καὶ τὸ εἶδος ἐν τῷ αὐτῷ καιρῷ ἐν πολλοῖς θεωρεῖται, ὁμολογουμένως οὐκ ἔστι σώματα. ἔχομεν ἐντεῦθεν ὅτι καὶ ἡ ἀνείδεος ὕλη ἀσώματος ὑπάρχει ἐν τῷ αὐτῷ καιρῷ ἐν

---

1 alt. τὸ om. V 2 σημαίνω V 5 καὶ (post ἐπειδὴ) om. K ἐν (ante ἐλάττονι) om. T 6 ἐπ' om. V 8 δὲ om. V σῶμα om. V 9 post οἷον add. καὶ V ἄλλο ὀλίγον τι] ἀλλὴ (sic) λήγοντι V 11 ante ἡ γὰρ add. ἡ γὰρ ἀνθρωπότης ὅλη ὡς ὅλη θεωρεῖται V 12 τῷ σωκρ. V 13 ἐνταῦθα K 14 ὁ λόγος ὁ προφ. V 14. 15 ὅλος ὡς ὅλος] ὁ λόγος ὡς ὅλον V 15 φωνήσῃ scripsi: φωνήσει libri εἴποι K 16 ὡς ὅλον Paris. 2089: om. KTV ἔχουσιν] an νοοῦσιν? 19 ἐκχύσῃς scripsi: ἐκχύσεις KTV 20 τὸ εἶδος καὶ τὸ γένος colloc. V 20. 21 οὐδὲν προστ. ὁμολ. colloc. V 21 ὡμολογημένως T εἰσι T 23 μείωσιν οὐδὲ κατ' ἀλλ. coll. KT καὶ φανερὸν T 24 ἔχ. ἐντεῦθεν colloc. V προσπορισμὸν V καὶ om. KT 25 ἀσώματα TV ἰδοὺ – ἀλκιβ. (26)] αὗται δὲ προστιθέμεναι τῷ ἀλκ. καὶ σωκρ. V 27 ταὐτῷ] αὐτῷ τῷ KV (cf. v. 30. 31) 29 ἐν τῇ σῇ ὠμοπλ. post οἷον colloc. V 30 γένος] ζῷον V 32 ἡ om. V αὐτῷ τῷ colloc. libri

Digitized by Google

πᾶσιν ὑπάρχουσα ἢ πάντα ἔχουσα. πέμπτον οὐδέποτε τὰ σώματα μεριζόμενα | τὸ ἓν εἶδος ἢ ποσὸν φυλάττει (οἷον εἰ ἔστι στατὴρ καὶ μερί- 175r
ζεται εἰς πολλά, οὐδέποτε τὸ ἓν εἶδος ἢ τὸ ποσὸν σώζει)· τὰ δὲ γένη καὶ τὰ εἴδη σώζουσι τὸ οἰκεῖον εἶδος μεριζόμενα εἰς Σωκράτην καὶ Πλάτωνα
5 καὶ τοὺς λοιπούς· ὁμολογουμένως ἀσώματά εἰσιν. ἕκτον εἰ πᾶν σῶμα ἐξ ὕλης καὶ εἴδους συνέστηκεν, ἔστι δὲ τὸ γένος καὶ τὸ εἶδος σῶμα, εὑρεθήσεται τὸ εἶδος ἐξ ὕλης καὶ εἴδους συνιστάμενον, ὅπερ ἐστὶ γελοῖον· οὐδεὶς γὰρ λέγει εἶδος ἐξ εἴδους συγκεῖσθαι. ταῦτα ἔχει ἡ θεωρία καὶ ἡ παροῦσα πρᾶξις.

10 Πρᾶξις ς'.

Ὅρα πῶς ὁ Πορφύριος φειδοῦς ἕνεκα τῶν νέων τὴν σαφήνειαν πανταχοῦ θηρεύων τὴν ἀσάφειαν ἀποβάλλεται· φησὶ γὰρ ὅτι εἰ καὶ ὑφέστηκεν ὁμολογουμένως καὶ ὑφεστῶτα ἀσώματά ἐστι τὰ προκείμενα, ἠδυνάμην πάλιν βαθέως περὶ τούτων ποιήσασθαι τὴν ζήτησιν, εἰ πρὸ πολλῶν εἰσιν ἢ ἐν
15 πολλοῖς ἢ ἐπὶ τοῖς πολλοῖς. πρὸ πολλῶν δέ ἐστι τὸ ἐν τῇ γνώσει τοῦ θεοῦ ὑπάρχον ἤτοι τὸ ἔχον τὴν αἰτίαν ἐκ τῆς τοῦ θεοῦ δημιουργίας, ἐν πολλοῖς δὲ τὸ ὑπάρχον ἐν τῇ ὕλῃ, ἐπὶ τοῖς πολλοῖς δὲ τὸ εἰς γνῶσιν τῆς ἡμετέρας διανοίας ἐρχόμενον. [σκόπει δὲ ὅτι πανταχοῦ τὸ πολλοῖς εἰρήκαμεν διὰ τὰς καθόλου· αὗται γὰρ αἱ φωναὶ καθολικαὶ οὖσαι τῶν πολλῶν δέονται.]
20 ἐπειδὴ δὲ καὶ δυσχερῆ τὰ λεγόμενα φαίνεται, φέρε παραδείγματι αὐτὰ καθυποβάλλωμεν. χρυσοῦν δακτύλιον ἀριστέως ἐκτύπωμα ἔχοντα διανόει μοι εἰς πολλοὺς κηροὺς τὴν εἰκόνα τοῦ ἀριστέως μετατιθέμενον, τινὰ δὲ ταύτας τὰς εἰκόνας θεώμενον καὶ κατὰ τὴν ἰδίαν διάνοιαν πάσας ἀναπολεῖν καὶ γινώσκειν μελετῶντα, καὶ τὸν μὲν δακτύλιον λέγε πρὸ τῶν πολλῶν (οὗτος γὰρ καὶ
25 πρὶν ἢ γένωνται πολλαὶ σφραγῖδες ἐν τῷ κηρῷ γέγονε), τοὺς δὲ τύπους τοὺς ἐν τῷ κηρῷ ἐν τοῖς πολλοῖς, τὸν δὲ ἄνθρωπον τὸν ἔχοντα ταύτας τὰς εἰκόνας ἐν τῇ ἰδίᾳ διανοίᾳ ἐπὶ τοῖς πολλοῖς· οὗτος γὰρ δικαίως ἐπὶ τοῖς πολλοῖς λέγεται, καθὸ μετὰ τὰς πολλὰς σφραγῖδας τοῦ κηροῦ ἐρχόμενος ταύτας ἐν τῷ ἰδίῳ νῷ διανοεῖται. ἴσως δὲ ἀπορήσει τις ἡμῖν λέγων ὅτι

---

1 τὰ om. V 2 οἷον εἰ] οἷον K: om. V 3 οὐδέποτε] τοίνυν KT 4 τὰ (ante εἴδη) om. T 6 συνέστηκεν—εἴδους (7) om. V 10 πρᾶξις ς' om. T
11 ante Ὅρα add. πολλῶν ἐπαίνων πρὸς τὴν σαφήνειαν ἡμῖν ὁ φιλόσοφος ἄξιος καὶ οὐ μόνον τοῦτο ἀλλ' ὡς οἶμαι καὶ τὸν βαθμὸν τούτων ὑπερεπέρασεν T: πολλῶν ἐπαίνων πρὸ τῆς σαφηνείας ὑμῖν ὁ φιλόσοφος ἄξιος φαίνεται πολλῶν ὁμολογουμένως· ὡς οἶμαι δὲ τούτων καὶ τὸν βαθμὸν ὑπερεπέρασεν V: om. K Ὅρα πῶς ὁ πορφύριος] ὅρα γὰρ πῶς πάλιν T: ὅρα γὰρ πάλιν πῶς V 13 ἀσώματα V²: σώματα KTV¹ πάλιν] ὅμως T: om. K
14 τὴν om. V εἰ Paris. 2089: ἢ KTV 17 δὲ (post ἐπὶ τοῖς π.) om. V
18. 19 σκόπει—δέονται delevi 19 τὰς] τὰ T αἱ φωναὶ om. T 20 καὶ om. K αὐτὰ] ταῦτα V 20. 21 καθυποβάλωμεν K 21 ἔχον KT
22 post πολλοὺς add. δὲ V 23 pr. καὶ om. KT 24 λέγειν K 25 πρινὴ KT καιρῷ V γέγονε] ἦν KT 26 τοῖς om. V 27 ἰδίᾳ om. T 29 νῷ] νοὶ K

Digitized by Google

ἄτοπόν ἐστι λέγειν τὰς προκειμένας φωνὰς ἐν τῇ ἡμετέρᾳ διανοίᾳ ὑπάρχειν, ἡμῶν δειξάντων ἀνωτέρω τὰ ἐν ψιλῇ ἐπινοίᾳ ἐν τῇ ἡμετέρᾳ διανοίᾳ ὑφίστασθαι. πρὸς ὃν ἐροῦμεν ὅτι διττόν ἐστι τὸ λεγόμενον· ἐκεῖ μὲν γὰρ ψιλὴν διάνοιαν ἐλέγομεν, ἥτις τὰ μὴ ἐγνωσμένα τῇ φύσει καθ' ἑαυτὴν διανοεῖται ἐξ ἐλάφου καὶ τράγου ἕν τι ποιοῦσα τὴν φύσιν βιαζομένη, ὧδε δὲ ἀκριβῆ διάνοιαν λέγω τὴν γνώσκουσαν ἀκριβῶς τῆς φύσεως τὰ δημιουργήματα.

Ἐπεὶ οὖν ἐδίδαξεν ἡμᾶς τὸ παράδειγμα τὸ λεγόμενον, φέρε καὶ τὴν περὶ τούτου δοκοῦσαν διαφωνίαν Ἀριστοτέλους καὶ Πλάτωνος | εἴπωμεν, 175v ὕστερον δὲ καὶ αὐτοὺς διαιτήσωμεν. θαυμαστὸν δέ τι συνέβη ἐπὶ ταύτης τῆς διαιρέσεως· ἐπὶ μὲν γὰρ τῶν ἄλλων ἐφ' ἑκάτερα ψεῦδος εἶναι καὶ ἀληθὲς οὐκ ἠδύνατο· οὐ γὰρ ἐδύνω ψεύσασθαι καὶ εἰπεῖν ὅτι οὔτε ὑφέστηκεν οὔτε ἐν ψιλῇ ἐπινοίᾳ ὑπάρχει, οὔτε πάλιν ἀληθὲς εἰπεῖν ὅτι καὶ ὑφέστηκε καὶ ἐν ψιλῇ ἐπινοίᾳ ὑπάρχει, οὔτε ὁμοίως ψεῦδος εἰπεῖν ὅτι οὔτε σώματά ἐστιν οὔτε ἀσώματα, οὐδὲ πάλιν ἀληθεῦσαι ὅτι καὶ σώματά ἐστι καὶ ἀσώματα. ἐπὶ δὲ τῆς προκειμένης διαιρέσεως δύναται ἐφ' ἑκάτερα τὸ ἀληθὲς εἶναι· οὔτε γὰρ ἑνὸς ἀληθοῦς δεικνυμένου τὰ ἕτερα ψεύδει καθυποβάλλονται, ὥσπερ καὶ ἐπὶ τῶν πρώτων συνέβη· δυνατὸν γὰρ λέγειν ὅτι καὶ πρὸ πολλῶν ἐστι καὶ ἐν πολλοῖς καὶ ἐπὶ τοῖς πολλοῖς· οὕτω γὰρ καὶ Πλάτων δοξάζει· φησὶ γὰρ ὅτι καὶ γίνεται καὶ ἔστι καὶ ἐν σχέσει ὑπάρχει, καὶ ἐν μὲν τῷ λέγειν 'γίνεται' ἐδήλωσε τὸ πρὸ πολλῶν (ὡς ἵνα νοήσῃς τὸν δακτύλιον πρὸ τῶν σφραγίδων γινόμενον), ἐν δὲ τῷ λέγειν 'καὶ ἔστιν' ἐδήλωσεν ὅτι καὶ ἐν πολλοῖς ἐστι, τοῦτ' ἔστι τὸ ἐν τῇ ὕλῃ, ἐν δὲ τῷ λέγειν ὅτι 'καὶ ἐν σχέσει' ἐδήλωσεν ὅτι καὶ ἐπὶ τοῖς πολλοῖς ἐστι· γνῶσις γὰρ καὶ ἡ σχέσις. Ἀριστοτέλης δὲ τὸ ἐπὶ τοῖς πολλοῖς δοξάζει, οὐχὶ δὲ καὶ τὸ πρὸ πολλῶν· φησὶ γὰρ ὅτι ἐν σχέσει ἐστί, καὶ ταῦτα ἐν πολλοῖς ὁμολογεῖ, τὸ πρὸ πολλῶν δὲ οὔ φησιν εἶναι· λέγει γὰρ ὅτι τῶν ἐνεργειῶν αἱ μέν εἰσιν οὐσιώδεις αἱ δὲ ἐπουσιώδεις, καὶ οὐσιώδεις μὲν αἱ τῆς φύσεως (αὗται γὰρ λόγου οὐ δέονται· ἡ γὰρ φύσις οὐσίαν ἔχει τὸ ἐνεργεῖν, καὶ ταῦτα ἐκτὸς λόγου. ἡ οὖν φύσις χωρὶς τοῦ λόγου ἐνεργοῦσα λόγον οὐκ ἔχει, ἡ δὲ γνῶσις πάντως διὰ λόγου γίνεται. εἰ οὖν οὐκ ἔστι παρὰ τῷ θεῷ τῶν δημιουργημάτων γνῶσις, οὐκοῦν οὐδὲ τὸ πρὸ πολλῶν ὑπάρχει), ἐπουσιώδεις δέ εἰσιν αἱ ἐνέργειαι τοῦ τέκτονος καὶ τῶν ὁμοίων· αὗται γὰρ λόγου δέονται· οὐ γὰρ ἀπὸ φύσεως ἔχει ὁ τέκτων τὸ ἐνεργεῖν, ἐπεὶ οὐκ ἐπαύετο ἂν ἐνεργῶν· ἡ γὰρ φύσις οὐ παύεται ἐνεργοῦσα. οἱ δὲ ταῦτα λέγοντες

---

2 δειξάντων ἀνωτέρω] cf. p. 46,35 τὰ ἐν ψιλῇ ἐπινοίᾳ (αὐτάς post ὑφίστ. add.) om. V ante ὑφίστ. eras. ὑπάρχειν V 3 λέγομεν K 4 ἑαυτὰ KV διανοεῖται] νοεῖται V 8 τούτων KT 9 ante ἐπὶ add. καὶ V 11 ἐδύνω] ἠδύνατο K ψεύδεσθαι K 12 ψιλαῖς ἐπινοίαις V οὔτε πάλιν—ὑπάρχει (13) om. V 13 διανοίᾳ K ψεῦδος] ψεύδεσθαι καὶ K: ψεύσασθαι καὶ T 16 τὸ om. V ψεύδει] ψευδῆ V 18 τοῖς om. V 19 γίνεται Paris. 2089: γινόμενα KT: γινομενά ἐστι V 20 τῷ μὲν colloc. KT γίνεται Paris. 2089: γινόμενα KT: γίνεσθαι V 22 ἐν τοῖς πολλοῖς K: τὸ ἐν πολλοῖς V 24. 25 οὐχὶ δὲ καὶ τὸ καὶ τὸ (sic) πρὸ τῶν πολλῶν T 29 χωρὶς om. V λόγου] θεοῦ KV 33 τὸ ἐν. ὁ τέκτων colloc. K

Digitized by Google

καταψεύδονται Ἀριστοτέλους· πανταχοῦ γὰρ λέγει μὴ εἶναι πρᾶξιν χωρὶς γνώσεως μήτε γνῶσιν χωρὶς πράξεως. πόθεν δὲ ἡ πλάνη γέγονε λέξωμεν.

Διαφορὰ τῶν Πλατωνικῶν δογμάτων οὐκ ὀλίγη γέγονε· τινὲς γὰρ τῶν Πλατωνικῶν ἔλεγον ὅτι κατὰ τοῦτό φαμεν τὸ πρὸ πολλῶν εἶναι, καθὸ λόγῳ παρὰ τῷ θεῷ τὰ πάντα δημιουργεῖται. ἄλλοι δὲ ἔλεγον ὅτι κατὰ τοῦτό φαμεν πρὸ πολλῶν, ὅτι εἰσίν τινες ἰδέαι αὐθυπόστατοι λόγον μὴ ἔχουσαι αἴσθησιν δέ, ὧν κατ' εἰκόνα πάντα δημιουργεῖ ὁ θεός. ἄλλοι δὲ ἔλεγον τινὰς ἰδέας αἴσθησιν μὴ ἐχούσας εἶναι, ὧν κατ' εἰκόνα πάντα δημιουργεῖ ὁ θεός· ἔλεγον γὰρ εἶναι καθολικὸν βοῦν, εἰς ὃν ἀφορῶν ὁ θεὸς δημιουργεῖ τὸν παρ' ἡμῖν βοῦν, καὶ καθολικὸν ἄνθρωπον, εἰς ὃν ἀφορῶν ὁ θεὸς δημιουργεῖ | τὸν παρ' ἡμῖν ἄνθρωπον, ὅλα δὲ τὰ τοιαῦτα προϋπάρχειν τῆς ἡμῶν 176r γενέσεως. διὰ τοῦτο οὖν τὸ πρὸ τῶν πολλῶν διάφορον ἐφαίνετο. διὸ καὶ ὁ Ἀριστοτέλης ἔδοξε μὴ δοξάζειν τὸ πρὸ πολλῶν τούτοις μὴ συγκατατιθέμενος· οὗτοι γὰρ ἀδυναμίαν τοῦ θεοῦ δεικνύουσιν αἰσθήσεως αὐτὸν δεῖσθαι λέγοντες. τὸ δὲ μέγιστον· εἰ ἔχει τὰ τοιαῦτα αἴσθησιν, διὰ τί μὴ ὁρῶμεν αὐτὰ ἢ ψηλαφῶμεν; δεύτερον οἱ λέγοντες ὅτι αὐθυπόστατοί εἰσιν αἱ ἰδέαι αἴσθησιν δὲ μὴ ἔχουσαι, ὧν κατ' εἰκόνα ὁ θεὸς δημιουργεῖ, οὐκ ὀλίγα πταίουσιν· οὗτοι γὰρ καὶ τὰς ἰδέας παραδείγματα ὑποτιθέασι, ταῦτα δὲ τὰ παραδείγματα πρὸ τῆς δημιουργίας τοῦ θεοῦ· πάντως γὰρ εἰ κατ' εἰκόνα αὐτῶν δημιουργεῖ ὁ θεός, αὗται προτερεύουσι τῶν δημιουργημάτων· ὥσπερ γὰρ ⟨εἰ⟩ ἀποβλέψει ζωγράφος τις εἰς Σωκράτην καὶ τούτου τὴν εἰκόνα ποιήσει, προτερεύειν λέξομεν τῆς εἰκόνος τὸν Σωκράτην, οὕτω καὶ τὰς ἰδέας τῆς τοῦ θεοῦ δημιουργίας, ὅπερ ἄτοπον. τῷ μὲν οὖν λέγοντι τοῦ θεοῦ τὴν δημιουργίαν μετὰ λόγου εἶναι συγκατατίθεται ὁ Ἀριστοτέλης, ἀλλὰ μὴν οὐ μόνον τὸ πρὸ πολλῶν καὶ ἐπὶ τοῖς πολλοῖς δοξάζει, ἀλλὰ καὶ τὸ ἐν τοῖς πολλοῖς· ἐν γὰρ τῇ Μετὰ τὰ φυσικὰ περὶ τῶν τοιούτων λέγων παραδείγματι αὐτὰ καθυπέβαλλε φάσκων ὅτι ὥσπερ ὁ ἄρχων ἔχει τὴν τάξιν ἐν ἑαυτῷ πρότερον, καὶ εἶθ' οὕτως ὕστερον ἐκ ταύτης ἢ ἐν τῷ στρατοπέδῳ γίνεται ἢ ἐν τῇ πόλει, οὕτω καὶ τὰ τοιαῦτα ⟨πρῶτον μὲν⟩ παρὰ τῷ θεῷ ἐστιν, ὕστερον δὲ ἐν τῇ ὕλῃ· πρῶτον γὰρ αὐτὰ γινώσκει ὁ θεός, καὶ ὕστερον δημιουργεῖ αὐτὰ ἡ φύσις. ὅταν οὖν ἔλεγεν ὁ Ἀριστοτέλης δημιουργεῖν τὴν φύσιν χωρὶς λόγου,

---

2 χωρὶς (ante πράξεως) om. V ὁ πλάνος KT 3 λέξομεν KV 4 τῶν πλατ. δογμ. διαφορὰ colloc. K 5. 6 καθ' ὃν λόγον V 6 πάντα] τοιαῦτα KV δὲ om. V 8. 9 δημ. πάντα colloc. V (bis) 10 ὁ δημιουργὸς θεὸς (alt. l.) T 10. 11 δημιουργεῖ] ποιεῖ V (bis) 11 καὶ (ante καθολ.) om. K 12 ὅλα] ὅλως Brand. 13 τῶν om. V 15 θεοῦ] θείου KT δεικνῦσιν V αὐτῶν K: αὐτὸ T 18 ὧν] ὃν V 20 γὰρ Paris. 2089: δὲ KTV 22 εἰ inserui ἀποβλέψει Paris. 2089: ἀποβλέπων KTV 23 προτερεύειν—σωκράτην om. V προτερεύειν δὲ T 26 ἐπὶ] ἐν T τὸ (post ἀλλὰ καὶ) om. K ἐν] ἐπὶ T 27 τῇ] τῷ K Μετὰ τὰ φυσ.] cf. Metaph. Λ 10 p. 1075a 1 sq., vel potius De mundo p. 399b 1 sq. 28 καθυπέβαλε K ὁ om. K τὴν om. K προτέραν V 29 τῇ om. TV 30 πρῶτον μὲν inserui 31 αὐτὰ δημ. colloc. V 32 οὖν om. V ὁ om. V χωρίς] ἄνευ T

Digitized by Google

τοῦτο ἐβούλετο δεῖξαι ὅτι αὐτὰ ἡ μὲν φύσις οὐ γινώσκει, δημιουργοῦσα δὲ τὸν θεὸν οὐ λανθάνει. ἐν οἷς καὶ ἡ παροῦσα θεωρία.

Πρᾶξις ζ.

Τῶν ἀγώνων τὰ ἔπαθλα τοῖς καθόλου τριχῶς χαρισάμενοι, ὅτι οὐκ ἐν ψιλαῖς ἐπινοίαις ἐστὶν ἀλλ' ὑφέστηκε, καὶ ὅτι οὐ σώματα ἀλλ' ἀσώματα, καὶ ὅτι πρὸ τῶν πολλῶν εἰσι καὶ ἐν τοῖς πολλοῖς καὶ ἐπὶ τοῖς πολλοῖς, φέρε τὰ τούτοις ἀντικείμενα παρατιθέμενοι τὸ ἀκριβὲς εἰσόμεθα· τινὲς γάρ φασι μὴ ὑφίστασθαι ταῦτα, ἀλλ' ἐν ψιλαῖς ἐπινοίαις ὑπάρχειν, μήτε ἀσώματα ἀλλὰ σώματα, πρὸ τῶν πολλῶν ἢ ἐν τοῖς πολλοῖς οὔ φασιν αὐτὰ εἶναι, ἀλλ' ἐπὶ τοῖς πολλοῖς. καὶ πρὸς μὲν τὸ πρῶτον οὕτω λέγουσιν, ὅτι ἐν ψιλαῖς ἐπινοίαις εἰσὶ καὶ οὐχ ὑφεστήκασιν· εἰ γὰρ τὰ μὴ ἐκ φύσεως δεδημιουργημένα, σώτειραν δὲ μόνην τὴν ἡμετέραν διάνοιαν ἔχοντά φαμεν ἐν ψιλαῖς ἐπινοίαις εἶναι ὥσπερ τὸν τραγέλαφον (οὗτος γὰρ τῇ φύσει ἀγνοεῖται ὁμολογουμένως), καὶ τὰ καθόλου ἐν ψιλαῖς ἐπινοίαις ὑπάρχει ἐκ φύσεως μὴ | ἔχοντα τὸ εἶναι, ἀλλ' ἐν τῇ ἡμετέρᾳ διανοίᾳ σωζόμενα. πρὸς 176v δὲ τὸ δεύτερον πάλιν ἀντιλέγουσι φάσκοντες ὅτι σώματά ἐστι τὰ καθόλου· τὴν αὐτὴν γὰρ φύσιν ἔχει τοῖς μερικοῖς καὶ τὸν αὐτὸν ὁρισμὸν δέχεται. εἰ οὖν ἔστι τις καθόλου ἄνθρωπος, ὤφειλε καὶ τὸν ὁρισμὸν δέχεσθαι τὸν τοῦ ἀνθρώπου, ζῷον λογικὸν καὶ τὰ ἑξῆς. καὶ εἰ μὲν οὐ δέχεται, λέγομεν ὅτι οὐδὲ ἔστι καθόλου, εἰ δὲ δέχεται, πάντως σῶμά ἐστι· τὸ γὰρ ζῷον λογικὸν σῶμα πάντως δηλοῖ. ἔχομεν δὲ καὶ πορίσματος μοῖραν ὅτι οὔκ εἰσιν ἀίδια τὰ καθόλου· δηλοῖ γὰρ τὸ θνητὸν 'ζῷον λογικὸν θνητόν'· τὸ γὰρ θνητὸν πάντως θνήσκει. ἀλλ' ἴσως εἴποι τις ὅτι δυνάμει ἔχει τὸ θνήσκειν, οὐκ ἀποθνήσκει δέ. τοῦτο δὲ ὑπόψυχρον· τὸ γὰρ δύναμιν ἔχον πάντως εἰς ἐνέργειαν χωρεῖ μὴ ἐπιλείποντος τοῦ χρόνου, ἐπεὶ μάτην ἔχει τὸ δύνασθαι· οἷον ἄνθρωπος γραμματικὸς δυνάμει ἐστί, πάντως δὲ γραμματικὸς ἔσται τοῦ χρόνου μὴ ἐπιλείποντος. ἀλλὰ μὴν οὔτε ὅλως ὑφέστηκε τὰ καθόλου· τῶν γὰρ μερικῶν σωμάτων ὄντων καὶ τὸ καθόλου σῶμα ἔσται, εἶναι δὲ σῶμα καὶ ἀσώματον τὸ αὐτὸ ἀδύνατον· οὐκ ἔστιν ἄρα τὰ καθόλου. πρὸς τὸ τρίτον φασὶν ὅτι οὐκ ἔστι τὸ πρὸ τῶν πολλῶν, εἴ γε μαρτυρεῖ ὁ Ἀριστοτέλης λέγων 'τὰ γὰρ εἴδη χαιρέτω· τερετίσματα γάρ ἐστι'· ταῦτα

---

1 αὐτὸν K: αὐτὴ V μὲν ἡ colloc. V 2 ἐν οἷς καὶ ἡ παροῦσα θεωρία om. T
3 πρᾶξις ζ' om. T 4 τῶν (sic) καθόλου τὰ ἔπ. τῶν ἀγ. V 5 εἰσὶν TV
7 παραθέμενοι T 8 an μηδὲ ? 9 post πολλῶν add. γὰρ KV 11 ἐστὶ T
12 σώτειραν] σωτῆρα V 13 ἐν om. V 14 ὑπάρχουσιν V 16 δὲ om. KT
17 τὸν αὐτὸν ὁρ. V 18 alt. τὸν om. KV 19 post λογικὸν add. θνητὸν T
19. 20 λέγομεν ὅτι οὐδὲ Paris. 2089: ἔχομεν ὅτι οὔτε KT: ἔχομεν ὡς οὔτε V 20 καθόλου ἐστὶν colloc. K σῶμα πάντως colloc. V ἐστι· τὸ γὰρ—οὐκ εἰσὶν (22) in ras. K
20. 21 ζῶον καὶ λογικὸν V 21 πορίσματος Paris. 2089: πορισμοῦ KTV 26 an πάντως δὲ ⟨ἐνεργείᾳ⟩ ? 27 ἔσται] ἐστὶ V οὔτε ὅλως] οὕτως V; an οὐδὲ ὅλως ?
29 τὰ] τὸ V 30 τὸ (ante πρὸ) om. KT 30. 31 ὁ Ἀριστ.] Anal. post. A 22 p. 83a32 31 εἰσὶ KV

Digitized by Google

γὰρ ἔλεγόν τινες ἰδέας εἶναι αὐθυποστάτους, ἃς ψέγει ὁ φιλόσοφος. ἔτι δέ φησι 'τὸ γὰρ καθόλου ζῷον οὐκ ἔστιν, εἰ δὲ ἔστιν, ὕστερόν ἐστι'. τοῦτο δὲ ἐμφαίνει ὅτι πρὸ τῶν πολλῶν οὐκ ἔστιν, εἰ δὲ ἔστι καθόλου ὅλως (τοῦτο γὰρ ἀμφέβαλεν ὁ Ἀριστοτέλης), ἐν τῇ ἡμετέρᾳ διανοίᾳ ἐστί, τοῦτ' ἔστιν ἐπὶ τοῖς πολλοῖς· τοῦτο γὰρ δηλοῖ τὸ 'ὕστερόν ἐστιν'. ἀλλὰ μὴν οὔτε ἐν τοῖς πολλοῖς ἔστι· τί γὰρ λέγεις; ἢ μίαν φύσιν ἐρεῖς καθ' ἑαυτὴν ὑφίστασθαι ὑπὸ πολλῶν δὲ μετέχεσθαι (τοῦτο γὰρ ἴδιον τῶν καθόλου), ἢ πολλὰς ἐν πολλοῖς θεωρεῖσθαι; καὶ εἰ μὲν μίαν εἴπῃς καθ' ἑαυτὴν ὑφίστασθαι, ψεύδῃ (τοῦτο γὰρ εὐθύνας δέδωκεν ἐν τῷ πρὸ τοῦ ἐπιχειρήματι), εἰ δὲ πολλάς, τοῦτο καθόλου μᾶλλον οὐκ ἔστιν, ἀλλὰ μερικόν. τὸ ἐπὶ τοῖς πολλοῖς δὲ μόνον φασὶν εἶναι. τοῦτο δὲ τὸ ἐπὶ τοῖς πολλοῖς καθόλου οὐ καθὸ ἐν τοῖς πολλοῖς ὑπάρχει, διὰ τοῦτο καθόλου λέγεται (δύναται γὰρ καὶ ἐν Σωκράτει μόνῳ τὸ καθόλου νοεῖσθαι), ἀλλὰ καθὸ εἰς Πλάτωνα ἀποβλέπων τὸν πρὸ αὐτοῦ τοιοῦτον ἐθεασάμην καὶ τὸν μετ' αὐτὸν ὁμοίως. καθόλου δὲ ῥηθήσεται, καθὸ προγεγενημένοις καὶ οὖσι καὶ μεταγενεστέροις ἁρμόζει. ἐὰν οὖν εἷς μόνος ὑπολειφθῇ, αὐτὸν καθόλου λέξω διὰ τὸ πάντας τοιούτους εἶναι. σώζεται δὲ τοῦτο ἐν τῇ ἡμετέρᾳ διανοίᾳ· ἀποβλέπων γὰρ εἰς Σωκράτην καὶ εἰς ἄλλον τῆς αὐτῆς μετέχοντα φύσεώς φημι εἶναι τὸ καθόλου.

Τί οὖν; καλῶς εἰρήκασι | πρὸς ἅπαντα; φαμὲν ὅτι οὔ· οὔτε γὰρ ἐν 177r ψιλαῖς ἐπινοίαις ὑπάρχει, ὡς ἔλεγον, ἀλλ' ὑφέστηκεν, οὐ καθ' ἑαυτὰ δέ, ἀλλ' ἐν τῇ ἡμετέρᾳ διανοίᾳ· εἰ γὰρ ἐκεῖ τὰ μὴ ὄντα φαμὲν ἐν ψιλαῖς ἐπινοίαις ὑπάρχειν, τὸν τραγέλαφον καὶ τὰ ὅμοια, οὐκ ἔστιν ἄρα τὰ καθόλου ἐν ψιλαῖς ἐπινοίαις· ἀπὸ γὰρ τῶν ὄντων αὐτὰ λαμβάνομεν ἐν τῇ ἡμετέρᾳ διανοίᾳ, ἀπὸ Σωκράτους καὶ Ἀλκιβιάδου καὶ τῶν τοιούτων, ἐπιγινώσκοντες εἶναι τὸ καθόλου· τοῦτο δὲ τῶν ὄντων ἐστί. ταῦτα οὖν ἐν τῇ ἡμετέρᾳ διανοίᾳ σώζεται· καθ' ἑαυτὰ γὰρ οὐχ ὑφίσταται. πρὸς τὸ δεύτερον· κἂν τε σώματά ἐστι κἂν τε μή, οὐδὲν τῷ ἡμετέρῳ λόγῳ λυμαίνεται· ὑφίσταται γὰρ ἐν τῇ ἡμετέρᾳ διανοίᾳ, ὅπερ ἐπὶ τοῖς πολλοῖς ἐστιν. οὐ καλῶς δέ φασι μὴ εἶναι αὐτὰ ἀίδια· τὸ γὰρ ἀίδιον διττόν, τὸ μὲν ἀριθμῷ τὸ δὲ εἴδει· ἀριθμῷ μὲν ἀίδιόν ἐστιν ἡ ψυχὴ καὶ τὰ θεῖα (ταῦτα γὰρ ἀεὶ ἔστιν), εἴδει δὲ ἀίδιόν ἐστιν ὁ ἄνθρωπος· κἂν γὰρ φθαρῇ Σωκράτης, περιλείπεται Ἀλκιβιάδης. πρὸς τὸ τρίτον· καλῶς ἔλεγον μὴ εἶναι πρὸ τῶν πολλῶν·

---

1 post φιλόσοφος add. ἀριστοτέλης KT 1. 2 ἔτι δέ φησι] De anima A 1 p. 402b8 2 δέ] γάρ K 4 ἀμφέβαλλεν K ὁ om. V 6 scribas οὐδὲ 8 καὶ om. V 9 ἔδωκεν V τοῦ] τούτου V 10 τοῖς om. V 11 post εἶναι add. καλῶς δὲ λέγουσι TV 12 καὶ om. V 13 τῷ σωκρ. K 13. 14 ἀποβλ.] βλέπων V 14 τὸν μετ' αὐτὸν] μετὰ τοῦτο V 15 καὶ (post οὖσι) om. T 16 οὖν om. V ὑπολειφθῇ Paris. 2089: ὑπολειφθείη KTV 18 φύσεως μετέχ. colloc. V 20 καί φαμεν T an οὐδὲ? ἐν om. KT 21 ἐπινοίαις ψιλ. colloc. K ἑαυτὰ] αὐτὰς V 22 ἐκεῖ] p. 46,35 an ἔφαμεν? 23 τὸ καθόλου post ἐπινοίαις (24) colloc. T 25 γινώσκομεν TV 27 οὐχ om. V καὶ πρὸς T τε Paris. 2089: om. KTV 28 σώματα] σωκράτης V 29 τῶν πολλῶν V 30 τὸ δὲ] τῷ δὲ K 31 ἀίδιός V 33 ἔλεγον] λέγομεν V

Digitized by Google

οὔτε γὰρ ἔστιν, εἰ μὴ τί γε κατὰ τὴν γνῶσιν, ὡς ἔλεγεν Ἀριστοτέλης. τὸ δὲ ἐν τοῖς πολλοῖς καὶ ἐν γνώσει ἐστίν· ἡ γὰρ γνῶσις ἐν ἡμῖν ἐστι καὶ ἐν τῷ δημιουργῷ, ὅπερ πρὸ πολλῶν ἐστι καὶ ἐπὶ τοῖς πολλοῖς. ἐν οἷς ἡ παροῦσα θεωρία.

Πρᾶξις η'.

p. 1,9 Αὐτίκα.

Οὐκ ὀλίγης προθεωρίας εἰρημένης χωρήσωμεν ἐπ' αὐτὴν τὴν λέξιν. ἔχει δὲ τὰ τῆς συντάξεως οὕτως· σύντομόν σοι παράδοσιν ποιούμενος πειράσομαι διὰ βραχέων ὥσπερ ἐν εἰσαγωγῆς τρόπῳ τὰ παρὰ τῶν πρεσβυτέρων ἐπελθεῖν, τῶν μὲν βαθυτέρων ζητημάτων ἀπεχόμενος, τῶν δὲ ἁπλουστέρων συμμέτρως στοχαζόμενος. αὐτίκα περὶ τῶν γενῶν καὶ εἰδῶν εἴτε ὑφέστηκεν εἴτε ἐν ψιλαῖς μόναις ἐπινοίαις κεῖται εἴτε ὑφεστηκότα σώματά ἐστιν ἢ ἀσώματα καὶ πότερον πρὸ τῶν πολλῶν ἢ ἐν τοῖς πολλοῖς ἢ ἐπὶ τοῖς πολλοῖς ἐστι παραιτήσομαι λέγειν καὶ τὰ ἑξῆς. ζητοῦμεν δὲ διὰ τί ⟨ἐπεὶ⟩ προέκειτο Πορφυρίῳ περὶ τῶν πέντε φωνῶν διαλαβεῖν, [καὶ] μόνου τοῦ γένους καὶ τοῦ εἴδους μνείαν ἐποιήσατο, διαφορᾶς δὲ καὶ ἰδίου καὶ συμβεβηκότος οὐκέτι· ὡσαύτως γὰρ καὶ ἐπὶ τῶν παραλειφθέντων ζητητέα τὰ προκείμενα, εἴτε ὑφέστηκεν εἴτε ἐν μόναις ψιλαῖς ἐπινοίαις κεῖται, καὶ ὅσα ἂν ζητήσῃ τις περὶ γένους καὶ εἴδους, τοσαῦτα καὶ περὶ διαφορᾶς καὶ ἰδίου καὶ συμβεβηκότος. φαμὲν δὲ ὅτι δικαίως τῆς διαφορᾶς καὶ τοῦ ἰδίου καὶ τοῦ συμβεβηκότος οὐκ ἐμνήσθη, ἐπειδὴ ἤρκει αὐτῷ μνησθῆναι γένους καὶ εἴδους· διὰ γὰρ τῶν ἄλλων τριῶν διήκει τὸ γένος καὶ τὸ εἶδος. λέγων οὖν τὸ γένος καὶ τὸ εἶδος συμπεριελάμβανεν καὶ τὰς ἄλλας τρεῖς φωνάς· ἔχει γάρ, ὡς ἔφαμεν, ἡ διαφορὰ γένος καὶ εἶδος· γένος μὲν ὡς ἵνα εἴπῃς τὴν διαφορὰν τὴν ἐν ἐμοὶ καὶ ἐν τῷ ἵππῳ καὶ ἐν τῷ κυνὶ καὶ ἐν τοῖς ἄλλοις εἴδεσι (τὸ οὖν κατηγορούμενον | εἰδῶν τοῦτο γένος καλεῖται, 177ᵛ

1 an οὐδὲ ? μή τι] μήτοι KT Ἀριστ.] cf. p. 117,1 2 pr. καὶ V²: οὐδὲ KTV¹ 3 τῷ δημιουργῷ Paris. 2089: τῇ δημιουργίᾳ KTV ἐπὶ] ἐν V ἐν οἷς ἡ παροῦσα θεωρία om. T 5 πρᾶξις η' om. T 7 ὀλίγας προθ. εἰρηκότες Brand. 8 συντάξεως] λέξεως K 10 τοῖς πρεσβυτέροις Porph. ἀπεχ. ζητημάτων colloc. Porph. 12 ante αὐτίκα add. ἀμέλει, τοῦτο γὰρ σημαίνει τὸ V post αὐτίκα add. γοῦν K: οὖν T τῶν om. T γενῶν τε καὶ Porph. τὸ μὲν εἴτε ὑφ. Porph., quod recipias (cf. p. 119,13) εἴτε καὶ ἐν Porph. 12. 13 μόναις ψιλαῖς Porph., quod recipias (cf. v. 18 p. 119,16) 13 κεῖται] καθέστηκεν KV εἴτε καὶ Porph. 14 πότερον χωριστὰ ἢ ἐν τοῖς αἰσθητοῖς καὶ περὶ ταῦτα ὑφεστῶτα παραιτήσομαι Porph. 15 ἐστι om. V δὲ om. K 16 ἐπεὶ addidi ex schol. Paris. 1845: om. KTV τῷ πορφ. T καὶ delevi 17 εἴδους καὶ τοῦ γένους colloc. K 18 καὶ (post γάρ) om. KV παραλειφθέντων Paris. 2089: προλεχθέντων KV: προτεθέντων T 19 εἴτε (ante ἐν)] ἢ KV 20 ζητήσῃς τι V καὶ (ante περὶ) om. KV 23 εἴδους καὶ γένους colloc. T τὸ εἶδος καὶ τὸ γένος colloc. K 24 καὶ (ante τὰς) om. KT 25 ante μὲν add. γὰρ T 26 εἴποις T ἐμοὶ] ἡμῖν T 26. 27 ἐν τοῖς ἵπποις καὶ τοῖς κυσὶ καὶ τοῖς ἄλλοις T 27 τῶν οὖν κατηγορουμένων V οὖν] an γὰρ ?

Digitized by Google

αὕτη δὲ εἰδῶν κατηγορεῖται), εἶδος δὲ ὡς ἵνα ἀτομώσῃς τὴν ἐπὶ τὰ πολλὰ εἴδη φερομένην διαφορὰν καὶ εἴπῃς λογικότης· αὕτη γὰρ ἀτόμων κατηγορεῖται, τὸ δὲ ἀτόμων κατηγορούμενον εἶδός ἐστιν. ἀλλὰ μὴν καὶ ἐν τῷ ἰδίῳ ἐστὶ γένος καὶ εἶδος· γένος μὲν ὡς ἵνα εἴπῃς τὸ ἴδιον τὸ ὂν ἐν πᾶσι
5 τοῖς εἴδεσιν (ἓν γὰρ καὶ ἕκαστον εἶδος ἔχει τι ἴδιον), εἶδος δὲ ὡς ἵνα εἴπῃς τὸ γελαστικόν· οὕτω γὰρ ἀτομοῖς τὸ ἐπὶ τὰ πολλὰ εἴδη φερόμενον ἴδιον· ἀτόμων γὰρ κατηγορεῖται τὸ γελαστικόν, τὸ δ' ἀτόμων κατηγορεῖσθαι εἴδους ἐστί. πάλιν καὶ ἐν τῷ συμβεβηκότι ἐστὶ γένος καὶ εἶδος· γένος μὲν ὡς ἵνα εἴπῃς τὸ συμβεβηκὸς τὸ ὂν ἐν θερμῷ ἐν ψυχρῷ ἐν λευκῷ ἐν
10 μέλανι ἐν γνώσει ἐν ἀγνοίᾳ (τοῦτο γὰρ γένος ἐστὶ τῷ ἐπὶ πολλὰ φέρεσθαι ⟨εἴδη⟩), εἶδος δὲ ὡς ἵνα εἴπῃς τὸ θερμόν· ἀτομοῖς γὰρ ἐκεῖνο τὸ συμβεβηκός, ὃ ἐπὶ πολλὰ ἄτομα φερόμενον σημαίνει ἕν τι συμβεβηκός, ὅπερ εἶδός ἐστι.

p. 1,10 Τὸ μὲν εἴτε ὑφέστηκεν.

Καλῶς τὸ ὑφέστηκε προέταξε· δύο γὰρ ὄντων, ψευδοῦς τε καὶ ἀλη-
15 θοῦς, τὸ ἀληθὲς προέταξεν· ὑφίσταται γάρ.

p. 1,10 Εἴτε ἐν μόναις ψιλαῖς ἐπινοίαις κεῖται.

Ἄξιόν ἐστι ζητῆσαι τί διαφέρει ἐπίνοια τῆς ψιλῆς ἐπινοίας. ἐπίνοια μέν ἐστιν, ὅταν διαχωρίζειν τῷ λόγῳ τολμῶμεν τὸ συνημμένον ἐκ τῆς φύσεως δημιούργημα· οἷον ἡ φύσις ὁμοῦ τὸ σῶμα καὶ τὸ χρῶμα δημιουργεῖ,
20 καὶ οὐκ ἔστι σῶμα μὴ ἔχον χρῶμα. τοῦτο οὖν τὸ ὁμοῦ συνημμένον, φημὶ δὲ τὸ λευκὸν καὶ τὸ σῶμα, διαχωρίζομεν λέγοντες τὸ μὲν λευκὸν χρῶμα διακριτικὸν ὄψεως, τὸ δὲ σῶμα τριχῇ διαστατόν. αὕτη οὖν ἐστιν ἡ ἐπίνοια. ψιλὴν δὲ ἐπίνοιάν φαμεν, ὅταν τὰ μηδαμῇ μηδαμῶς ἐν τῇ ἡμετέρᾳ διανοίᾳ οἰκοδομῶμεν, τὸν τραγέλαφον καὶ τὰ ὅμοια.

25 p. 1,11 Εἴτε ὑφεστηκότα σώματά ἐστιν ἢ ἀσώματα.

Τοῦ ψευδοῦς μὴ διαιρουμένου δικαίως αὐτὸ παρέλιπε, τοῦ δὲ ἀληθοῦς ἐμνημόνευσε τοῦ διαίρεσιν ἐπιδεχομένου· φησὶ γάρ· εἴτε ὑφεστηκότα ἢ σώματά ἐστιν ἢ ἀσώματα παραιτήσομαι λέγειν. πάλιν ζητοῦσιν

---

2 φέρον K 3 τὸ τῶν ἀτόμων κατηγορούμενον in mrg. K²: τῶν δ' ἀτόμων κατηγορουμένων V 4 ἐν om. V 5 τι] τὸ V 6 εἴπῃ V τὸ (ante γελαστ.) om. K οὕτω] οὐ V ἀτομοῖς correxi: ἀτόμοις libri (cf. v. 1) τὰ om. V 8 εἴδους] εἶδος V pr. καὶ om. K τὸ γένος V 10 γένος] γένους K τῷ] τὸ KT 11 εἴδη addidi δὲ om. V ἀτομοῖς Paris. 2089 schol. Paris. 1845: τοῦτο KTV 12 ὃ—συμβεβηκός om. KV 14. 15 ψεύδους τε καὶ ἀληθείας V 16 εἴτε καὶ Porph. 17 ante ἐπίνοια add. καί φαμεν T 18 ἐκ] ὑπὸ T 19 τὸ χρῶμα καὶ τὸ σῶμα colloc. K 20 ἔχων T τοῦτο] τὸ V τὸ Paris. 2089: om. KTV 25. 27 εἴτε καὶ Porph. 25 σώματα—ἀσώματα om. V: σώματα—ὑφεστηκότα ἢ (27) om. T 27 ἢ om. Porph. 28 ἐστιν post ἀσώματα colloc. KT παραιτοῦμαι V

Digitized by Google

εἰ καλῶς προέταξε τὰ σώματα τῶν ἀσωμάτων· φασὶ γὰρ ὅτι κακῶς αὐτὰ προέταξεν· εἰ γὰρ τῆς αὐτῆς δόξης ἐστὶν ὁ Πορφύριος, ἧς ἐστι Πλάτων καὶ Ἀριστοτέλης, οἵτινες ταύτας τὰς φωνὰς ἀσωμάτους δοξάζουσι, διὰ τί τὸ σῶμα τοῦ ἀσωμάτου προέταξε; φαμὲν δὲ ὅτι εἰσαγωγικώτερον ἐξηγούμενος τὰ σώματα ὡς εὔδηλα καὶ φανερὰ ὄντα πλέον τῶν ἀσωμάτων προέταξε.

p. 1,11 Καὶ πότερον χωριστὰ ἢ ἐν τοῖς αἰσθητοῖς καὶ περὶ ταῦτα ὑφεστῶτα.

Σκόπει πῶς ἐφύλαξε τὴν τάξιν· χω|ριστὰ γὰρ λέγων ἐσήμανε τὰ 178r πρὸ τῶν πολλῶν (ταῦτα γὰρ χωριστὰ λέγεται, ἐπειδὴ ἐν τῇ ὕλῃ οὔκ εἰσιν), ἐν τοῖς αἰσθητοῖς δὲ πάλιν λέγων ἐδήλωσε τὰ ἐν τοῖς πολλοῖς (τὰ γὰρ ἐν τῇ ὕλῃ αἰσθητά ἐστι), πάλιν λέγων καὶ περὶ ταῦτα ὑφεστῶτα ἐσήμανε τὰ ἐπὶ τοῖς πολλοῖς· τὰ γὰρ περὶ ταῦτα ὑφεστῶτά φαμεν τὴν ἡμετέραν διάνοιαν, ἥπερ ἐπὶ τοῖς πολλοῖς λέγεται. ὡς εἴπομεν δέ, καλῶς τὴν τάξιν παρέδωκε.

p. 1,14 Τὸ δὲ ὅπως περὶ αὐτῶν καὶ τῶν προκειμένων.

Ὧδε οὐκέτι διὰ τοῦ γένους καὶ τοῦ εἴδους συμπεριλαμβάνει τὰς λοιπὰς φωνάς· φησὶ γὰρ καὶ τῶν προκειμένων, ὅ ἐστι διαφορὰ καὶ ἴδιον καὶ συμβεβηκός.

p. 1,15 Λογικώτερον οἱ παλαιοί.

Διττῆς οὔσης τῆς τούτων παρὰ τοῖς παλαιοῖς ζητήσεως, τῶν τε θεολογικῶς περὶ αὐτῶν ζητούντων τῶν τε διαλεκτικῶς, φησὶν ὅτι οὐ θεολογικώτερον περὶ αὐτῶν ζητῶ (δυσχερὴς γὰρ ἡ τοιαύτη ζήτησις), ἀλλὰ διαλεκτικώτερον· τοῦτο γὰρ ἀποίκιλόν ἐστι. τί δέ ἐστι τὸ θεολογικώτερον καὶ τί τὸ διαλεκτικώτερον; θεολογικώτερόν ἐστιν, ὅταν ζητῶμεν εἰ ἀίδιόν ἐστιν ἢ ἐν γενέσει καὶ φθορᾷ, εἰ ἀμέσως τούτων ὁ θεὸς τὴν δημιουργίαν ποιεῖται ἢ διὰ μέσου τῆς φύσεως. διαλεκτικώτερον δέ ἐστιν, ὅταν ζητῶμεν εἰ ὁμώνυμοί εἰσι φωναί, καὶ εἰ πολλὰ σημαινόμενα ἔχουσιν, εἰ ⟨αἱ⟩ αὐταί εἰσι ταῖς κατὰ συνήθειαν. τοῦτο οὖν φησιν ὁ Πορφύριος· θεολογικῶς περὶ αὐτῶν οὐ διαλαμβάνω (τοῦτο γὰρ οἰκεῖον Πλάτωνος), ἀλλὰ διαλεκτικῶς.

---

1 τοῦ ἀσωμάτου V 3 ταύτας τὰς] τὰς αὐτὰς V 4 σώματα] ἀσώματα V¹ 8 τὰ Paris. 1938: τὸ TV: om. K 10 τοῖς αἰσθητοῖς evan. V λέγων πάλιν colloc. T 9. 12 τὰ (ante ἐν et ἐπὶ)] τὸ libri (cf. v. 8) 11 εἰσι V 12 alt. τὰ] τὸ K 13 ἥπερ scripsi: ὅπερ libri εἴπομεν] v. 9 14 παραδέδωκε V 15 περὶ διὰ (sed περὶ del.) V 16 συμπεριλαμβάνειν V 20 τε (ante θεολ.) om. V 22 ζητοῦμεν K 23 τοῦτο — θεολογικώτερον om. V ἀποίκιλον Paris. 2089: ποικίλον KTV 24 τὸ (ante διαλεκτ.) om. TV ζητήσωμεν K 25 εἰ Urb. 35: ἢ KTV τὴν δημ. ὁ θεὸς colloc. V 26 τῆς om. KT 27 ὁμώνυμαι V tertium εἰ Paris. 2089: ἢ KTV αἱ inserui 28 τοῦτο— διαλεκτικῶς (29) om. K 29 ἀλλὰ διαλεκτικῶς om. V

Digitized by Google

τὸ δὲ διαλεκτικῶς λογικώτερον ἐκάλεσεν, ἐπειδὴ τῆς λογικῆς ἐστιν ἡ διαλεκτική.

p. 1,15 Μάλιστα οἱ ἐκ τοῦ περιπάτου.

Διὰ τί ἄρα τῶν Περιπατητικῶν ἐμνήσθη; φασί τινες ὅτι οἱ Περι-
5 πατητικοὶ εἰς τὴν διαλεκτικὴν ὀξυτέρως ἐκινοῦντο· θέλων οὖν ταὐτὸν ποι-
ῆσαι, ἐμνήσατο αὐτῶν. ἄλλοι δέ φασιν, ἐπειδὴ ἀπὸ ὑπολήψεως Πλατωνικὸς
ἐλέγετο, ἠβούλετο ἑαυτὸν δεῖξαι Ἀριστοτέλει παρακολουθοῦντα, ὅπερ ἐν τοῖς
συγγράμμασιν ἐβουλήθη δεῖξαι. ἄξιον δὲ ζητήσεως ὑπάρχει διὰ τί Περι-
πατητικοὶ καλοῦνται οἱ Ἀριστοτελικοί· φασὶν ὅτι διὰ τοῦτο Περιπατητικὸς
10 ἐκαλεῖτο ὁ Ἀριστοτέλης, ἐπειδὴ περιπατῶν τὰς συνουσίας ἐποιεῖτο τῇ πρὸς
τὸν διδάσκαλον αἰδοῖ.· οὐκ ἐτόλμα γὰρ Πλάτωνος περιιόντος ἐν καθέδρᾳ
ποιεῖσθαι τὰς συνουσίας. ἄλλοι δέ φασιν ὅτι ψευδές ἐστι· τοὐναντίον γὰρ
ἠναντιοῦτο αὐτῷ. τολμῶσι δὲ οἱ τοιοῦτοι ψέγειν· οὐδὲ γὰρ ἠναντιοῦτο
αὐτῷ, ἀλλ' ἔσεβεν αὐτὸν ἀεί, ὡς δηλοῖ τὸ εἰς τὸν τάφον Πλάτωνος Ἀρι-
15 στοτέλους ἐπίγραμμα

βωμὸν Ἀριστοτέλης ἱδρύσατο τόνδε Πλάτωνος,
ἀνδρὸς ὃν οὐδ' αἰνεῖν τοῖσι κακοῖσι θέμις.

ἐν οἷς σὺν θεῷ ἡ θεωρία.

Πρᾶξις θ'.

20 ### Περὶ γένους.

Μετὰ τὰ διττὰ προοίμια τοῦ τε φιλοσόφου καὶ ἡμῶν σὺν εὐμενείᾳ
τοῦ κρείττονος ἐπ' αὐτοὺς τοὺς ἀγῶνας τῆς λέξεως χωρήσωμεν ἔχοντες
πάντων προηγουμένην τὴν τοῦ γένους διδασκαλίαν. ζητητέον δὲ διὰ τί τὸ |
γένος τῶν πέντε φωνῶν προετάγη. τινὲς γοῦν ὑπὲρ τούτου ἀπολογούμενοί 178v
25 φασιν ὅτι ἐπειδὴ τὸ γένος τίμιόν ἐστι καὶ ἅμα ἑαυτῷ συνεισφέρει τὰς
ἄλλας φωνάς· λέγων γὰρ γένος συνεισφέρεις τὸ εἶδος (τὸ γὰρ γένος εἴδους
ἐστὶ γένος), ὅπου δὲ γένος καὶ εἶδος, ἐκεῖ πάντως ἐστὶ καὶ διαφορά (τὸ

---

1 λογικώτ.] λογικὸν V 3 μάλιστα δὲ T οἱ om. K 6 ἐμνήσθη K 7 ἐβούλετο V ὅπερ—δεῖξαι (8) deleas 8 συγγρ.] γράμμασιν V ἠβουλήθη T ἄξιον δέ ἐστιν ὡς ὑπάρχει V 9 καλοῦνται] ἐκαλοῦντο Brand. φασὶ δὲ K 10 ὁ om. T 11 post γὰρ add. ἔτι T περιιόντος scripsi: περιόντος libri (cf. Amm. p. 46,6) 13 ψέγειν scripsi: λέγειν KT: λέγειν τι V 14. 15 Ἀριστοτέλους ἐπιγρ.] cf. Olymp. in Plat. Gorg. p. 395 (Jahn) vit. Marc. p. 432,5 (Rose) Philop. pseudepigr. p. 11b29 (Brand.) 17 οὐδ'] οὔτ' KTV τοῖς K κακοῖσι in spatio X litt. om. K θῆμις K 18 ἐν οἷς—θεωρία] ἐν οἷς ἡ πρᾶξις V: om. T 19 πρᾶξις θ' om. T 20 tit. περὶ γένους om. KT 21 ἡμῶν] τοῦ ἡμετέρου TV 23 δὲ om. K διὰ om. K 24 γοῦν] δὲ V: om. K ὑπὲρ] περὶ V 25 an τιμιώτερον? ἑαυτῷ] αὐτῷ TV 26 τὸ (ante εἶδος) om. TV 27 ἐκεῖ post πάντως colloc. KT

Digitized by Google

γὰρ εἶδος ἀπὸ γένους τέμνεται διὰ μέσου διαφορᾶς δίχην πρίονος ἐπεχούσης), ὅπου δὲ εἶδος, ἐκεῖ καὶ ἴδιον (τὸ γὰρ ἴδιον ἐν τοῖς εἴδεσι θεωρεῖται, ὡς τὸ γελαστικὸν ἐν τῷ ἀνθρώπῳ, τὸ χρεμετιστικὸν ἐν τῷ ἵππῳ), ἀλλὰ μὴν καὶ συμβεβηκός· τὸ γὰρ συμβεβηκὸς ἐν τοῖς ἀτόμοις θεωρεῖται καὶ τὰ
5 ἄτομα διακρίνει· οὐσίᾳ γὰρ οὐ διακρίνεται τὰ ἄτομα, ἀλλὰ συμβεβηκόσιν· οὐ γὰρ διαφέρει ὁ Σωκράτης Πλάτωνος, καθὸ ἄνθρωποί εἰσιν, ἀλλὰ καθὸ ὁ μὲν φαλακρὸς ὁ δὲ εὔθριξ, ὁ μὲν προκοίλιος ὁ δὲ ἰσχνός· τὰ οὖν ἄτομα ὑπὸ τὸ εἶδος ἀνάγεται, ὧν ἐστι τὰ συμβεβηκότα. ὁ τοιοῦτος δὲ λόγος συνηγορεῖ καὶ τὸ εἶδος τῶν ἄλλων φωνῶν προτάττεσθαι· δύναμαι γὰρ λέγειν
10 ὅτι καὶ τὸ εἶδος συνεισφέρει τὰς ἄλλας τέσσαρας φωνάς· ὅπου γὰρ εἶδος, ἐκεῖ πάντως καὶ γένος (τὸ γὰρ εἶδος γένους ἐστὶν εἶδος), ὅπου δὲ γένος καὶ εἶδος, ἐκεῖ καὶ διαφορά. ἐν δὲ τοῖς εἴδεσίν ἐστι καὶ τὸ ἴδιον, ὡς ἐδείξαμεν. ἀλλὰ μὴν καὶ ἐν τοῖς ἀτόμοις ἐστὶ τὰ συμβεβηκότα, ὧν κατηγορεῖται τὸ εἶδος. τί δὲ λέγω ταῦτα ἐπὶ τοῦ εἴδους; τῷ προκειμένῳ λόγῳ προταχθή-
15 σεται ἡ ὑστέρα φωνὴ ἡ κινδυνεύουσα μὴ εἶναι διὰ τὴν εὐτέλειαν, λέγω δὲ τὸ συμβεβηκός· αὕτη γὰρ καὶ τὰς ἄλλας τέσσαρας συνεισφέρει· λέγομεν γὰρ τὰ συμβεβηκότα τῶν ἀτόμων τὴν διάκρισιν ποιεῖσθαι, τὰ δὲ ἄτομα συνεισφέρει τὸ εἶδος (τῶν γὰρ ἀτόμων κατηγορεῖται τὸ εἶδος), ὅπου δὲ γένος καὶ εἶδος, ἐκεῖ καὶ διαφορὰ ἀναμφιβόλως, τὸ δὲ ἴδιον ἐν τοῖς εἴδεσιν
20 ὑπάρχει. ὥστε οὖν ὑπόψυχρός ἐστιν ὁ τοιοῦτος λόγος· οὐ γὰρ κατὰ τοῦτον τὸν λόγον προετάγη τὸ γένος, ἀλλὰ καθ' ἕτερον. ποῖον δὲ τοῦτον λέξομεν; τὸ γένος δικαίως τῶν ἄλλων προετάγη κατ' ἄμφω φέρον τὰ πρωτεῖα· τίμιον γὰρ καὶ τῶν οὐσιωδῶν ὑπάρχει καὶ τῶν ἐπουσιωδῶν. καὶ τῶν μὲν ἐπουσιωδῶν τίμιον ὑπάρχει ὡς οὐσιῶδες, λέγω δὲ ἰδίου καὶ συμβεβηκότος,
25 τῶν δὲ οὐσιωδῶν ὡς καθολικώτερον· καθολικώτερον γὰρ τὸ γένος τῆς τε διαφορᾶς καὶ τοῦ εἴδους.

Ἐπεὶ οὖν ἐγνώκαμεν οὐ κατὰ ἀδικίαν προτετάχθαι τὸ γένος, φέρε ἐπ' αὐτὴν τὴν ἐξήγησιν βαδίζωμεν. ἀλλ' ἐμπόδιον ταύτης τῆς ὁδοῦ πέφυκεν Ἀριστοτέλης φάσκων ἐν τοῖς Ἀποδεικτικοῖς δεῖν τὸν περὶ ὁμωνύμων φωνῶν
30 διαλαμβάνοντα πρὸ τῆς τούτων ἐξηγήσεως τὰ τρία ταῦτα ποιῆσαι· πρῶτον διαστελασθαι τὴν ὁμωνυμίαν καὶ εἰπεῖν ποσαχῶς λαμβάνεται ἡ προκειμένη φωνή, δεύτερον εἰπεῖν περὶ ποίου σημαινομένου ἐστὶν ὁ λόγος, τρίτον τὴν περὶ τούτου ἐμφανίσαι διδασκαλίαν· τῷ γὰρ μὴ ταῦτα ποιοῦντί φησιν οὐκ ὀλίγα ἄτοπα παρακολουθεῖν· δόξει γὰρ | καὶ ἀνόητα διαφθέγγεσθαι καὶ 179r

---

4. 5 καὶ τὰ — διακρ.] καὶ ἄτομα θεωρεῖται τουτέστι διακρίνει V 5 γὰρ Paris. 2089: δὲ KTV τοῖς ἀτόμοις K 7 ὁ μὲν εὔθριξ ὁ δὲ προκοίλιος TV 8 ἀνάγεται] κατηγορεῖται V 9 δύναμαι scripsi: δύναται KTV 11 τὸ γὰρ — ἐστὶν εἶδος om. KT 11. 12 ἐκεῖ καὶ εἶδος colloc. K 12 καὶ (ante διαφ.) om. V ἐστι (post εἴδεσιν) om. KT ὡς ἐδείξ. καὶ τὸ ἴδ. colloc. T ἐδε(ξ.] v. 2 14 ἐπὶ τοῦ εἴδους om. KT 14. 15 προταχθ.] ταχθήσεται V 19 τὸ δὲ] καὶ τὸ KT 20 ἐστιν om. K 21 an λέξωμεν? 22 πρωτεῖα] πρεσβεῖα KT 23 et 24 an τιμιώτερον? 23. 24 καὶ τῶν μὲν ἐπουσ. τίμιον ὑπάρχει om. K: τίμιον ὑπάρχει om. T 25 τε om. V 28 ἐμπόδιον] ἐφόδιον K 29 ἐν τοῖς Ἀποδεικτικοῖς] potius in Top. Z 2 p. 139b19 sq. 33 φασιν V 34 γὰρ om. KT

Digitized by Google

ψεύδεσθαι καὶ τὸ κοινωνικὸν διαφθείρειν, καθ' ὃ χαρακτηρίζεται τὸ ἡμέτερον εἶδος. δόξει δὲ ἀνοηταίνειν, εἰ εἴπῃ ὅτι εἴωθεν ἡμῖν ὁ κύων νοσήματα προσφέρειν, νομίσῃ δέ τις αὐτὸν τὸν χερσαῖον κύνα λέγειν, ὅπερ οὐ διενοήθη· τὸν ἀστρῷον γὰρ ἠβούλετο εἰπεῖν. δόξει δὲ ψεύδεσθαι λέγων τὸν
5 Αἴαντα νενικηκέναι τὸν Ἕκτορα· οἰήσεται γάρ τις αὐτὸν τὸν Ὀιλέως λέγειν καὶ ψεύστην αὐτὸν προσαγορεύσει. διαφθερεῖ δὲ τὸ κοινωνικόν, λέγω δὲ τὸν λόγον καθ' ὃν μόνοι κοινωνοῦμεν (οὔτε γὰρ αἱ κάτω οὐσίαι οὔτε αἱ ὑπέρτεραι κατὰ τοῦτον κοινωνοῦσιν, αἱ μὲν διὰ τὸ μὴ δύνασθαι, λέγω δὲ τὰ ἄλογα, αἱ δὲ διὰ τὸ μὴ δέεσθαι, λέγω δὲ τὰ θεῖα)· ὅταν γὰρ περὶ
10 ὁμωνύμων λέγῃ τις ἑτέρου μὴ νοοῦντος περὶ ποίου σημαινομένου λέγει, διαφθαρήσεται τὸ κοινωνικόν· πῶς γὰρ κοινωνία τοῦ ἔνδον γενήσεται ἀσαφείας ἐπικρατούσης τῶν λεγομένων; ὥσπερ γὰρ οὐκ ἔστι συμβαλεῖν Χαλδαίους Αἰγυπτίοις μετὰ σαφηνείας τῶν λεγομένων, οὕτως οὐδὲ τοὺς περὶ ὁμωνύμων φθεγγομένους, καὶ εἰ δόξομεν ἀληθεύειν. ὀφείλομεν τοίνυν δια-
15 στείλασθαι τὰ ὁμώνυμα πρὸς ἀναίρεσιν τῆς ἀμφιβολίας· δόξεις γὰρ ἀληθεύειν λέγων στρατεύσασθαι ἐπὶ Ἴλιον τὸν Αἴαντα (ἑκάτερος γὰρ ἐστράτευσεν), ἀμφιβολίαν δὲ ἐπιθήσεις τοῖς λεγομένοις· ἄδηλον γὰρ εἰ τὸν Ὀιλέως βούλει εἰπεῖν ἢ τὸν Τελαμῶνος.

Τούτῳ οὖν τῷ λόγῳ παρακολουθῶν Πορφύριος τὴν ὁμωνυμίαν βούλεται
20 διαστείλασθαι (ὁμώνυμος γὰρ φωνὴ λέγεται τὸ γένος)· λέγει γὰρ περὶ ποίου σημαινομένου λέγει, καὶ εἶθ' οὕτως τὴν τούτου διδασκαλίαν ἐπάγει. καί φησιν ὅτι πρῶτον γένος ἐστὶ τὸ ἀφ' ἑνὸς παρονομασθὲν καὶ προελθόν, οἷον ἀπὸ ἑνὸς τοῦ Ἡρακλέους οἱ Ἡρακλεῖδαι παρωνομάσθησαν καὶ προῆλθον ἐκ τοῦ Ἡρακλέους. καλῶς δὲ πρόσκειται τὸ προελθόν· ἔστι γάρ τινα ἀφ' ἑνὸς
25 παρονομασθέντα καὶ μὴ καλούμενα γένη, καθὸ οὐ προῆλθον ἐξ αὐτοῦ, οἷον ἐκ τοῦ Πυθαγόρα παρωνομάσθησάν τινες Πυθαγόρειοι, γένος δὲ τὸ τοιοῦτον οὐκ ἔστι, καθὸ οὐ προῆλθεν ἐξ αὐτοῦ. ἔχει δὲ τὸ τοιοῦτον γένος τρεῖς σχέσεις· τὴν μὲν μίαν τὴν ἀπὸ τοῦ Ἡρακλέους πρὸς τὸ ἐξ αὐτοῦ πλῆθος, τὴν δὲ ἑτέραν τὴν ἀπὸ τοῦ πλήθους πρὸς τὸν Ἡρακλέα, καὶ τὴν ἄλλην
30 ἣν ἔχει τὸ πλῆθος πρὸς ἑαυτούς. δεύτερον δὲ γένος ἐστὶν ἡ ἑκάστου τῆς

---

2 ἀνοηταίνειν] ἀνόητα λέγειν KT εἴποι K 3 νομίσῃ scripsi: νομίσει libri
4 ἐβούλετο TV δὲ om. K 5 νενικηκέναι K alt. τὸν om. K
6 διαφθείρει KT 7 καθ' ὃν] καθὸ KT μόνον T 7. 8 οὔτε γὰρ—κοινωνοῦσιν om. V 8 τοῦτον Paris. 2089: τοῦτο KT 8. 9 αἱ eras. V (bis)
8 δὲ (post λέγω) om. V 9 post θεῖα add. καὶ διαφθείρει τὸ κοινωνικόν TV
9. 10 ὅταν γὰρ π. ὁμ. λέγῃ] ὅτι π. ὁμ. λέγων TV 11 τοῦ ἔνδον] an τῶν ἀνθρώπων? 12 ὥσπερ—Τελαμῶνος (18) eicias γὰρ om. T συμβαλλεῖν V
14 καὶ εἰ eras. K δοξάσομεν (in ras.) K τοίνυν om. TV 15 δόξεις scripsi: δόξει libri 16 στρατεύεσθαι K 17 δὲ om. V ἐπιθήσει K
18 βούλεται K 20 pr. γὰρ Paris. 2089: δὲ KTV post λέγει γὰρ desiderantur ποσαχῶς λαμβάνεται τὸ γένος καὶ 21 λέγει om. K: λέγει καὶ om. T τούτου] τούτων K 23. 24 οἱ Ἡρακλεῖδαι—Ἡρακλέους om. V 23 οἱ] ὅτι K
24 πρόκειται K¹T προελθόν] προῆλθον V 28 τοῦ om. KV 29 τὴν (post ἑτέραν) Paris. 2089: om. KTV 30 δὲ γένος om. K: δὲ om. T

Digitized by Google

γενέσεως ἀρχὴ οἷον ἡ πατρίς. ἀλλὰ τὸ τοιοῦτον γένος διττόν, τὸ μὲν ἔμψυχον τὸ δὲ ἄψυχον. καὶ ἑκάτερον πάλιν διττόν· τὸ μὲν γὰρ προσεχές ἐστι τὸ δὲ πόρρω. ἐπὶ ἑνὸς δὲ παραδείγματος σαφηνίσωμεν τὰ προειρημένα. ὁ Ἀχιλλεὺς ἄψυχον καὶ προσεχὲς ἔχει τὸ γένος ἀπὸ πατρίδος, 5 ὅταν εἴπῃς αὐτὸν Φθιώτην, ἄψυχον δὲ πόρρω, ὅταν εἴπῃς αὐτὸν Θετταλόν, ἔμψυχον δὲ προσεχές, ὅταν εἴπῃς αὐτὸν ἀπὸ τοῦ Πηλέως, ἔμψυχον δὲ πόρρω, ὅταν εἴπῃς αὐτὸν ἀπὸ τοῦ Αἰακοῦ. καὶ διὰ τί τὸν πατέρα γένος λέγομεν; δικαίως, | εἴ γε αὐτὸν γονέα καλοῦμεν ἀφ' οὗ ἡ γονὴ καὶ τὸ 179v γένος. εἰκὸς δέ τινας εἰπεῖν διὰ τί καὶ ἀπὸ τῆς μητρὸς οὐκ ἔχει τις. 10 καί φαμεν ὅτι ἀπὸ τοῦ τιμιωτέρου μᾶλλον ἔοικε τὸ γένος προέρχεσθαι, τιμιώτερος δὲ τῆς μητρὸς ὁ πατήρ. ἴσως δὲ πάλιν εἴποι τις διὰ τί καὶ τὴν πατρίδα γένος λέγομεν. πρὸς ὃν λέξομεν ὅτι εὐλόγως, εἴ γε δηλοῖ τὸ ὄνομα ἀπὸ τοῦ πατρὸς παραχθέν· εἰ γάρ φαμεν τὸν πατέρα γένος, παρωνομάσθη δὲ ἀπ' αὐτοῦ ἡ πατρίς, διὰ τί καὶ ἡ πατρὶς μὴ λεχθείη γένος; 15 μὴ νομίσῃς δὲ ὅτι ἔλαττον γένος ἐστὶ ἡ πατρὶς τοῦ πατρός, ἐπειδὴ ἀπὸ τοῦ πατρὸς ὠνομάσθη· εἰ γὰρ καὶ ἀπ' αὐτοῦ παρήχθη, ἀλλ' οὖν γε κρεῖττόν ἐστι γένος τοῦ πατρός· αὕτη γάρ ἐστιν ἡ χρηστὰ ἤθη καὶ εὐσεβεῖς νόμους ἡμᾶς διδάσκουσα. ἀμέλει οἱ σωματέμποροι οὐκ ἀπὸ τῶν τυχουσῶν χωρῶν ποιοῦνται τὴν πραγματείαν· πρῶτον γὰρ ἐξετάζουσι τὰς χώρας τῶν σωμάτων 20 οἷαί εἰσιν, οἰόμενοι αὐτὰς ἀσφαλὲς εἶναι κριτήριον ἠθῶν τε καὶ νόμων. δηλοῖ δὲ καὶ αὐτὸς ὁ ποιητὴς προτιμᾶσθαι τῶν γονέων τὰς χώρας, πανταχοῦ προτάττων τῶν γονέων τὰς πατρίδας καὶ πάντων πραγμάτων γλυκυτέρας εἶναι διδάσκων·

τίς πόθεν εἶς ἀνδρῶν; πόθι τοι πόλις ἠδὲ τοκῆες;
ὥς οὐδὲν γλύκιον ἧς πατρίδος οὐδὲ τοκήων.

25 αὐτὰρ Ὀδυσσεύς,

ἱέμενος καὶ καπνὸν ἀποθρώσκοντα νοῆσαι
ἧς γαίης, θανέειν ἱμείρεται.

τρίτον δὲ γένος λέγεται τὸ κατὰ φιλοσοφίαν ἐπὶ πολλὰ ἐξαπλούμενον ὥσπερ τὸ ζῷον· τοῦτο γὰρ ἐξαπλοῦται ἐπὶ πολλά· διήκει γὰρ ἐπὶ ἄνθρωπον 30 καὶ κύνα καὶ ἄλλα. ἔοικε δὲ τοῦτο τοῖς δύο τοῖς προηγουμένοις. καὶ τῷ μὲν λέγοντι 'τὸ ἀφ' ἑνὸς παρονομασθὲν καὶ προελθόν' ἔοικε, καθὸ πολλὰ περιέχει ἐν ἑαυτῷ· ὥσπερ γὰρ ὁ Ἡρακλῆς ἅπαν τὸ ὑπ' αὐτὸν γένος περι-

---

1 οἷον ἡ πατρίς eicias ἀλλὰ] ἔστι δὲ K γένος (post τοιοῦτον) om. V
1. 2 τὸ μὲν ἔμψυχον—διττόν post πόρρω (3) transp. V 1 καὶ τὸ μὲν V 2 καὶ ἑκάτερον] ἑκάτερον δὲ K πάλιν] τούτων KT γὰρ om. K 3 σαφηνίσωμεν KV 4 ἀχιλεὺς T 6 τοῦ (ante Πηλέως) om. T 7 αὐτὸν om. V
8. 9 τὸ γένος post οὐκ ἔχει τις transponas 9 ante διὰ add. καὶ T 11 εἴπῃ V
13 ἀπὸ om. K 14. 15 διὰ τί—ἡ πατρὶς τοῦ πατρός] γένος ἄρα καὶ αὐτή K
14 μὴ post τί transp. T 15 τοῦ πατρὸς ἡ πατρὶς colloc. T 16 αὐτοῦ γε K παρήχθη] παρηνέχθη V 18 ἡμᾶς ex ὑμᾶς corr. T 21 γονέων] γενῶν V χώρας] πατρίδας K 22 τῶν γον. τὰς πατρ.] ἐκείνων αὐτὰς K 23 τίς πόθεν . .] Hom. α 170 alias εἷς] ἧς KT 24 ὥς οὐδὲν . . .] Hom. ι 34 ἧς] ἔης K: ἐστι T 25 αὐτὰρ Ὀδ.] Hom. α 57 26 καὶ om. T ἀναθρώσκ. KT
31 τὸ—προελθὸν Paris. 2089: τοῦ (ἀπὸ τοῦ V) ἀφ' ἑνὸς παρωνομάσθαι καὶ προελθεῖν KTV (cf. p. 123,22 125,2) 32 ἑαυτῷ] αὐτῷ V

Digitized by Google

ἔχει, οὕτω καὶ τὸ ζῷον πάντα τὰ ὑπ' αὐτὸ περιέχει. τῷ δὲ λέγοντι 'ἡ ἑκάστου τῆς γενέσεως ἀρχή' ἔοικεν, ὅτι ὥσπερ ὁ πατὴρ ἀρχή ἐστι τοῦ γένους ὁμοίως δὲ καὶ ἡ πατρίς, οὕτω καὶ τὸ ζῷον ἀρχή ἐστι τῶν ὑπ' αὐτό.

Ἓν δὲ λοιπὸν ζητήσαντες ἐπ' αὐτῷ καταπαύσομεν τὴν παροῦσαν θεω-
5 ρίαν· καταβοῶσί τινες Πορφυρίου λέγοντες ὅτι οὐκ ἐπεξῆλθε πᾶσι τοῖς γένεσι· παρῆκε γὰρ τὰ πέντε γένη τοῦ Πλάτωνος· φησὶ γὰρ ὁ Πλάτων πέντε γένη εἶναι πάντων τῶν ὄντων, οὐσίαν ταυτότητα ἑτερότητα κίνησιν στάσιν. καὶ οὐσίαν μὲν ἔλεγε τὴν ὕπαρξιν ἑνὸς ἑκάστου· ἔλεγε γάρ· εἰ ὄντα ἔστι, πάντως ἔχει καὶ ὕπαρξιν. ἐπειδὴ οὖν ἐν πολλοῖς ἐστιν ἡ ὕπαρξις, ἔλεγεν
10 αὐτὴν γένος. ταυτότητα δὲ καὶ ἑτερότητα ἔλεγε τὴν κοινωνίαν καὶ τὴν διαφορὰν ἑνὸς ἑκάστου· ἔλεγε γὰρ πάντα τὰ ὄντα κατά τι πρὸς ἄλληλα κοινωνεῖν καὶ κατά τι διαφέρειν· ἀδύνατον γὰρ πάντῃ τὰ πάντα κοινωνεῖν ἢ πάντῃ διαφέρειν. τὴν μὲν οὖν ταυτότητα κοινωνίαν ἔλεγε τὴν δὲ ἑτερότητα διαφοράν. ἐπειδὴ οὖν ἐν πολλοῖς ἐστι | κοινωνία καὶ διαφορά, γένη 180r
15 αὐτὰ ὠνόμαζε. κίνησιν δὲ τὴν ἐνέργειαν ἔλεγε· πάντα γὰρ τὰ ὄντα ἀπὸ τῆς φύσεως ἐδημιουργήθη. εἰ οὖν μηδὲν μάτην ἡ φύσις ἐδημιούργησε, δῆλον ὅτι πάντα τὰ ὄντα ἔχει ἐνέργειάν τινα. ταύτην οὖν τὴν ἐν πᾶσιν ὑπάρχουσαν ἐνέργειαν ἐκάλει κίνησιν. στάσιν δὲ ἔλεγε τὴν ἠρεμίαν· ἔλεγε γὰρ ὅτι ὅπου ἐστὶν ἐνέργεια, πάντως ἐστὶν ἐκεῖ καὶ ἠρεμία· ἀδύνατον γάρ
20 ἐστιν ἀεὶ καὶ ὡσαύτως ἐνεργεῖν τινα, ἀλλὰ μὴν καὶ τὰ θεῖα, ἅπερ φαμὲν ἀεὶ ἐνεργεῖν, ἐν τῷ ἀεὶ ἐνεργεῖν ἔχει καί τινα ἠρεμίαν· τὸ γὰρ ἀεὶ ἐν τῷ αὐτῷ ἐνεργεῖν στάσιν καὶ μονήν τινα δηλοῖ. καὶ ὁ πόλος ὁ ἀεὶ κινούμενος ἐν τῇ ἀεικινησίᾳ μονήν τινα ἔχει. ταῦτα οὖν, φασί, παρῆκεν ὁ Πορφύριος. οὐ μόνον δὲ ταῦτα, ἀλλὰ καὶ ἕτερά τινα· λέγουσι γὰρ ὅτι ἐν τοῖς Φυσικοῖς
25 φησιν ὁ Ἀριστοτέλης γένος εἶναι τὴν ὕλην, τούτου δὲ οὐκ ἐμνήσθη. ἀλλὰ μὴν καὶ τῶν παρὰ τοῖς γραμματικοῖς γενῶν οὐκ ἐμνήσθη, τοῦτ' ἔστιν ἀρσενικοῦ θηλυκοῦ οὐδετέρου. καὶ λέγομεν ὅτι οὐ καλῶς μέμφονται Πορφυρίῳ ἐάσαντι τὰ τοιαῦτα· οὔτε γὰρ προέκειτο αὐτῷ θεολογῆσαι, ἵνα μησθῇ τῶν πέντε γενῶν Πλάτωνος (καὶ γὰρ Πλάτων θεολογῆσαι βουλόμενος τού-
30 των ἐμνήσθη), ἀλλὰ μὴν οὔτε φυσιολογῆσαι αὐτῷ προέκειτο, ἵνα μνησθῇ τοῦ γένους τῆς ὕλης. διαλεκτικώτερον οὖν βουλόμενος διαλαβεῖν μᾶλλον τοῖς λεχθεῖσιν ἠρκέσθη διαχωρίζων τὰ κατὰ συνήθειαν τῶν κατὰ φιλοσοφίαν. τί δὲ εἶχε τῶν παρὰ τοῖς γραμματικοῖς μνησθῆναι, οἷς αἱ φωναὶ φίλαι

---

4 ζητοῦντες V αὐτὸ KT 6 τοῦ om. KT φησὶ γὰρ ὁ Πλάτων] cf. Sophist. c. 40 p. 254 D.E 7 εἶναι γένη colloc. V 8 pr. ἔλεγε] λέγει V 8. 9 ἑνὸς—ὕπαρξιν om. V 9 ἔχουσι T τὴν ὕπαρξιν K ἡ om. T 10 τὴν (ante διαφορὰν) om. V 12 καὶ κατά τι—κοινωνεῖν om. V 13 τὴν δὲ ἑτερότητα—πάντα γὰρ (15) in mrg. suppl. T 15 ὀνομάζη V 16 οὐδὲν K 18 καλεῖ V κίνησιν om. V 19 ὅτι om. KT alt. ἐστὶν om. K 20 ἀεὶ καὶ om. KT post μὴν add. εὖγε τῆς τῶν φιλοσόφων φρονήσεως V 21 ἐν τῷ ἀεὶ ἐνεργεῖν om. K 22 ὁ (post πόλος) om. T 24 ἐν τοῖς φυσικοῖς] cf. A 6 p. 189a11 sq. 25 τοῦτο V 26 τοῖς om. K 27 καὶ οὐδετέρου K ὅτι om. K οὐ καλῶς] οὐκ ἄλλως V¹ 27. 28 πορφυρίου ἐάσαντος TV 30 ἐμνήσατο KT an οὐδὲ ?

Digitized by Google

καθεστήκασι μόναι, οὐδαμῶς δὲ τὰ σημαινόμενα; παρ' οἷς ἔστιν εὑρεῖν οὐδέτερα καὶ ἀρρενικὰ καὶ θηλυκὰ ἔμψυχά τε καὶ ἄψυχα, ἀλλὰ μὴν καὶ ἀρρενικὰ καὶ θηλυκὰ μόνον, μόνον ἀρρενικὰ ὥσπερ τὸ ἀετὸς καὶ μόνον θηλυκὰ ὥσπερ τὸ χελιδών, ἅτινα ἐπίκοινα καλοῦσι. δικαίως ἄρα καὶ τῶν τοιούτων ὁ φιλόσοφος οὐκ ἐμνήσατο. ἐφ' οἷς ἡ παροῦσα θεωρία πληρούσθω.

Πρᾶξις ι'.

p. 1,18 Ἔοικε δὲ μήτε τὸ γένος μήτε τὸ εἶδος ἁπλῶς λέγεσθαι.

Ἐπειδήπερ εἰσί τινες φωναί μίαν ἔχουσαι σημασίαν, εἰσὶ δὲ ἄλλαι πολλὰ σημαίνουσαι, φησὶν ὅτι τὸ γένος οὐ μίαν ἔχει σημασίαν, ἀλλὰ πολλάς· τοῦτο γὰρ δηλοῖ τὸ ἁπλῶς. τὸ δὲ ἁπλῶς τετραχῶς λαμβάνεται· λαμβάνεται γὰρ κυρίως καὶ ὡς καθόλου καὶ ὡς ἔτυχε καὶ ἀντὶ τοῦ μοναχὸν καὶ ἀποίκιλον· τοῦτο γὰρ αὐτό φησι καὶ ὁ τραγικὸς

ἁπλοῦς ὁ μῦθος τῆς ἀληθείας ἔφυ.

τὸ δὲ ἔοικε τριχῶς· πῇ μὲν ἐπὶ τοῦ πρέποντος, πῇ δὲ ἐπὶ τοῦ ὁμοιωθῆναι, ποτὲ δὲ ἀντὶ τοῦ φαίνεται. ἐνταῦθα ἀντὶ τοῦ φαίνεται κεῖται· φαίνεται δὲ μήτε τὸ γένος μήτε τὸ εἶδος μοναχῶς καὶ ἀποικίλως λέγεσθαι, ἀλλὰ πολλαχῶς καὶ πολυειδῶς. ἀποροῦσι δέ τινες διὰ τί περὶ γένους διαλαμ|βάνων εἴδους ἐμνήσατο. καί φαμεν ὅτι οὐκ ἔστι τοῦτο ἄτοπον· 180v ταῦτα γὰρ τῶν πρός τί ἐστιν, ὁσαχῶς δὲ θάτερον τῶν πρός τι λαμβάνεται, τοσαυταχῶς καὶ τὸ ἕτερον. ἐπεὶ οὖν πολλαχῶς λέγεται τὸ γένος, ἐζήτησεν ὁ Πορφύριος ταὐτὸν καὶ ἐπὶ τοῦ εἴδους δεῖξαι· τῶν γὰρ πρός τί ἐστι καὶ ἀναγκαίως αὐτοῦ ἐμνήσατο.

p. 1,18 Γένος γὰρ λέγεται καὶ ἡ τινῶν ἐχόντων πως πρὸς ἕν τι καὶ πρὸς ἀλλήλους ἄθροισις.

Καλῶς εἶπε τὸ πώς, ἵνα δείξῃ ὅτι οὐ μόνον τὸ ὀνομασθὲν ἀπό τινος γένος καλεῖται, ἀλλὰ καὶ τὸ ἐξ αὐτοῦ προελθόν. τοῦτο δὲ δηλοῖ τὸ

---

1 μόναι om. V 2 οὐδέτερά τε KT καὶ (ante ἀρρενικὰ) om. K ἔμψυχα (τε καὶ ἄψυχα om.) post οὐδέτερα transp. V 3 θηλυκὰ μόνον καὶ ἀρρ. colloc. T: θηλ. καὶ ἀρ. μόνον V alt. μόνον om. KV ἀρρενικὰ (post μόνον) om. T 3. 4 καὶ μόνον καὶ θηλ. ὥσπερ τὸ χελ. K: καὶ ὥσπερ τὸ χελ. θηλυκόν (μόνον om.) T 5 ἐμνήσθη T ἐφ' οἷς] ἐπὶ τούτοις T παροῦσα om. V πληρούσθω om. V 6 πρᾶξις ι' om. TV 7 τὸ εἶδος μήτε τὸ γένος colloc. V 8 μίαν μὲν T σημ. ἔχουσαι colloc. V 9 πολλὰς T τὴν σημασίαν KT 10 τετραχῶς] τριχῶς V 11 κυρίως καὶ om. V 11. 12 an μοναχῶς καὶ ἀποικίλως? (cf. v. 16) 12 ἀποίκιλλον T ὁ τραγικὸς] Eurip. Phoen. 472 14 τὸ δὲ] καὶ τὸ K ἐπὶ τοῦ (ante ὁμοιωθῆναι) om. V 15 ἐνταῦθα—φαίνεται om. V ἐνταῦθα δὲ K 16 μοναχικῶς K 18 ἐμνήσατο εἴδους colloc. V ἐμνήσθη T ὅτι om. K τοῦτο om. V 19 pr. τῶν om. V 24 post καὶ add. ἡ KV 25 ὀνομασθὲν scripsi: ὀνομασθῆναι libri (cf. p. 124,31)

Digitized by Google

πώς· φησὶ γὰρ γένος λέγεται ἡ ἄθροισις τῶν ἐχόντων πως πρὸς ἀλλήλους, τοῦτ' ἔστι τῶν ἐχόντων οἰκειότητα γένους. καὶ εἴπομεν ὅτι τὸ ὀνομάζεσθαι μόνον οὐ δηλοῖ τὸ γένος, εἴ γε τὸ Πυθαγόρειον οὐ λέγεται γένος, μόνον παρονομασθέν, ἀλλὰ καὶ τὸ προέρχεσθαι ἀπό τινος, ὅπερ σημαίνει τὸ πώς. διὰ δὲ τοῦ εἰπεῖν πρὸς ἕν τι ἐχόντων δηλοῖ τὴν ἀπὸ τοῦ πλήθους πρὸς τὸν ἕνα σχέσιν. ἀλλὰ μὴν καὶ τῷ εἰπεῖν πρὸς ἀλλήλους δηλοῖ τὴν πρὸς ἀλλήλους σχέσιν· ἐπιφέρει γὰρ ἐν τοῖς ἑξῆς τὴν ἄλλην.

p. 1,20 Ἐκ τῆς ἀφ' ἑνὸς σχέσεως, λέγω δὴ τοῦ Ἡρακλέους.

Ὧδε τὴν ἀπὸ τοῦ ἑνὸς πρὸς τὸ πλῆθος σχέσιν δηλοῖ.

p. 1,21 Καὶ τοῦ πλήθους τῶν ἐχόντων πως πρὸς ἀλλήλους τὴν ἀπ' ἐκείνου οἰκειότητα κατὰ ἀποτομὴν τῶν ἄλλων γενῶν κεκλημένου.

Κατὰ ἀποτομήν φησι κατὰ προσηγορίαν· ἡ γὰρ προσηγορία δίκην ὁρισμοῦ ἔχουσα διαχωρίζει καὶ οἷον ἀποτέμνει τὰ σημαινόμενα ἀπ' ἀλλήλων. λέγει οὖν τοῦ πλήθους τοῦ Ἡρακλέους κατὰ προσηγορίαν, τοῦτ' ἔστι κατὰ ἀποτομήν, τῶν ἄλλων γενῶν κεκλημένου· ὅταν γὰρ εἴπω Ἡρακλεῖδαι, διαχωρίζω αὐτὸ ἀπὸ τῶν ἄλλων γενῶν, λέγω δὴ τῶν εἰρησομένων. ἀναλαμβάνει δὲ τὴν πρὸς ἀλλήλους σχέσιν λέγων τῶν ἐχόντων πρὸς ἀλλήλους τὴν ἀπ' ἐκείνου οἰκειότητα.

p. 1,23 Λέγεται δὲ καὶ ἄλλως πάλιν γένος ἡ ἑκάστου τῆς γενέσεως ἀρχὴ ἤτοι ἀπὸ τοῦ τεκόντος ἢ ἀπὸ τοῦ τόπου, ἐν ᾧ τις γέγονε.

Καλῶς αὐτὸ ἔφρασε καὶ σαφῶς. τὰ δὲ παραδείγματα οὐκ ἐπὶ ἑνὸς παρέθετο, ὡς ἡμεῖς εἴπομεν ἐν τῇ θεωρίᾳ, ἀλλ' ἐπὶ μὲν ἄλλου τὸ προσεχές, ἐπὶ δὲ ἄλλου τὸ πόρρω· Ὀρέστην ἀπὸ Ταντάλου φαμὲν ἔχειν τὸ γένος (τοῦτο πόρρω ἐστίν), Ὕλλον δὲ ἀφ' Ἡρακλέους (τοῦτο προσεχές ἐστιν), Πίνδαρον δὲ Θηβαῖον (καὶ τοῦτο προσεχές), Πλάτωνα δὲ

---

2 εἴπομεν] p. 123,24 3 alt. τὸ om. K πυθαγόρειον Paris. 2089: πυθαγόρειοι KT: πυθαγόριοι V 4 προσέρχεσθαι V 6 τῷ] τὸ KT 7 ἀλλήλας (alt. l.) V 9 ἐκ τῆς om. V ἡρακλέος T (const.) 10 ὧδε δὲ V δηλοῖ σχέσιν colloc. V 11 ἄλληλα ex ἀλλήλους corr. T ante τὴν add. διὰ V 12 τὴν ἀπὸ τῶν ἄλλων Porph. 14 φασι V τὴν προσ. K 15 ὁρισμῶν TV 17 γὰρ om. T 18 αὐτοὺς K: αὐτῷ V δὴ] δὲ TV εἰρημένων T 19. 20 τὴν πρὸς ἀλλ. οἰκ. (ἀπ' ἐκείνου om.) T 21 δὲ om. V 22 ἤτοι—ἢ] εἴτε—εἴτε Porph. τόπου om. V 25 εἴπομεν] p. 124,3 27 ὅλον T 28 καὶ om. KV

Digitized by Google

Ἀθηναῖον (τοῦτο δὲ πόρρω ἐστί). καὶ εἰ ἐξ αὐτῶν τῶν Ἀθηνῶν ὑπῆρχεν ὁ Πλάτων, πῶς πόρρω ἐστί; φασὶν οὖν ὅτι πάλαι εἰς κώμας ἐμεμέριστο ἡ Ἀττική· πόρρω οὖν γένος τῷ Πλάτωνί ἐστιν ἡ Ἀττική, προσεχὲς δὲ ἡ μία τῶν κωμῶν. οἱ δὲ τοὺς τόπους ἐπὶ τῶν παραδειγμάτων εἰρημένους ἀγνοήσαντες καὶ ἀπορίαν | ψυχρὰν ἐκτίθενται καὶ λύσιν· ἐπὶ γὰρ Πινδάρου 181r τούναντίον δεῖ λέγειν ὅτι ὁ Πίνδαρος μὲν Θηβαῖος λεγόμενος πόρρω ἔχει τὸ γένος ἀπὸ τῆς πατρίδος· οὐ γὰρ ἦν ἀπὸ Θηβῶν, ἀλλ' ἀπὸ κώμης τῆς τῶν Κυνὸς κεφαλῶν. ὥστε οὖν προσεχὲς μὲν αὐτῷ γένος ὑπάρχει ἡ κώμη, πόρρω δὲ αἱ Θῆβαι. Πλάτων δὲ Ἀθηναῖος λεγόμενος προσεχὲς ἔχει τὸ γένος.

p. 2,4 Καὶ γὰρ ἡ πατρὶς ἀρχή τίς ἐστι τῆς ἑκάστου γενέσεως, ὥσπερ καὶ ὁ πατήρ.

Ἵνα μηδεὶς εἴπῃ 'καὶ πῶς ἡ πατρὶς λέγεται γένος;' φησὶν ὅτι οὐκ ἄτοπον· ὥσπερ γὰρ ὁ πατὴρ γένος λέγεται, οὕτω καὶ ἡ πατρίς. ἐδείξαμεν δὲ ὅτι καὶ κρεῖττον γένος ὑπάρχει τὸ τῆς πατρίδος ἤπερ τὸ τοῦ πατρός. ἐν οἷς ἡ παροῦσα πρᾶξις.

Πρᾶξις ια'.

Γινώσκοντες τὴν τάξιν ἀκρίβειαν δύνασθαι τῇ διδασκαλίᾳ χαρίζεσθαι, φέρε ὀλίγον τὸν λόγον περὶ αὐτὴν ποιησώμεθα. ζητητέον δὲ οἷα γένη προταγήσεται, ἆρα τὸ κατὰ φιλοσοφίαν ἢ τὰ κατὰ συνήθειαν· ἡ γὰρ συνήθεια τὸν ἁπλῶς ἄνθρωπον λέγει, ἡ δὲ φιλοσοφία τὸν τοιόνδε. εἰ δὲ ὁ ἁπλῶς ἄνθρωπος τοῦ τοιοῦδε προηγεῖται, τὰ κατὰ συνήθειαν τῶν κατὰ φιλοσοφίαν προηγήσεται. ἀλλὰ πάλιν καὶ ἐνταῦθα ἄλλη ζήτησις ὑπάρχει· τῶν γὰρ κατὰ συνήθειαν ζητεῖται ποῖον ἄρα τοῦ ἑτέρου προταγήσεται. καί φασιν ὅτι τὰ δύο φαίνεται ὁ Πορφύριος προτάττων. τοῦτο δὲ ὑπόψυχρον· πῶς γὰρ δύναται τὰ δύο πρῶτα εἶναι; εἰ δὲ καὶ τὰ δύο πρῶτά ἐστιν, ἄρα καὶ ὕστερά ἐστι. πρῶτα δὲ καὶ ὕστερα εἶναι ἑαυτῶν ἄτοπον. μήποτε δὲ τῷ ὄντι καὶ τὰ δύο πρῶτα καὶ ὕστερά φησιν ὁ Πορφύριος,

---

1 δὲ (ante πόρρω) om. V ante καὶ add. φασὶν οὖν ὅτι TV 2 φασὶν γοῦν T: καί φαμεν V 3 ἐστιν] ὑπάρχει V 4 οἱ δὲ—γένος (10) deleas εἰρημένους ante τόπους transp. T: om. K 5 καὶ λύσιν om. V 6 δεῖ λέγειν] λέγουσιν K ὁ om. V 8 τῶν om. KV μὲν] μᾶλλον T γένος om. K ἡ κώμη ὑπάρχει colloc. T 11 ἡ πατρὶς] ὁ πατὴρ K¹ τίς om. K 12 καὶ om. K 14 λέγεται γένος colloc. T ἐδείξ.] p. 124,16 15 τὸ (ante τῆς) om. V ἤπερ] ὥσπερ V 16 ἐν οἷς σὺν θεῷ ἡ πρᾶξις V: om. T 17 πρᾶξις ι' V (cf. p. 126,6): om. T 19 αὐτῶν KV 20 τὸ] τὰ T 21 τοιοῦδε] τοιούτου V 23 προηγήσονται TV καὶ om. K 24 προταγήσεται] προηγήσεται K: προηγεῖται T 25 φαμεν K post ὅτι add. καὶ TV 26 τὰ δύο om. K 27 εἰσι TV (bis) ἑαυτῶν] τὰ αὐτὰ K 28 δὲ Paris. 2089: γὰρ KTV καὶ ὕστερα om. T

Digitized by Google

κατ' ἄλλο δὲ καὶ ἄλλο· οὔτε γὰρ κατὰ τὸ αὐτὸ πρῶτά ἐστι καὶ ὕστερα, ἀλλὰ πρῶτα μὲν τῇ φύσει ὕστερα δὲ τῇ συνηθείᾳ, λέγω δὲ ἡμῖν, καὶ ὕστερα μὲν τῇ φύσει ἡμῖν δὲ πρῶτα. πῶς δὲ τοῦτο ὑπάρχει, λέξομεν ἐν παραδείγματος τρόπῳ. τὰ τῇ φύσει πρῶτά ἐστι ἡμῖν ὕστερα, οἷον τὰ
5 ἁπλᾶ τῇ φύσει πρῶτά ἐστι, τὸ πῦρ τὸ ὕδωρ, ἔστι δὲ ἡμῖν ὕστερα· πρῶτον γὰρ ἀποβλέπομεν εἰς τὸν ἄνθρωπον, καὶ ὕστερον ἐξ αὐτοῦ γινώσκομεν τὰ ἁπλᾶ στοιχεῖα. ἐκ τοῦ ἐναντίου δὲ τὰ τῇ φύσει ὕστερα ἡμῖν πρῶτά ἐστιν, οἷον ὁ ἄνθρωπος τῇ φύσει ὕστερος ἡμῖν δὲ πρῶτος· πρῶτον γὰρ ἐποίησεν ὁ θεὸς τὸ πῦρ τὸ ὕδωρ καὶ τὰ λοιπὰ στοιχεῖα, καὶ ὕστερον ἐποίησεν ἐξ
10 αὐτῶν σύνθετον τὸν ἄνθρωπον. ὁ ἄνθρωπος δὲ ἡμῖν πρῶτός ἐστι· πρῶτον γὰρ γινώσκομεν τὸν ἄνθρωπον καὶ ὕστερον τὰ ἁπλᾶ στοιχεῖα. τοιοῦτον δέ ἐστι καὶ ἐπὶ τῶν προκειμένων γενῶν· τὸ μὲν γὰρ πρῶτόν ἐστι τῇ φύσει, ἡμῖν δὲ ὕστερον. ποῖον δὲ τοῦτο; τὸ λέγον ἡ ἑκάστου τῆς γενέσεως ἀρχὴ ἀπὸ τοῦ τεκόντος ἢ τῆς πατρίδος· πρῶτον γὰρ τοῦτο ἔγνωσται
15 τῇ φύσει ὕστερον δ' ἡμῖν· εἰ μὴ γὰρ φοιτήσωμεν εἰς | διδασκάλους, 181v οὐ γινώσκομεν ὅτι ὁ πατὴρ γένος ἐστὶ καὶ ἡ πατρίς. πρόδηλον οὖν ὅτι προϋπῆρχε τῇ φύσει πρὶν ἢ φοιτήσωμεν εἰς διδασκάλους. φύσιν δὲ λέγω οὐ τὴν δημιουργοῦσαν, ἐπεὶ κατ' ἐκείνην πάντα αὐτῇ πρῶτα ὑπάρχει. τὸ δὲ ἕτερον ὕστερόν ἐστι τῇ φύσει, ἡμῖν δὲ πρῶτον. ποῖον δὲ τοῦτο; τὸ
20 λέγον τὸ ἀφ' ἑνὸς παρονομασθὲν καὶ προελθὸν οἷον Ἡρακλεῖδαι. καὶ πρῶτον ἡμῖν ἐστιν, ὅτι πρῶτον κατανοοῦμεν τοὺς Ἡρακλείδας· οὔτε γὰρ ἀπὸ τοῦ Ἡρακλέους κατανοοῦμεν αὐτούς, ἐπεὶ τοῦτο ὕστερον ἡμῖν εὑρίσκεται, ἀλλ' ἐξ αὐτῶν μανθάνομεν ὅτι ἀπὸ τοῦ Ἡρακλέους κατάγονται. ὕστερον δὲ τῇ φύσει ἐστίν, ὅτι πρῶτον δεῖ τὸν Ἡρακλέα εἶναι, ὕστερον δὲ τοὺς
25 Ἡρακλείδας· κατ' ἄλλο οὖν καὶ ἄλλο φαμὲν αὐτὰ πρῶτα καὶ ὕστερα.

Ἐπειδὴ δὲ καὶ σχέσιν τινὰ ἔχει τὸ γένος πρὸς τὸ εἶδος (ταῦτα γὰρ τῶν πρός τί ἐστι), φέρε μάθωμεν ποία ἂν εἴη αὕτη τεσσάρων οὐσῶν τῶν σχέσεων· ἡ μὲν γάρ ἐστι φυσικὴ ὡς ἡ τοῦ πατρὸς πρὸς τὸν υἱόν, ἡ δὲ

---

1 δὲ] τε T an οὐδὲ? πρῶτόν ἐστι καὶ ὕστερον KV 2 πρῶτον μὲν . . . ὕστερον δὲ K 3 ὕστερον . . . πρῶτον K ὑπάρχει Paris. 2089: ὑπάρξει KTV an λέξωμεν? 4 pr. τὰ Paris. 2089: καὶ KTV ἡμῖν scripsi: καὶ KTV (cf. v. 7) post ὕστερα add. ἐστιν V 5 καὶ τὸ ὕδωρ K 6 γὰρ] μὲν γὰρ K: μὲν V γινώσκομεν KV: λογίζομεθα T 8 post πρῶτος add. ἐστι K 8. 9 ποίησεν] ἐγένετο K (bis) 9 ὁ θεὸς om. KT post πῦρ add. καὶ K post λοιπὰ add. ἄλλα KV 10 σύνθετος ὁ ἄνθρωπος K ὁ ἄνθρ. δὲ] οὗτος δὲ K: ὁ δὲ ἄνθρ. T 12 δὲ om. K γενῶν om. V alt. ἐστι om. T 13 δὲ] ἐστιν T ποῖον δὲ τοῦτο] οἷον οὗτος T: οἷος δὲ οὗτος V 13. 20 τὸ λέγον Paris. 2089: περὶ οὗ λέγει K: ὁ λέγων TV 13 ἑκάστη V 15. 17 φοιτήσωμεν] φοιτήσομεν libri 16 ὁ om. V οὖν] γὰρ KV 17 προυπῆρχε] ὑπῆρχε πρότερον K λέγω δὲ φύσιν colloc. T 18 πάντα αὐτῇ πρῶτα Paris. 2089: πάντων αὕτη (αὐτὴ V) πρώτη KTV 19 ποῖος δὲ οὗτος TV 20 προελθὼν V 21 καὶ om. V πρῶτα (post ὅτι) K οὔτε Paris. 2089: οὕτω KTV; an οὐδὲ? 22 αὐτῶν] αὐτοῦ T 25 οὖν] δὲ K αὐτὰ om. K 26 τινὰ καὶ σχέσιν colloc. V 27 ἐστι] εἰσι K αὕτη ex ταῦτα corr. V 28 γάρ eras. K ὡς (post φυσικὴ) om. V

Digitized by Google

προαιρετικὴ ὡς ἡ φίλου πρὸς φίλον, ἡ δὲ τεχνικὴ ὡς ἡ διδασκάλου πρὸς μαθητήν, ἡ δὲ τυχηρὰ ὡς ἡ δεσπότου πρὸς δοῦλον. ἀλλ' ἐπειδὴ ἀμφιβάλλεται καὶ τὸ δεξιὸν ποίαν ἔχει σχέσιν πρὸς τὸ ἀριστερόν, φέρε περὶ αὐτοῦ πρῶτον εἴπωμεν καὶ μετὰ τοῦτο περὶ τοῦ γένους. τὸ δεξιὸν τοίνυν
5 ἐὰν ὡσαύτως ἀεὶ ἔχῃ, φυσικὴν ἔχει σχέσιν, εἴτε ἐν ἀψύχοις ᾖ εἴτε ἐν ἐμψύχοις, οἷον τὸ ἵππαρ εἰς τὸ δεξιὸν καὶ ὁ σπλὴν εἰς τὸ ἀριστερόν· φυσικὴ δὲ ἡ τοιαύτη σχέσις. ἐὰν δὲ μὴ ὡσαύτως ἔχῃ, προαιρετικὴν ἔχει τὴν σχέσιν· δύναμαι γὰρ τὸ μὴ κωλυόμενον ὑπὸ τῆς φύσεως ἀριστερὸν ποιῆσαι δεξιόν· ἀμέλει τοῦτο αὐτὸ γινώσκων ὁ συγγραφεὺς Θουκυδίδης φησίν
10 'εἰσιόντων δὲ ἡμῶν ἐπὶ τὸ Ἰόνιον πέλαγος εἴχομεν ἐν τῇ δεξιᾷ τὴν Ἐπίδαμνον'. προαιρετικὴ δὲ ἡ τοιαύτη σχέσις, καὶ διὰ τοῦτο εἶπε τὸ 'εἰσιόντων', ὡς δῆλον 'ἐξιόντων ἐπὶ τὸ ἀριστερὸν εἴχομεν τὴν Ἐπίδαμνον'. ἔχει δὲ τὸ γένος πρὸς τὸ εἶδος τὴν σχέσιν φυσικήν· ὡς γὰρ ἔχει ὁ πατὴρ πρὸς τὸν υἱὸν φυσικὴν σχέσιν, οὕτω καὶ τὸ ζῷον πρὸς τὸν ἄνθρωπον.

15 Πρᾶξις ιβ'.

Μετὰ τὸ διαστείλασθαι τὴν ὁμωνυμίαν καὶ δηλῶσαι περὶ ποίου σημαινομένου διαλαβεῖν βουλόμεθα, εὐλόγως ἐπὶ τὴν διδασκαλίαν βαδίζοντες ἐῶντες τὸ εἰ ἔστιν ἀπὸ τοῦ τί ἐστι τὴν ἀρχὴν ποιησόμεθα· τοῦτο γὰρ καὶ ἐπηγγειλάμεθα μὴ ζητεῖν εἰ ἐν ψιλαῖς ἐπινοίαις ἐστὶν ἢ ὑφέστηκε.
20 ἰστέον δὲ ὅτι τὸ εἰ ἔστι δικαίως τοῦ τί ἐστι προηγεῖται· δύο γὰρ ἔχει τὸ εἰ ἔστιν ἢ τὸ εἶναι ἢ τὸ μὴ εἶναι· δεῖ οὖν ἡμᾶς πρῶτον τὸ εἰ ἔστι ζητεῖν, ἵνα εἰ μὲν ἔστι, ζητήσωμεν τὸ τί ἐστιν, εἰ δὲ μὴ ἔστι, τί ἐστι μὴ πολυπραγμονήσωμεν. ἐπειδὴ δὲ τὸ τί ἐστιν | ἢ δι' ὑπογραφῆς ἢ δι' ὁρισμοῦ 182r
δηλοῦται, φέρε πρῶτον λέξωμεν ποία διαφορά ἐστι τῆς ὑπογραφῆς καὶ τοῦ
25 ὁρισμοῦ καὶ ὕστερον λέγωμεν εἰ ὁρισμός ἐστιν ὧδε τοῦ γένους ἢ ὑπογραφή.

Διαφέρει τοίνυν ὁρισμὸς τῆς ὑπογραφῆς, ὅτι ὁ μὲν ὁρισμὸς ἐξ οὐσιωδῶν φωνῶν συνίσταται πάντως, ἡ δὲ ὑπογραφὴ ἢ ἐξ ὅλων ἐπουσιωδῶν ἢ τινῶν. ἔτι διαφέρει ὁρισμὸς τῆς ὑπογραφῆς, ὅτι ὁ ὁρισμὸς ἐπὶ ὄντων

---

1 ἡ (ante φίλου) om. KV ἡ (ante διδασκ.) om. V 2 τὸν μαθητήν V ἡ (ante δεσπότου) om. V 4 καὶ μετὰ τοῦτο] καὶ περὶ αὐτοῦ ὡς T: ὡς V 5 ἀεὶ om. V 5. 6 εἴτε ἐν ἀψύχοις ἢ εἴτε ἐν ἐμψύχοις Paris. 2089: εἰς τὸ ἓν ἄψυχον καὶ εἰς τὸ ἓν (ἓν om. V) ἔμψυχον KTV 6 τὸ (ante δεξιὸν) om. T 7 ἐὰν ἔχῃ] εἰ . . ἔχει V τὴν om. T 9 Θουκυδίδης om. KT (cf. Thuc. I 24) φησὶν post πέλαγος transp. T 10 ἐπὶ] εἰς K ἰόνιον ex ἰώνιον corr. K: ἰονικὸν (ex ἰωνικὸν corr.) V 11 τὸ (post εἶπε) om. TV 12 εἴχομεν] ἔχειν V 13 ὁ Paris. 2089: om. KTV 14 pr. τὸν om. T 15 πρᾶξις ια' V: om. T 16. 17 ποίου σημαιν.] περὶ τοῦ σημαιν. περὶ οὗ V 18 ποιησώμεθα KT 19 ἐν ψιλ. ἐπιν. εἰ ἔστιν V 20 ἰστέον—πολυπραγμονήσωμεν (23) eicias δὲ ὅτι om. K pr. τὸ ex τὸ δὲ corr. K τοῦ τί ἐστι δικαίως colloc. K προήγηται K 23 ἐπεὶ V δι' ὁρισμοῦ ἢ δι' ὑπογραφῆς colloc. V 24 λέξομεν V 25 λέγομεν KV 27 ἢ (post ὑπογραφὴ) om. V 28 ὁ om. V

Digitized by Google

πάντως λαμβάνεται, ἡ δὲ ὑπογραφὴ καὶ ἐπὶ ὄντων καὶ μὴ ὄντων, ἐπὶ ὄντων μὲν ὡς ἵνα εἴπῃς 'ὁ ἄνθρωπος ζῷον γελαστικὸν πλατυώνυχον', ἐπὶ μὴ ὄντων δὲ ὡς ἵνα ὑπογράψῃς τὸ κενόν· οὕτω γὰρ ὑπογράφει Ἀριστοτέλης 'κενόν ἐστι τόπος σώματος ἐστερημένος'. ἐπεὶ οὖν ἔγνωμεν τὴν διαφορὰν
5 τοῦ ὁρισμοῦ καὶ τῆς ὑπογραφῆς, φέρε ζητήσωμεν εἰ ὁρίζει μᾶλλον ὁ Πορφύριος τὸ γένος ἢ ὑπογράφει· λέγουσι γάρ τινες ὅτι ὑπογράφει. καὶ ἀποροῦμεν πρὸς αὐτοὺς λέγοντες· διὰ τί μὴ μᾶλλον ὁρίζει ἀλλ' ὑπογράφει; φασὶ δὲ ὅτι δικαίως ὑπογράφει· εἰ γὰρ εἴπομεν φεύγειν τὴν ζήτησιν τοῦ εἰ ἔστιν ἢ μὴ ἔστιν, ἐδείχθη δὲ ὁ ὁρισμὸς ἐπὶ ὄντων πάντως λαμβάνεσθαι,
10 εὐλόγως οὐχ ὡρίσατο ὁ Πορφύριος, ἵνα μὴ διὰ τοῦ ὁρισμοῦ δείξῃ τὸ γένος τῶν ὄντων, ἀλλ' ὑπέγραψε δυναμένης τῆς ὑπογραφῆς καὶ ἐπὶ ὄντων καὶ μὴ ὄντων λαμβάνεσθαι, ὡς ἐδείχθη. ἔτι λέγουσιν ὅτι οὐκ ἠδύνατο ὁρίσασθαι τὸ γένος, ἐπειδὴ τὸ ὁριζόμενον θέλει ἔχειν τι ὑπερβεβηκός, τοῦ δὲ καθολικοῦ γένους ὑπερβεβηκός τι οὐκ ἔστιν. ὅτι δὲ ὁ λόγος ἀληθεύει,
15 σαφὲς καὶ ἐκ τῆς διαφορᾶς, ἥτις ὁμοίως καθολικὴ οὖσα καὶ μὴ ἔχουσα ὑπερβεβηκὸς ἄλλο τι φεύγει τὸν ὁρισμόν. φαμὲν δὲ πρὸς τοῦτο ὅτι οὐκ ἔστιν ἀληθές· λέγομεν γάρ· εἰ διὰ τὸ μὴ ἔχειν ὑπερβεβηκός τι τὸ γένος οὐχ ὡρίσθη οὔτε μὴν ἡ διαφορά, διὰ τί τὸ εἶδος καὶ αἱ λοιπαὶ φωναὶ ἔχουσαι ὑπερβεβηκότα οὐχ ὁρίζονται ἀλλ' ὑπογράφονται; πρὸς τοῦτο δὲ
20 καθολικωτέραν ὑπὲρ τῶν πέντε φωνῶν λέγουσιν ἀπολογίαν, ὡς οὐκ ἠδύνατο ὁρίζεσθαι· φασὶ γάρ· αὗται αἱ φωναὶ ὁμώνυμοί εἰσιν, ὁμώνυμοι δὲ οὖσαι πολλὰς φύσεις δηλοῦσιν, ὁ ὁρισμὸς δὲ μίαν φύσιν θέλει δηλοῦν, πῶς οὖν ὁ ὁρισμὸς ἠδύνατο ἐπὶ τούτων λαμβάνεσθαι θέλων μίαν φύσιν δηλῶσαι αὐτῶν πολλὰς φύσεις σημαινουσῶν; ἀλλ' εἰ καὶ εἴπῃς δυνατὸν τὰς ὁμωνύ-
25 μους φωνὰς ὁρίζεσθαι, ἐὰν διαστολῆς τύχωσι, φαμὲν ὅτι ὁ Πορφύριος ταύτας τὰς φωνὰς ὅλας ὡς ὅλας βούλεται ὁρίσασθαι. λέγομεν δὲ πρὸς τούτους ὅτι μάταια φθέγγεσθε· τούτῳ γὰρ τῷ λόγῳ οὐδὲ ὑπογράφειν ὤφειλεν ὁ Πορφύριος τὰς τοιαύτας φωνάς· εἰκὼν γὰρ τοῦ ὁρισμοῦ ἡ ὑπογραφή· εἰ δὲ ὁ ὁρισμὸς μίαν φύσιν δηλοῖ, ἄρα καὶ ἡ ὑπογραφή· εἰ δὲ
30 καὶ οὐχ ὁρίζονται αἱ προ|κείμεναι φωναὶ διὰ τὸ πολλὰς φύσεις δηλοῦν 182v (ὁμώνυμοι γάρ), οὐκοῦν οὐδὲ ὑπογράφεσθαι ὤφειλον τῆς ὑπογραφῆς μίαν φύσιν δηλούσης. ἔτι τινὲς ἀποροῦσιν· εἰ αἱ προκείμεναι φωναὶ κατὰ τὰ πράγματα ὁμώνυμοι οὖσαι οὐ δύνανται ὁρίζεσθαι (πολλὰ γὰρ σημαίνουσι πράγματα), διὰ τί κατὰ τὴν σχέσιν οὐχ ὁρίζεται τὸ γένος; μία γάρ ἐστιν ἡ

---

1 καὶ (post ὑπογρ.) om. K 2 πλατυόνυχον KTV ἐπὶ] ἐκ K 2. 3 ἐπὶ δὲ τῶν μὴ ὄντων V 3 ὑπογράφῃ (alt. l.) V Ἀριστοτ.] Phys. Δ 1 p. 208b26 6 γὰρ] δὲ V ὑπογράφῃ (alt. loco) V 7 αὐτοὺς] τούτους V ὑπογράφει ex ὑπογράφῃ corr. V 8 φεύγει K 9 ὁ om. V 11. 12 μὴ ὄντων καὶ ὄντων colloc. KT 14 τι (ante οὐκ) om. K 15 pr. καὶ om. V 17 ἀληθῶς V alt. τὸ om. K 20 καθολικώτερον KT 22 θέλει φύσιν colloc. V 24 εἴποις T 26 ὡς ὅλας post ὁρίσασθαι colloc. V 28. 31 ὤφελεν et ὤφελον V 32 κατὰ] καὶ K 33 ὁρίσασθαι T 34 τὴν om. K ὁρίζονται T

Digitized by Google

σχέσις τοῦ τε κατὰ φιλοσοφίαν γένους καὶ τῶν κατὰ συνήθειαν, τὰ δὲ πράγματα διάφορα καὶ πολλά, ἅτινα ὡς εἰκὸς διαφόρους φύσεις ἔχοντα φεύγει τὸν ὁρισμόν· αὕτη γὰρ ἡ σχέσις μία οὖσα ὀφείλει ὁρίζεσθαι· πράγματα δὲ διάφορα σημαίνει τὸ γένος, καθὸ καὶ τὰ κατὰ συνήθειαν καὶ τὰ κατὰ
5 φιλοσοφίαν δηλοῖ, σχέσιν δέ, ἣν ἔχει πρὸς τὰ εἴδη, καὶ πρὸς τὸ πλῆθος καὶ πρὸς τὰ γεννώμενα ⟨ἔχει⟩· αὕτη γὰρ ἐν τοῖς πράγμασι θεωρεῖται. λέγουσι δὲ πρὸς ταῦτα ὅτι οὐκ ἠδύνατο τὸ γένος κατὰ τὴν σχέσιν ὁρίζεσθαι· ἔμελλε γὰρ ὁ λόγος διάλληλος εἶναι, ὃς διαβέβληται παρὰ τοῖς φιλοσόφοις· τὸ γὰρ ἀγνοούμενον διὰ τοῦ ἀγνοουμένου δηλοῦν ἐπιτηδεύει. καὶ πῶς
10 ἔμελλεν ὁ λόγος διάλληλος εἶναι ἐπὶ τούτου τοῦ ὁρισμοῦ; ὅτι ἡμῶν ὁριζόντων τὸ γένος ἐκ τοῦ εἴδους βουλόμεθα αὐτὸ γνῶναι, καὶ πάλιν μαθεῖν βουλόμενοι τί ἐστιν εἶδος ἐμέλλομεν διὰ τοῦ γένους αὐτὸ ὁρίζεσθαι, τὰ δύο δὲ ἀγνοεῖται τί ἐστι γένος τὸ κατηγορούμενον εἴδους καὶ τί ἐστιν εἶδος ὃ ὑποτάσσεται τῷ γένει. πάνυ δὲ κακὴ ἡ ἀπολογία. ἀλλὰ μὴν καὶ τὰ
15 κακῶς ἔχοντα οὐ διελέγξαι ἠδυνήθησαν· ὤφειλον γὰρ πρῶτον ἐλέγξαι ἐκείνους ὅτι οὐκ ἔστι μία ἡ σχέσις ἡ τοῦ κατὰ φιλοσοφίαν γένους καὶ τῶν κατὰ συνήθειαν· κἂν γὰρ ἡ αὐτὴ σχέσις ἐστίν, ἀλλ' οὖν καθὸ σχέσις διάφορος ὑπάρχει· ἡ μὲν γὰρ τοῦ κατὰ φιλοσοφίαν ἄλλη ἐστίν, ἡ δὲ τῶν κατὰ συνήθειαν ἄλλη. οὐκοῦν καὶ τὰ γένη διάφορα. μὴ γνόντες οὖν
20 ἐλέγξαι τοὺς τὴν τοιαύτην ἀπορίαν προενεγκαμένους ἡμαρτημένως ἀπελογήσαντο λέγοντες ὅτι διάλληλος ηὑρίσκετο ὁ λόγος, ὅπερ ἄτοπον, ἀγνοοῦντες ὅτι πάντως ἐπὶ τῶν πρός τι ὁ διάλληλος λόγος ζητεῖται, ἐπὶ δὲ τῶν μὴ σωζόντων πρὸς ἄλληλα οἰκειότητα ὁ διάλληλος λόγος ἀναρμόδιος, ἐπὶ δὲ τῶν πρός τι οὐκέτι· ταῦτα γὰρ πρὸς ἄλληλα ἔχει οἰκειότητα καὶ δι' ἀλλή-
25 λων σημαίνεται. ὁ δὲ λόγος οὗτος οὐδ' ὅλως κωλύει τὴν σχέσιν ὁρίζεσθαι. ἡμεῖς δὲ τί φαμεν; φαμὲν ὅτι ὡρίσατο τὴν σχέσιν ὁ Πορφύριος, ὡς δηλωθήσεται. καὶ ὡς μὲν πρὸς τὴν σχέσιν ὁρισμὸν αὐτὸν εἶναι λέγομεν, ὡς δὲ πρὸς τὰ πράγματα, ἐν οἷς θεωρεῖται, ὑπογραφήν· ὥσπερ γὰρ ὁριζόμεθα τὸ λευκόν, τὸ δὲ λευκὸν πάντως ἐν σώματι θεωρεῖται, καὶ ὡς μὲν πρὸς
30 τὸ λευκὸν ὁρισμὸν τοῦτο καλοῦμεν, ὡς δὲ πρὸς τὸ σῶμα ὑπογραφήν, | οὕτω καὶ τὴν σχέσιν ὁρίζοντες ὅσον μὲν πρὸς αὐτὴν ὁρισμὸν εἶναι λέγομεν, 183r

---

1 τε] γε KT: om. V 3 αὕτη — θεωρεῖται (6) eicias 3. 4 πράγματα δὲ διάφορα Paris. 2089: πράγματος δὲ διαφορὰν KTV 6 ἔχει addidi 7 ταῦτα] τοῦτο T τὴν om. KT 8 ἤμελλε K ὃς] ὅπερ K τοῖς om. K 9 διὰ τοῦ ἀγνοουμένου om. V 10 post ἔμελλε add. φασὶν K 11 αὐτὸν (sic) βουλόμεθα γνῶναι K 11. 12 βουλόμενοι μαθεῖν colloc. K 12 αὐτὸ] αὐτοῦ K: αὐτὰ V^2 τὰ δύο om. K: δύο om. V 13 ἀγνοεῖται δὲ colloc. K εἴδους] εἶδος V 14 ἡ om. TV 15 οὐ διελέγξαι] οὐδὲ ἐλέγξαι T: οὐδὲ λέξαι V 16 ἡ (ante σχέσις) om. V 17 κἂν] εἰ KT 20 τοσαύτην K προενεγκόντας K: προσενεγκαμένους V 21 εὑρίσκεται KV 25 οὐδ' ὅλως om. K 26 φαμὲν (alterum) om. TV 26. 27 δηλωθήσεται] διωρίσατο V^1 27. 28 πρὸς μὲν . . πρὸς δὲ colloc. K 27 αὐτὸν post λέγομεν colloc. K 30 τοῦτο] αὐτὸ V 31 ὁρίζοντες] ὁρίζονται T: om. K λέγομεν εἶναι colloc. V

Digitized by Google

ὅσον δὲ πρὸς τὰ πράγματα ὑπογραφήν. ἔνθεν καὶ πρὸς τὰ πράγματα προσέχοντες, οὐχὶ δὲ πρὸς τὴν σχέσιν, ὑπογραφὴν λέγουσιν, οὐκέτι δὲ ὁρισμόν. πόθεν δὲ ἡ πλάνη; ἐκ τοῦ εἶναι τὴν σχέσιν ἐν τοῖς πράγμασιν.

Πρᾶξις ιγ'.

5 Ἐπειδήπερ ἐπηγγειλάμεθα ὁρίσασθαι τὸ γένος, φέρε χωρήσωμεν ἐπὶ τὸν ὁρισμόν. ὁρίζεται τοίνυν τὸ γένος οὕτως· γένος ἐστὶ τὸ κατὰ πλειόνων καὶ διαφερόντων τῷ εἴδει ἐν τῷ τί ἐστι κατηγορούμενον. ἐπειδήπερ ἀνωτέρω ἐζητήσαμεν ὅτι ἀρετὴ ὁρισμοῦ ἐστι τὸ μόνῳ καὶ τῷ αὐτῷ ἁρμόζειν ἤτοι καὶ ἀντιστρέφειν, φέρε ἴδωμεν ἐπὶ τοῦ παρ-
10 όντος ὁρισμοῦ, εἰ ποτε ἡ ἀρετὴ αὕτη φυλάττεται. φυλάττεται οὖν αὕτη ἡ ἀρετὴ ἀναμφιβόλως· μόνῳ γὰρ τῷ γένει καὶ παντὶ ἁρμόζει· αἱ φωναὶ γὰρ ἑπτά εἰσιν, ἡ μὲν ἄσημος ἡ δὲ σημαντική· αὕτη δὲ διττή, ἡ μὲν γὰρ μερικὴ ἡ δὲ καθόλου· τῶν δὲ καθόλου πέντε εἰσίν, ὡς ἐγνώκαμεν, τοῦτ' ἔστιν αἱ παροῦσαι φωναί. εἰσὶν οὖν ἓξ φωναὶ σημαντικαί, πέντε καθόλου
15 καὶ μία μερική, καὶ ἄλλη ἄσημος συμπληροῦσα τὸν ἑπτὰ ἀριθμόν. ἐκ τούτων τῶν ἑπτὰ μόνῳ τῷ γένει ὁ ὁρισμὸς προσήκει καὶ ἀποδιακρίνει τὸ γένος· ἐν μὲν γὰρ τῷ λέγειν κατηγορούμενον διακρίνει τὴν ἄσημον φωνήν (αὕτη γὰρ μηδὲν σημαίνουσά τινος οὐ κατηγορεῖται), ἐν δὲ τῷ λέγειν κατὰ πλειόνων διακρίνει τὰς μερικὰς ἐκ τῶν καθόλου (αἱ γὰρ
20 μερικαὶ ἐκβληθήσονται κατὰ πλειόνων μὴ φερόμεναι· τὸ γὰρ Σωκράτης ἐπὶ ἄλλου τινὸς οὐ φέρεται· ὑπελείφθησαν δὲ αἱ καθόλου), καὶ ἐν μὲν τῷ λέγειν ἐν τῷ τί ἐστι τρεῖς αὐτῶν ἐκβάλλει, τὴν διαφορὰν τὸ ἴδιον καὶ τὸ συμβεβηκός (αὗται γὰρ οὐκ ἐν τῷ τί ἐστι κατηγοροῦνται, ἀλλ' ἐν τῷ ὁποῖόν τί ἐστι· τὸ ζῷον ποῖόν ἐστι; λογικόν, ὅπερ ἐστὶ διαφορά, γελαστικόν,
25 ὅπερ ἐστὶν ἴδιον, μέλαν ἢ λευκόν, ὅπερ ἐστὶ συμβεβηκός), ἐν δὲ τῷ εἰπεῖν διαφερόντων τῷ εἴδει ἐκβάλλει τὸ εἶδος· εἰ γὰρ κατὰ πλειόνων κατηγορεῖται ἐν τῷ τί ἐστιν, ἀλλ' οὖν οὐ διαφερόντων τῷ εἴδει ἀλλὰ τῷ ἀριθμῷ· κατηγορεῖται γὰρ τὸ εἶδος κατὰ πολλῶν διαφερόντων τῷ ἀριθμῷ, Σωκράτους καὶ Πλάτωνος καὶ ἄλλων πολλῶν, εἴδει δὲ διαφερόντων οὐκέτι, ἐπεὶ ἔσται

---

1. 2 προσχόντες K 2 καὶ οὐχὶ δὲ K 3 τὴν om. K 4 πρᾶξις ιβ' V: om. T 5 ἐπειδὴ οὖν K χωρίσωμεν TV 8 ἀνωτέρω] cf. p. 15,15 9 alt. καὶ om. K ἴδωμεν] εἴπωμεν T 10 αὕτη—ἀρετὴ (11) om. V οὖν] τοίνυν T 11 γὰρ om. T ἁρμόζει] ἁρμόδιος T 12 pr. γὰρ om. TV 12. 13 ἡ μὲν καθόλου ἡ δὲ μερική (γὰρ om.) K 14 ἓξ φ. σημαντικαί] ἑπτὰ φωναί K 15 συμπλ.] πληροῦσα V 16 ἀποδιακρ.] διακρίνει K 21 δὲ] οὖν T 22. 23 τρεῖς — συμβ.] τῶν τριῶν αὐτὴν ἐκβάλλει τῆς διαφορᾶς τοῦ ἰδίου καὶ τοῦ συμβεβηκότος K 22 τρεῖς] τρία V αὐτῶν] αὐτοῦ TV² καὶ om. V 24 ὁποῖόν] ποῖον V ποῖόν] ὁποῖον libri 24. 25 ἐστι (ante διαφ.) om. TV (ante ἴδιον) om. KT διαφορᾶς . . ἰδίου . . συμβεβηκότος T 25 ἢ om. K 26 ἐκβάλλεται T 27 post ἐστι add. τοῦτο K οὖν om. V 28 τὸ εἶδος—τῷ ἀριθμῷ om. K 29 post πολλῶν add. οἱ τῶ ἀριθμῶ διαφέρουσιν K

Digitized by Google

τὸ εἶδος ἑαυτοῦ διαφέρον· τὸ οὖν γένος κατηγορεῖται κατὰ πολλῶν διαφερόντων τῷ ἀριθμῷ καὶ τῷ εἴδει. ἐδείχθη οὖν ὅτι μόνον τὸ γένος ὑπελείφθη καὶ αὐτῷ μόνῳ ἁρμόζει ὁ παρὼν ὁρισμός.

Μέμφονται δέ τινες τὴν τάξιν τῆς διακρίσεως. καὶ καλῶς· φασὶ γὰρ ὅτι πρῶτον δεῖ τὰ πόρρω διαχωρίζειν καὶ ὕστερον τὰ ἐγγύς· ὁρῶμεν γὰρ ὅτι καὶ τὸ πῦρ διακρῖνον τὰ μέταλλα πρῶτον διακρίνει τὰ πόρρω καὶ ὕστερον τὰ ἐγγύς, οἷον χρυσοῦ ὄντος ἅμα καὶ ἀργύρου καὶ ξύλου πρῶτον διακρίνει τὸ ξύλον, ὅπερ ἐστὶ | πόρρω τοῦ ἀργύρου καὶ τοῦ χρυσοῦ, ὕστερον δὲ 183v διακρίνει τὰ ἐγγύς, λέγω δὲ τὸν χρυσὸν ἐκ τοῦ ἀργύρου· ταῦτα γὰρ συγγενῆ ἐστι. τὸ τοιοῦτον δὲ ἔχει καὶ ὁ ὁρισμὸς τοῦ ἀνθρώπου· πρῶτον μὲν γὰρ τὰ πόρρω, ὕστερον δὲ τὰ ἐγγὺς διαχωρίζει. καὶ πῶς τὰ πόρρω; πόρρω ἐστὶ τοῦ ἀνθρώπου τὸ ἄψυχον, ἐπειδὴ ἔμψυχόν ἐστι· λέγων οὖν 'ζῷον' δηλοῖ ὅτι ἔμψυχόν ἐστι· τὸ γὰρ ζῷον ἔμψυχόν ἐστι. τὰ ἐγγὺς δὲ ὕστερον διακρίνομεν· ἐπειδὴ γὰρ καὶ ἔμψυχόν ἐστιν ὁ ἵππος καὶ ὅλα τὰ ἄλογα (ταῦτα γὰρ τὰ ἔμψυχα ἐγγύς εἰσι τοῦ ἀνθρώπου, ἐπειδὴ τῶν ἐμψύχων καὶ ὁ ἄνθρωπος), φαμὲν 'λογικόν' καὶ οὕτω τὰ ἐγγὺς αὐτοῦ διαχωρίζομεν. τὸ τοιοῦτον δὲ ἐπὶ τοῦ προκειμένου ὁρισμοῦ οὐκ ἔστι· πρῶτον γὰρ τὰ ἐγγὺς διέκρινεν, ὕστερον δὲ τὰ πόρρω· λέγων γὰρ τὸ κατὰ πλειόνων διακρίνει τὰ καθόλου ἐκ τῶν μερικῶν, ἅπερ ἐγγύτερα αὐτῶν εἰσι, λέγων δὲ κατηγορούμενον διέκρινε τὸ ἄσημον. ἔδει δὲ μᾶλλον πρῶτον τὴν ἄσημον διακρίνειν, ἥτις πόρρω ἐστίν, ὕστερον δὲ τὴν σημαντικήν, ἥτις προσεχής ἐστι. δεῖ οὖν, φασίν, ἀντιστρέφοντας λέγειν γένος ἐστὶ τὸ κατηγορούμενον κατὰ πλειόνων καὶ διαφερόντων τῷ εἴδει ἐν τῷ τί ἐστιν, ἵνα τὸ κατηγορούμενον ἐκβάλῃ τὸ ἄσημον, τὸ κατὰ πλειόνων διαχωρίσῃ τὴν μερικὴν ἐκ τῆς καθόλου, τὸ διαφερόντων τῷ εἴδει ἐκβάλῃ τὸ εἶδος, τὸ ἐν τῷ τί ἐστιν [ἵνα] διαχωρίσῃ τὰς ὑπολοίπους τρεῖς φωνάς, διαφορὰν ἴδιον καὶ συμβεβηκός.

Ζητοῦσι δέ τινες εἰ ἄρα συμπεριέλαβεν ὁ ὁρισμὸς οὗτος καὶ τὸ παρὰ Πλάτωνι καθόλου γένος, λέγω δὲ τὰς ἰδέας. ἀπὸ δύο δὲ τρόπων γινώσκομεν ὅτι οὐ συμπεριέλαβεν αὐτό, λέγω δὲ τὸ πρὸ τῶν πολλῶν. πρῶτον μὲν ὅτι ἐκεῖνο ἐν τῷ ὁποῖόν τί ἐστι κατηγορεῖται, τοῦτο δὲ ἐν τῷ τί ἐστι.

---

1 ἑαυτοῦ] αὐτοῦ V κατὰ] τῶν K 4 ante μέμφονται add. πρᾶξις ιγ' V
5 ὁρῶμεν—ἐγγύς (7) om. KT 7 ξυλῆς T: ξύλων V διακίρνει T post διακρ. add. τις K 9 ἐκ om. T 10 εἰσι TV δὲ] δὴ T ἔχει om. V 11 τὸ πόρρω TV (bis) post pr. πόρρω add. χωρίζει TV διαχωρίζει om. V 12 ἐπειδὴ ἔμψ. ἐστι om. K: ἐστι om. V 13 τὸ γὰρ ζῶον ἔμψ. ἐστι om. K 14 ἐπεὶ K γὰρ ἔμψυχός ἐστι καὶ ὁ ἵππος T
17 τὸ om. T τοιοῦτο V καὶ ἐπὶ (sed καὶ del.) V 18 διέκρινον K τὸ om. K 20 τὸ] τὴν V ἔδει—ἄσημον] ἦν πρῶτον V 20. 21 τὴν ἄσημον πρῶτον colloc. T 21 διακρῖναι K 22 φησιν KT 22. 23 κατηγορούμενον post τί ἐστιν (24) colloc. T 24 ἐκβάλλη V τὸ δὲ κατὰ T 25 διαχωρίσῃ] χωρίσῃ V 26 ἐκβάλλη TV τὸ (ante ἐν)] καὶ T: om. V ἵνα delevi διαχωρ.] χωρίσῃ T 28 συμπεριέλ.] περιέλαβεν Brand. 30 τῶν om. KT

Digitized by Google

καὶ πῶς ἐν τῷ ὁποῖόν τί ἐστι τὸ παρὰ Πλάτωνι λέξωμεν. αἱ ὁμοιότητες ἐν τῷ ὁποῖόν τί ἐστι κατηγοροῦνται. προκείσθωσαν κεφαλαὶ δύο, φάττης καὶ περιστερᾶς, ἐπειδήπερ ἐοίκασιν ἀλλήλαις. διὰ οὖν τὴν πολλὴν ὁμοιότητα ἐρωτῶμεν ποία ἐστὶν ἡ κεφαλὴ τῆς φάττης· ἰδοὺ αἱ ὁμοιότητες ἐν τῷ
5 ὁποῖόν τί ἐστι κατηγοροῦνται. εἴρηται δὲ ὅτι λέγουσιν ἡμᾶς οἱ κατὰ Πλάτωνα καθ' ὁμοιότητα ἐκείνων τῶν ἰδεῶν γενέσθαι. εἰ οὖν τὸ μὲν ἐν τῷ τί ἐστι κατηγορεῖται, τὸ δὲ ἐν τῷ ὁποῖόν τί ἐστιν, ὁ ὁρισμὸς οὗτος οὐ συμπεριλαμβάνει καὶ τὸ Πλατωνικὸν γένος. δεύτερον τὸ γένος τοῦτο συνωνύμως κατηγορούμενον μεταδίδωσι τοῖς εἴδεσι καὶ ὀνόματος καὶ πράγ-
10 ματος, οἷον τὸ ζῷον μεταδίδωσι τῷ ἀνθρώπῳ τοῦ ὀνόματος, ὅτι καὶ ζῷον δύναμαι προσαγορεύειν τὸν ἄνθρωπον, ἀλλὰ μὴν καὶ πράγματος, ὅτι καὶ τοῦ ζῆν ἡμῖν μεταδίδωσι· τοῦτο δὲ συνωνύμως κατηγορεῖσθαι λέγεται. ἐπὶ δὲ τοῦ ἄλλου γένους οὐκ ἔστι τοῦτο εὑρεῖν· εἰ γὰρ καὶ ὀνόματος μεταδίδωσιν, ἀλλ' οὖν οὐκέτι καὶ πράγματος· | τὸ μὲν γὰρ ἀίδιον καὶ ἀσώματον, 184r
15 ἡμεῖς δὲ ἐν γενέσει ἐσμὲν καὶ φθορᾷ καὶ σῶμα ἔχομεν. ἐν οἷς ἡ πρᾶξις.

Πρᾶξις ιδ'.

Εἰ καὶ ἀκριβὴς ὁ λόγος τοῦ γένους καθέστηκεν, ἀλλ' οὖν ὅμως κινδυνεύει τὰ κατὰ τὴν ὕπαρξιν ὑπὸ τῶν τῇ ἀληθείᾳ ἀντιλέγειν εἰωθότων· ἀπορίαις γὰρ κατ' αὐτοῦ οὐ ταῖς τυχούσαις καθοπλίζονται. ἀλλὰ πρῶτον καὶ τὸ
20 δοκοῦν αὐτοῖς ἀντικεῖσθαι εἰς κακίαν αὐτοῦ μεταβάλλουσι· φασὶ γάρ· κακῶς λέγετε συνωνύμως κατηγορεῖσθαι τὸ γένος τοῦ εἴδους· τῷ γὰρ συνωνύμως κατηγορεῖσθαι ὀνόματος καὶ πράγματος μεταδίδωσι τῷ εἴδει· εἰ δὲ μεταδίδωσιν ὀνόματος καὶ πράγματος τὸ γένος τῷ εἴδει, ταὐτόν ἐστιν εἶδος καὶ γένος· οἷον τὸ ζῷον εἰ μεταδίδωσι τῷ ἀνθρώπῳ ὀνόματος καὶ πράγματος
25 (ὀνόματος μὲν καθὸ καὶ ὁ ἄνθρωπος λέγεται ζῷον, πράγματος δὲ καθὸ καὶ ὁ ἄνθρωπος ὁμοίως οὐσία ἐστὶν ἔμψυχος αἰσθητικὴ ὥσπερ καὶ τὸ ζῷον), οὐκοῦν ταὐτόν ἐστιν ὁ ἄνθρωπος τῷ ζῴῳ· συμπεριλαμβάνει ἄρα ὁ ὁρισμὸς οὗτος καὶ τὸ εἶδος. κατασκευάζουσι δὲ τοῦτο καὶ διὰ συλλογισμῶν, ὅτι ὁ ἄνθρωπος γένος ἐστί· φασὶ γάρ· εἰ ὁ ἄνθρωπος ζῷόν ἐστι, τὸ δὲ ζῷον

---

1 καὶ πῶς ἐν τῷ ὁποῖόν τι ἔστι om. K τὸ παρὰ πλάτωνι post κατηγορεῖται (p. 134,31) colloc. K τὸ παρὰ—ὁποῖόν τί ἐστι (2) om. V λέξωμεν] λέξομεν δὲ πῶς K 2 προκείσθωσιν] ὑποκείσθωσαν γὰρ K 3 ἐπειδὴ παρεοίκασιν K: ἐπειδὴ παρέοικαν T οὖν om. V 4 ἐρωτῶ KT 5 εἴρηται] cf. p. 115,10 6 γίνεσθαι V 8 δεύτερον δὲ T 8. 9 συνων.] ὁμωνύμως T 11 δύναται libri προσαγορεύεσθαι ὁ ἄνθρωπος K 12 συν. κατ. λέγει T: λέγει συν. κατ. V 13. 14 μεταδίδωσιν om. T 14 καὶ (ante ἀσώματον) om. V 15 καὶ φθορᾷ ἐσμὲν colloc. V ἐν οἷς δὴ καὶ ἡ πρᾶξις τετέλεσται T: om. V 16 πρᾶξις ιδ' om. V 17 καὶ om. K 18 τὰ om. TV τὴν om. K ἀπορίας V 19 καθοπλίζονται V ante πρῶτον add. καὶ K 20 αὐτοῦ om. K 21 λέγεται V τῷ scripsi: τὸ libri 25 pr. καὶ om. T ante ζῷον add. καὶ V 25. 26 ὁ (bis) om. V 26 ὁμοίως om. T καὶ om. K 28 ὁ supra scr. V

Digitized by Google

γένος, ὁμολογουμένως καὶ ὁ ἄνθρωπος γένος ἐστί. φαμὲν δὲ πρὸς αὐτοὺς ὅτι πλανᾶσθε· μὴ γινώσκοντες γὰρ ὅτι κατὰ τὸ πρᾶγμα μεταδίδωσι τὸ γένος τῷ εἴδει ὀνόματος καὶ πράγματος, οὐχὶ δὲ κατὰ τὴν σχέσιν, λέγετε ταὐτὸν εἶναι γένος καὶ εἶδος· διαφέρει γὰρ τὸ γένος τοῦ εἴδους, κἂν μετα-
5 δίδωσιν αὐτῷ ὀνόματος καὶ πράγματος, καθὸ κατὰ τὴν σχέσιν οὐ μεταδίδωσί τί ποτε τῷ εἴδει· εἰ γὰρ μετεδίδου, καλῶς ἂν ἐλέγετε. εἰ ἐδείχθη οὖν ὅτι οὐ ταὐτόν ἐστι γένος καὶ εἶδος, σαφὲς ὅτι καὶ τὸ γένος συνίσταται καὶ ὁ ὁρισμὸς αὐτοῦ ἄλλο τι οὐ συμπεριλαμβάνει.

Δεύτερον δὲ πάλιν ἐγκαλοῦσι λέγοντες ὑπὸ ἁμαρτίαν ἀνάγεσθαι τὸ
10 γένος, καθὸ πολλαχῶς οὐ λαμβάνεται ὥσπερ καὶ τὸ εἶδος· ἔστι γὰρ Ἀριστοτελικὸς κανὼν φάσκων ὅτι ὁσαχῶς λαμβάνεται θάτερον τῶν ἀντικειμένων, τοσαυταχῶς καὶ τὸ ἕτερον· εἰ οὖν τὸ γένος καὶ τὸ εἶδος τῶν πρός τί εἰσι, πολλαχῶς δὲ λαμβάνεται τὸ εἶδος (λέγω γὰρ καὶ ἄνθρωπον καὶ ἵππον καὶ κύνα καὶ ἄλλα τινά, ἅπερ μόνῳ τῷ ζῴῳ ἀντίκειται), ὤφειλε
15 καὶ τὸ ζῷον πολλαχῶς λαμβάνεσθαι ὥσπερ καὶ τὸ εἶδος. νῦν δὲ εἰ τοῦτο οὐ γίνεται (πολλὰ γὰρ τὰ εἴδη, ἓν δὲ τὸ γένος), ὁμολογουμένως ἁμαρτίᾳ μεγάλῃ τὸ τοιοῦτον περιπίπτει· οὔτε γὰρ δύνασαι εἰπεῖν ὅτι ἑνὸς εἴδους κατηγορεῖται φυσικῶς, κατὰ συμβεβηκὸς δὲ πολλῶν, ἐπεὶ τούτῳ τῷ λόγῳ οὔτε γένος ἐστί· γένος γὰρ τὸ κατὰ πολλῶν εἰδῶν κατηγορούμενον· τὸ ἑνὸς
20 γὰρ κατηγορούμενον οὐκέτι λέγεται γένος. φαμὲν δὲ πρὸς αὐτοὺς ὅτι οὐ κατ' ἀριθμόν | φησιν ὁ Ἀριστοτέλης ἀντικεῖσθαι τὰ τοιαῦτα καὶ ὁμοίως 184v
λαμβάνεσθαι, ἀλλὰ κατὰ τὴν φύσιν. ἀμέλει καὶ ἕνα πατέρα φαμὲν πέντε υἱῶν εἶναι πατέρα, τοσαυταχῶς δὲ τοὺς υἱοὺς λαμβάνεσθαι ὁσαχῶς καὶ ὁ πατήρ· καὶ γὰρ εἰ καὶ πλείονι ἀριθμῷ τὸν πατέρα παρέχονται, ἀλλ' οὖν
25 ὅμως πάντες μιᾷ φύσει ἀντίκειντα τῷ πατρὶ ὥσπερ καὶ ὁ εἷς υἱός. ἀλλὰ μὴν καὶ δεξιὸν ἕνα φαμὲν καὶ πέντε ἀριστεροὺς ὁμοίως λαμβάνεσθαι, καθὸ μιᾷ φύσει ἀλλήλοις ἀντίκειντα. τότε δὲ ὤφειλον ἐπιλαμβάνεσθαι, ὅταν τοὺς πολλοὺς ἀριστεροὺς οὐ κατὰ τὴν αὐτὴν φύσιν ἀντικεῖσθαι τῷ δεξιῷ εὕρωσιν. εἰ οὖν πάντες οἱ ἀριστεροὶ ὡς ἀριστεροὶ τῷ δεξιῷ ἀντίκειντα, ἀνεπίληπτος
30 ὁ λόγος καθίσταται. οὐκ ἔστιν ἄρα ἄτοπον τὸ εἶδος πολλαχῶς λαμβανόμενον ὡς ἓν εἶδος τῷ γένει ἀντικεῖσθαι.

Τρίτον λέγουσιν ὅτι ὁ ὁρισμὸς οὗτος τὸ καθόλου γένος οὐ συμπεριλαμβάνει· εὑρίσκομεν γὰρ ὅτι τούτου τοῦ καθόλου γένους οὐκ ἔστιν ἄλλο

---

2 πλανᾶσθαι V¹ 3 τὴν om. V λέγετε KT²: λέγεται T¹V 5 αὐτῇ om. V 6 εἴδει] γένει K 7 ὅτι (post σαφὲς) om. K 11 ὁ ἀριστοτ. T κανὼν ἀριστοτ. colloc. V (cf. Top. A 15 p. 106ᵇ13 sq.) φάσκων κανὼν colloc. T 13 ante τὸ εἶδος eras. καὶ K 14 κύνα καὶ ἵππον colloc. KT ἀντίκειντται T ὤφελε V 15 ὥσπερ] ὡς K εἰ supra scr. K; malim ἐπεὶ 17. 19 an οὐδὲ? 17 δύναται KV 18 ἐπεὶ] ἐπὶ KV 18. 19 τούτῳ γὰρ τῷ λόγῳ οὐκ ἔστι γένος K 19 ἐστί· γένος om. V post γάρ add. ἐστι K πολλῶν] πλειόνων V τὸ (ante ἑνὸς) om. TV 20 οὐκέτι] οὐ T 21 ὁ om. V 22 τὴν om. K φαμὲν πατ. coll. T 23 τοὺς υἱοὺς—οὐκ ἄτοπον δὲ τοῖς (p. 138,16) om. V post υἱοὺς add. οὐ T: supra scr. K 24 καὶ γὰρ εἰ] εἰ γὰρ T παρέρχονται K 25 πάντες om. K ἀντίκειται K¹ 30 πολλαχοῦ T 33 γένους Paris. 2089: γένος KT

Digitized by Google

ἐπαναβεβηκός, οἱονεὶ τὸ κατηγορούμενον ἐπαναβεβηκὸς τούτου τοῦ γένους· ἐκ γὰρ τούτου τοῦ κατηγορουμένου ἐστὶν ἢ τὸ μερικὸν ἢ τὸ καθόλου· τῇ γὰρ προτεραίᾳ διείλομεν τὸ κατηγορούμενον εἴς τε τὴν μερικὴν καὶ εἰς τὴν καθόλου φωνήν· τούτου δὲ τοῦ καθόλου γένος ὁ προκείμενος ὁρισμὸς
5 ἐδόθη, οὐχὶ δὲ καὶ τοῦ ἐπαναβεβηκότος. φαμὲν δὲ πρὸς αὐτοὺς ὅτι εἰ καὶ πιθανή ἐστιν ἡ ἀπορία, ἀλλ' οὖν εὐχερὴς ἡ ἐπίλυσις· ὃν γὰρ λόγον ἐπὶ τοῦ ὁρισμοῦ τοῦ καθόλου ἐλέγομεν, τὸν αὐτὸν καὶ ἐπὶ τούτου τοῦ ὁρισμοῦ λέξομεν· ὡς γὰρ ἐκεῖνος ὁ ὁρισμὸς πάντα ὁρισμὸν ὁρίζων καὶ ἑαυτὸν ὁρίζει, οὕτω καὶ ὁ ὁρισμὸς οὗτος τὸ καθόλου γένος ὁρίζων καὶ τὸ ὑπερ-
10 βεβηκὸς ὁρίζει· λέγων γὰρ τὸ κατὰ πλειόνων καὶ διαφερόντων τῷ εἴδει ἐν τῷ τί ἐστι κατηγορούμενον συμπεριλαμβάνει ἅμα καὶ τὸ ὑπερβεβηκὸς γένος· καὶ αὐτὸ γὰρ κατὰ πλειόνων καὶ διαφερόντων τῷ εἴδει κατηγορεῖται. οὐκ ἔστιν οὖν ἄτοπον εὑρεθῆναι καὶ ἄλλο ὑπερβεβηκὸς συμπεριλαμβανόμενον ὑπὸ τοῦ ὁρισμοῦ τῶν καθόλου γενῶν.

15 Τέταρτον ἐπαποροῦσι λέγοντες ὅτι οὐ καλῶς ἔχει ὁ ὁρισμός· ἔστι γὰρ καθόλου γένος κατηγορούμενον πολλῶν οὐ τῷ εἴδει μόνον διαφερόντων, ἀλλὰ καὶ τῷ γένει. ὤφειλεν οὖν ὁ ὁρισμὸς ἔχειν οὕτως· τὸ κατὰ πλειόνων καὶ διαφερόντων τῷ γένει καὶ τῷ εἴδει ἐν τῷ τί ἐστι κατηγορούμενον. ἀπὸ παραδειγμάτων δὲ λέγουσι πῶς ἔστι τινὰ γένη κατηγορούμενά τινων
20 τῷ γένει διαφερόντων. ἡ οὐσία κατηγορεῖται ἐμψύχου καὶ ἀψύχου· ἔστιν οὖν ἡ οὐσία γένος κατηγορούμενον κατὰ πλειόνων οὐ τῷ εἴδει μόνον διαφερόντων ἀλλὰ καὶ τῷ γένει. οἷον τὸ ἔμψυχον ἢ ζῷον ἢ ζωόφυτον ἢ φυτόν. ταῦτα δὲ οὐ μόνον τῷ εἴδει διαφέρει ἀλλὰ καὶ τῷ γένει· τούτων γὰρ τὸ ἔμψυχον κατηγορεῖται ὡς γένος ἄλλων. τινὲς δὲ | πρὸς ταῦτα 185r
25 ἀπολογούμενοι οὕτω φασίν, ὅτι πρὸς τὰ ἄνω εἴδη φαμὲν τὰ τοιαῦτα (οἷον τὸ ἔμψυχον καὶ τὸ ἄψυχον πρὸς τὴν οὐσίαν εἴδη εἰσί), πρὸς δὲ τὰ κάτω γένη, οἷον τὸ ἔμψυχον πρὸς τὸ ζῷον ζωόφυτον καὶ φυτὸν γένος ὑπάρχει. καὶ ἔστι μὲν ἡ τοιαύτη ἀπολογία πιθανῶς εἰρημένη, οὐκ ἀκριβὴς δέ· τὸ γὰρ ἀληθὲς οὕτως ἔχει· φαμὲν γὰρ ὅτι τὸ καθόλου γένος κατηγορεῖται καὶ
30 πλειόνων διαφερόντων τῷ γένει καὶ πλειόνων διαφερόντων τῷ εἴδει, καὶ ὅπου μὲν διαφερόντων τῷ γένει, ἐκεῖ πάντως καὶ τῷ εἴδει, ὅπου δὲ τῷ εἴδει διαφερόντων κατηγορεῖται, οὐ πάντως ἐκεῖ καὶ τῷ γένει. τοῦ μὲν πρώτου ἐστὶ τοῦτο παράδειγμα· ἡ οὐσία κατηγορεῖται τοῦ ἐμψύχου καὶ τοῦ ἀψύχου· ταῦτα γὰρ διαφέρει τῷ γένει, ἀλλὰ μὴν καὶ τῷ εἴδει. τοῦ δευ-

---

1 ἐπαναβ.] ἐπάνω K 3 τῇ γὰρ προτεραίᾳ] οὕτω γὰρ τῇ προτέρᾳ T (cf. p. 133,17 sq.) 7 ἐλέγομεν] cf. p. 14,29 8 λέγομεν T ὁρισμὸν iter. K 9 οὕτω] οὗτος T¹ ὁ ὁρισμὸς om. K post οὗτος add. καὶ T 9. 10 ὑπεραναβεβ. K 10 ὁρίζει om. T 12 κατὰ om. T 13 ἄλλον ὑπερβεβηκότα T 15 ὁρισμὸς οὗτος T 16 μόνω T 19 ἔλεγον T κατηγ. γένη colloc. K 20 ἀψύχου καὶ ἔμψυχου colloc. K 21 οὖν] δὲ K μόνω T¹ 22 οἷον—γένει in mrg. suppl. K 23 ταῦτα—ἄλλων (24) ante οἷον (22) transponas 24 γὰρ] δὲ T ὡς γένος ἄλλων om. T 26 post pr. πρὸς add. μὲν K 30 post πλειόνων add. καὶ K γένει καὶ πλειόνων διαφ. τῷ om. K 33 οὐσία] φύσις K

Digitized by Google

τέρου δὲ τοῦτο· τὸ ζῷον κατηγορεῖται τοῦ ἵππου καὶ τοῦ ἀνθρώπου καὶ ἄλλων τινῶν· ταῦτα δὲ διαφέρει τῷ εἴδει, οὐκέτι δὲ καὶ τῷ γένει· ὁ γὰρ ἄνθρωπος μόνον εἰδός ἐστιν. ἐπεὶ οὖν ἀεὶ τὸ γένος κατηγορεῖται πλειόνων διαφερόντων τῷ εἴδει, οὐκ ἀεὶ δὲ διαφερόντων τῷ γένει, ἀναγκαίως ὁ Πορ-
5 φύριος πρὸς τὸ ἀεὶ ἀποβλέπων τὸ διαφερόντων τῷ εἴδει εἶπεν, οὐχὶ δὲ τῷ γένει. οἱ γὰρ ὁρισμοὶ ἐξ οὐσιωδῶν φωνῶν συγκείμενοι τὸ ἀεὶ θέλουσιν ἔχειν· εἰ δὲ αἱ οὐσιώδεις φωναὶ οὐ θέλουσι ποτὲ μὲν εἶναι ποτὲ δὲ μὴ εἶναι, ἀλλ' ἀεὶ εἶναι, ἀναγκαίως τὸ διαφερόντων τῷ γένει μὴ ἀεὶ ὂν παρῆκεν ὁ Πορφύριος.

10 Πέμπτον ἔτι φασὶν τὸν ὁρισμὸν κακῶς ἔχειν· λέγουσι γὰρ ὅτι οὐ μόνον τῷ γένει ἁρμόζει ὁ ὁρισμὸς οὗτος, ἀλλὰ καὶ τῷ εἴδει· τὸ γὰρ ἁπλῶς εἶδος κατὰ πλειόνων καὶ διαφερόντων τῷ εἴδει κατηγορεῖται· ἔστι γὰρ ἐν ἐμοὶ εἶδος καὶ ἐν τῷ ἵππῳ εἶδος, ἀλλὰ μὴν καὶ ἐν ὅλοις τοῖς εἴδεσι. φαμὲν δὲ πρὸς τοῦτο ὅτι τὸ ἁπλῶς εἶδος γένος ἐστί· τὸ γὰρ ἐν ἐμοὶ καὶ ἐν τῷ
15 ἵππῳ καὶ ἐν τῷ κυνὶ εἶδος γένος ἐστίν. ἀλλὰ μὴν καὶ ἡ ἁπλῶς διαφορὰ γένος ἡ οὖσα ἐν ἵππῳ καὶ κυνὶ καὶ ἄλλοις. οὐκ ἄτοπον δὲ τοῖς τοιούτοις ἁρμόζειν καὶ τὸν ὁρισμὸν γένους τάξιν ἐπέχουσι. τῇ μέντοι τοιᾷδε διαφορᾷ καὶ τῷ τοιῷδε εἴδει οὐχ ἁρμόσει.

Πρᾶξις ιε'.

20 p. 2,15 Ὃ καὶ ὑπογράφοντες ἀποδεδώκασιν.

Εἴπομεν ἐν τῇ θεωρίᾳ πῶς ἐκ τῆς ἀσήμου φωνῆς τὴν σημαντικὴν δεῖ πρῶτον διαστέλλειν, καὶ εἶθ' οὕτως τὴν σημαντικήν· αὐτὸς δὲ ὁ Πορφύριος τῆς σημαντικῆς διαστολὴν ποιεῖται ἐάσας τὴν διάκρισιν τῆς ἀσημάντου καὶ σημαντικῆς. ἔστιν οὖν ἡ σημαντικὴ ἢ καθόλου ἢ μερική. ἐλλιπὴς δὲ ἡ
25 τοιαύτη διαίρεσις· οὔτε γὰρ συμπεριελάβομεν τὴν καθ' ἕκαστα· ἄλλη γάρ ἐστιν ἡ μερικὴ καὶ ἄλλη ἡ καθ' ἕκαστα· ἡ μὲν γὰρ μερικὴ ἀόριστός ἐστιν οἷον τὶς ἄνθρωπος, ἡ δὲ καθ' ἕκαστα ὁριστὴ οἷον Σωκράτης. δεῖ οὖν λέγειν | ὅτι ἡ σημαντικὴ ἢ καθόλου ἐστὶν ἢ καθ' ἑνός· λέγων γὰρ καθ' ἑνὸς δηλοῖς 185v καὶ τὴν μερικὴν καὶ τὴν καθ' ἕκαστα· ἓν γάρ τι δηλοῦσιν· ἀμέλει καὶ ἀνθορί-
30 ζονται· τί ἐστι μερικόν; καθ' ἕκαστα πλανώμενον. τί ἐστι καθ' ἕκαστα; μερικὸν ὡρισμένον. ἀλλὰ καὶ πάλιν οὕτω λέγοντες ἐλλιπῆ τὸν λόγον ἐῶμεν·

---

1 τοῦτο om. T τοῦ (bis) om. T 3 post πλειόνων add. καὶ T
4 ἀναγκαίως om. T 5 οὐχὶ δὲ] οὐ μὴν δὲ K 8 ὂν Paris. 2089: ὄντων KT
13 καὶ ἐν τῷ ἵππῳ εἶδος in mrg. suppl. K 14 δὲ] γὰρ T τὸ (ante ἁπλῶς) om. T τὸ γὰρ—γένος ἐστιν (15) om. T 16 ἡ (ante οὖσα) om. T 17 καὶ] οὐ V¹ 17. 18 ἡ μέντοι τοιάδε διαφορὰ V 18 τῷ τοιῷδε] τῶδε τῷ K: τοιῶδε TV 19 πρᾶξις ιδ' T: om. V 20 ὃ om. T 21 φωνῆς Paris. 2089: om. KTV 22 σημαντικήν] ἄσημον T: ἀσήμαντον V 25 οὔτε] οὐ K; an οὐδὲ? συμπεριέλαβε K τὴν] τὰ K 27 ὁριστὴ] ὡρίσθη V: om. T
28 δηλοῖ V 29 πλανώμενον] λεγόμενον K 31 λέγοντες om. V

Digitized by Google

τὰς γὰρ ὁμωνύμους φωνὰς παρήκαμεν· οὔτε γὰρ ἐν τοῖς καθ' ἑνός εἰσι, καθὸ πολλὰς φύσεις δηλοῦσιν, οὔτε ἐν τοῖς καθόλου, καθὸ τὸ καθόλου καὶ ὀνόματος καὶ πράγματος μεταδίδωσιν, αἱ δὲ ὁμώνυμοι φωναὶ μόνον ὀνόματος. δεῖ οὖν λέγειν κατὰ πλειόνων, ἵνα ᾖ οὕτως ἡ διαίρεσις· ἡ σημαντικὴ φωνὴ ἤτοι κατὰ πλειόνων ἐστὶν ἢ καθ' ἑνός. λέγων δὲ τὸ κατὰ πλειόνων εἰσφέρεις καὶ τὰς ὁμωνύμους καὶ τὰς συνωνύμους. καὶ περὶ μὲν τῶν ὁμωνύμων οὐκ ἔστιν ἡμῖν ἐνταῦθα φροντίς, περὶ δὲ τῶν συνωνύμων· αὗται γὰρ αἱ πέντε φωναὶ συνώνυμοί εἰσι. καὶ ὅταν μὲν ἐν τῷ τί ἐστι κατηγορῶνται, δηλοῦσιν ἢ τὸ γένος ἢ τὸ εἶδος, ὅταν δὲ ἐν τῷ ὁποῖόν τί ἐστιν, εἰ μὲν οὐσιωδῶς κατηγοροῦνται, δηλοῦσι τὴν διαφοράν, εἰ δὲ ἐπουσιωδῶς, εἰ μὲν μίαν φύσιν δηλοῦσι, τότε τὸ ἴδιον, εἰ δὲ κοινόν τι σημαίνουσι, τότε τὸ συμβεβηκός.

p. 2,15 Ὃ καὶ ὑπογράφοντες.

Διὰ τί οὐκ εἶπεν 'ὑπογράφων', ἀλλ' ὑπογράφοντες; διὰ τοῦτό φασιν, ἵνα δείξῃ τὸν ὁρισμὸν μὴ εἶναι ἴδιον, ἀλλὰ τῶν Περιπατητικῶν, οἷς εἶπε παρακολουθεῖν.

p. 2,17 Τῶν κατηγορουμένων τὰ μὲν καθ' ἑνὸς λέγεται μόνου ὡς τὰ ἄτομα.

Διάκρισιν ποιεῖται τῆς σημαντικῆς, ἵνα δείξῃ πῶς διακρίνει τὸ γένος ἐκ τῶν σημαινουσῶν φωνῶν. ἥμαρτε δέ, ὡς εἴπομεν, μὴ διακρίνων τὴν ἄσημον πρῶτον ἐκ τῆς σημαντικῆς, καὶ εἶθ' οὕτως τὴν σημαντικὴν ἐκ τῆς κατὰ πλειόνων καὶ καθ' ἑνός. εἴπομεν δὲ ὅτι καλῶς εἶπε καθ' ἑνὸς καὶ καὶ οὐχὶ μερικήν· ἔμελλε γὰρ ἐᾶν τὴν καθ' ἕκαστα λέγων τὴν μερικήν.

p. 2,18 Οἷον Σωκράτης καὶ τὸ οὗτος καὶ τὸ τοῦτο.

Διὰ τῶν προκειμένων παραδειγμάτων δηλοῖ καὶ τὴν καθ' ἕκαστα καὶ τὴν μερικήν· ἐν μὲν γὰρ τῷ λέγειν Σωκράτης δηλοῖ τὴν καθ' ἕκαστα (ὥρισται γάρ), ἐν δὲ τῷ λέγειν οὗτος καὶ τοῦτο δηλοῖ τὴν μερικήν· ἀόριστον γὰρ τὸ τοῦτο ἐκεῖνο, καθὸ δύναται ἐν πολλοῖς εἶναι, ὁ μέντοι Σωκράτης οὐ δύναται εἶναι ἐν Ἀλκιβιάδῃ.

---

2. 3 καὶ (ante ὀνόματος) om. V 3 καὶ πράγματος iter. T δὲ Paris. 2089: γὰρ KTV 4 οὕτως om. V 5 φωνὴ om. V 8. 9 κατηγοροῦνται T 9 ἢ (ante τὸ γένος) om. K 11 τότε (bis) om. K τι Paris. 2089: om. KTV 14 ante διὰ add. καὶ T: ζητεῖτε V ὑπογρ. οὐκ εἶπεν colloc. V ὑπογράφων Paris. 2089: ὑπογράφω KTV διὰ τοῦτό φασιν] φασὶ δὲ ὅτι διὰ τοῦτο ὑπογράφοντες καὶ οὐχ ὑπογράφω εἶπεν T: om. V 15. 16 εἶπε παρακ.] παρακολουθεῖ V 17 τῶν γὰρ κατ. Porph. 20 δὲ om. V 21 ἐκ τῆς] ἐν τοῖς V 23 ἔμελλε—μερικήν om. KT 24 τὸ ante τοῦτο om. TV 25 ante διὰ add. καὶ T 25. 26 καὶ τὴν μερικὴν—ἕκαστα om. K 27 οὗτος καὶ] ἐκεῖνο KV 28 τὸ om. V ἐκεῖνο om. V δύνανται KT

Digitized by Google

p. 2,18 Τὰ δὲ κατὰ πλειόνων.

Καλῶς εἶπε κατὰ πλειόνων καὶ οὐχὶ καθόλου· ἤμελλε γὰρ ἐᾶν τὰς ὁμωνύμους φωνὰς λέγων καθόλου.

p. 2,19 Καὶ τὰ συμβεβηκότα κοινῶς ἀλλὰ μὴ ἰδίως τινί.

5 Καλῶς εἶπε κοινῶς τὸ συμβεβηκὸς λαμβάνεσθαι καὶ μὴ ἰδίως· ὅταν γὰρ ἰδίως ληφθῇ, τότε οὐ κατὰ πλειόνων λέγεται τὸ συμβεβηκός, ἀλλὰ καθ' ἑνός, οἷον ἡ οὐλὴ τοῦ Ὀδυσσέως ἴδιον συμβεβηκός ἐστιν, οὐκέτι δὲ φέρεται τοῦτο καὶ ἐπὶ ἄλλου. τὸ μέντοι λευκὸν καὶ μέλαν κοινὰ συμβεβηκότα εἰσὶ καὶ κατὰ πλειόνων φέρεται.

10 p. 2,21 Συμβεβηκὸς δὲ οἷον τὸ λευκόν, τὸ μέλαν, τὸ καθέζεσθαι.

Ζητεῖται διὰ τί ἐπὶ μὲν τῶν ἄλλων φωνῶν | ἓν παράδειγμα παρατίθε- 186r
ται πρὸς μίαν καὶ ἑκάστην, ἐπὶ δὲ τοῦ συμβεβηκότος τρία παρέθετο. φαμὲν δὲ ὅτι διττοῦ ὄντος τοῦ συμβεβηκότος (τὸ μὲν γὰρ χωριστόν ἐστιν ὡς τὸ ἐν ἡμῖν λευκόν, τὸ δὲ ἀχώριστον ὡς τὸ ἐν Αἰθίοπι μέλαν), διττὰ καὶ τὰ
15 παραδείγματα παρατίθεται ἀπὸ ὀνομάτων καὶ ῥημάτων. καὶ διὰ μὲν τῶν ὀνομάτων δηλοῖ τὸ ἀχώριστον (τὰ γὰρ ὀνόματα χρόνῳ οὐ μεταπίπτει), διὰ δὲ τῶν ῥημάτων δηλοῖ τὸ χωριστόν· ὥσπερ γὰρ τὰ ῥήματα χρόνῳ μεταπίπτει, οὕτω καὶ τὸ χωριστὸν συμβεβηκὸς χρόνῳ μεταπίπτει.

p. 2,22 Τῶν μὲν οὖν καθ' ἑνὸς κατηγορουμένων διαφέρει τὰ
20 γένη τῷ κατὰ πλειόνων ἀποδοθέντα κατηγορεῖσθαι.

Εἰπὼν ὅτι τῶν καθ' ἑνὸς διαφέρει τὰ γένη τῷ κατηγορεῖσθαι κατὰ πλειόνων, λέγει πάλιν πῶς διαφέρει τῶν κατὰ πλειόνων.

p. 2,27 Οἷ οὐ τῷ εἴδει διαφέρουσιν ἀλλὰ τῷ ἀριθμῷ.

Τὰ γὰρ ἄτομα εἴδει οὐ διαφέρει, ἀλλὰ ἀριθμῷ.

---

2 ἐᾶν om. K 3 post φωνὰς add. συμπεριλαμβάνειν K λέγων om. V
5 καλλῶς V τὸ συμβ. κοινῶς colloc. V 6 ληφθῇ Paris. 2089: ληφθείη KTV
7 ὀδυσσέος T 10 οἷον ante συμβ. transp. T: om. V 11 ζητεῖται δὲ TV
12 καὶ om. T 13 δὲ om. V γὰρ om. V 19 ἑνὸς μόνου Porph.
20 τῷ κατὰ πλ. ἀποδοθ. κατηγ. V: τῷ κατὰ πλ. ταῦτα κατηγ. K: τῶν κατὰ πλ. κατηγ. ἀποδοθ. T: τῷ ταῦτα κατὰ πλ. ἀποδοθ. κατηγ. Porph. 21 εἰπὼν] λέγει T: λέγει οὖν V
22 λέγει γὰρ T post διαφέρει iter. τὰ γένη—διαφέρει V 23 διαφέρουσιν ἀλλήλων Porph. 24 διαφέρουσιν K post ἀριθμῷ add. καὶ τὰ εἴδη οὐ διαφέρει εἴδει ἀλλ' ἀριθμῷ V

Digitized by Google

p. 3,1 Ἀλλ' οὐχὶ τῷ ἀριθμῷ μόνον.

Ὁ γὰρ βοῦς καὶ ὁ ἄνθρωπος οὐ τῇ ἀριθμῷ διαφέρουσιν, ἀλλὰ τῷ εἴδει.

p. 3,1 Τοῦ δὲ ἰδίου διαφέρει τὸ γένος, ὅτι τὸ μὲν ἴδιον ἑνὸς εἴδους, οὗ ἐστιν ἴδιον, κατηγορεῖται καὶ τῶν ὑπὸ τὸ εἶδος ἀτόμων, ὡς τὸ γελαστικόν.

Οὐχ ὥσπερ ἐν τῇ θεωρίᾳ ἐλέγομεν διαφέρειν τὸ γένος τοῦ ἰδίου, καθὸ ἐν τῷ τί ἐστι κατηγορεῖται τὸ γένος, ἐν δὲ τῷ ὁποῖόν τί ἐστι τὸ ἴδιον, οὕτω καὶ ἐνταῦθά φησι· λέγει γὰρ ὅτι ἐν τῷ λέγειν διαφερόντων τῷ εἴδει ἐκβάλλομεν τὸ εἶδος καὶ τὸ ἴδιον, τὸ μὲν εἶδος, καθὸ οὐ διαφερόντων τῷ εἴδει κατηγορεῖται, ἀλλὰ τῷ ἀριθμῷ, τὸ δὲ ἴδιον, καθὸ ἑνὸς εἴδους κατηγορεῖται, οὗ ἐστιν ἴδιον, καὶ τῶν ἀτόμων τοῦ εἴδους· τὸ γὰρ γελαστικὸν ἀνθρώπου μόνου καὶ Σωκράτους, τὸ δὲ γένος πολλῶν εἰδῶν κατηγορεῖται.

p. 3,5 Τῆς δ' αὖ διαφορᾶς καὶ τῶν κοινῶς συμβεβηκότων διαφέρει τὸ γένος καὶ μέχρι ἀλλ' οὐκ ἐν τῷ τί ἐστι κατηγοροῦνται.

Φησὶν ὅτι εἰ καὶ κατὰ πλειόνων καὶ διαφερόντων τῷ εἴδει κατηγοροῦνται αἱ διαφοραὶ καὶ τὰ συμβεβηκότα, ἀλλ' οὖν ὅμως τὸ μὲν γένος ἐν τῷ τί ἐστι κατηγορεῖται, ταῦτα δὲ ἐν τῷ ὁποῖόν τί ἐστι. πόθεν δὲ δῆλον, εἰ τὸ μὲν γένος ἐν τῷ τί ἐστι κατηγορεῖται, αἱ δὲ διαφοραὶ καὶ τὰ συμβεβηκότα ἐν τῷ ὁποῖόν τί ἐστιν; ἐκ τῆς ἐρωτήσεως· ἡ μὲν γὰρ ἐρώτησις τὴν ἀπόκρισιν ποιεῖ, ἡ δὲ ἀπόκρισις τὴν κατηγορίαν δηλοῖ· ἐρωτῶν γὰρ 'ποῖος ἐστὶν ὁ ἄνθρωπος;' ἀκούεις 'ἢ λευκὸς ἢ λογικός', καὶ τὸ μὲν λευκὸν τὸ συμβεβηκὸς δηλοῖ, τὸ δὲ λογικὸν τὴν διαφοράν. ὥστε οὖν ἡ ἀπόκρισις δηλοῖ τὴν κατηγορίαν. ὅταν δὲ ἐρωτήσῃς 'τί ἐστιν ὁ ἄνθρωπος;' ἀκούεις 'ζῷον'· τὸ οὖν γένος ἐν τῷ τί ἐστι κατηγορεῖται.

p. 3,13 Ἦν δὲ ἀνθρώπου γένος τὸ ζῷον.

Ἀναλαμβάνει πάλιν τὸν λόγον καί φησιν ἐν μὲν τῷ λέγειν τὸ γένος

---

1 μόνω T post μόνον add. φησὶν KTV; quod eieci 2 γὰρ om. TV
διαφέρει V 3. 4 ἑνὸς εἴδους] εἴδους KT: καθ' ἑνὸς μόνου εἴδους Porph.
4 καὶ om. V 9 ἐκβάλλομεν] ἐκβαλλει μὲν V 10 post κατηγορεῖται add. τὸ
εἶδος V 11 γὰρ om. V 14 δ' αὖ] δὲ KT κοινῶς om. KT: κοινῇ
Porph. 15 καὶ μέχρι—κατηγοροῦνται om. K 16 ὅτι φησὶν colloc. K
18. 19 ταῦτα δὲ—κατηγορεῖται om. K 18 ὁποῖον] ποῖον V alt. δὲ om. V
21 ἀπόκρισιν (alt. l.) V 22 ἢ (ante λευκὸς)] ὅτι K 24 ἐρωτηθῇς V
ὁ ἄνθρ. om. V: ὁ om. T 27 ἐν τῷ μὲν colloc. V

Digitized by Google

κατὰ πλειόνων κατηγορεῖσθαι, διαστέλλεται ἐκ τῶν καθ' ἑνὸς (τὰ γὰρ καθ' ἑνὸς τῶν ἀτόμων μόνων κατηγορεῖται), τῷ δὲ διαφερόντων τῷ εἴδει ἀπὸ τῶν εἰδῶν καὶ ἰδίων.

p. 3,17 Τὸ δὲ ἐν τῷ τί ἐστι κατηγορεῖσθαι χωρίζει ἀπὸ τῆς διαφορᾶς καὶ τῶν κοινῶς συμβεβηκότων. |

Ταῦτα γὰρ ἐν τῷ ὁποῖόν τί ἐστι κατηγορεῖται. ἐμάθομεν δὲ διὰ 186v τί κοινῶς λέγεται τὰ συμβεβηκότα.

p. 3,19 Ἢ πῶς ἔχον.

Ταὐτόν ἐστι τὸ ὁποῖόν τί ἐστι καὶ πῶς ἔχον.

p. 3,20 Ἡ τοῦ γένους ῥηθεῖσα ὑπογραφή.

Κατὰ τὴν ἡμετέραν ἐπαγγελίαν εἴπωμεν πῶς ὁρισμός ἐστιν ὁ προκείμενος καὶ οὐχ ὑπογραφή. ὁρισμὸς τοίνυν ἐστὶ καὶ οὐχ ὑπογραφή, καθὸ ἐπὶ μὲν τῆς ὑπογραφῆς δυνατὸν αἱρουμένης μιᾶς φωνῆς τὴν ὑπογραφὴν σώζεσθαι, οἷον εἰ λέγεις 'ὁ ἄνθρωπος ζῷόν ἐστι γελαστικὸν ὀρθοπεριπατητικόν', σώζεται ἡ ὑπογραφὴ 'ζῷον γελαστικόν', ἐπὶ δὲ τοῦ ὁρισμοῦ αἱρουμένης μιᾶς φωνῆς οὐκέτι σώζεται ὁ ὁρισμός. [καὶ πῶς ὑπογραφὴν λέγει ὁ φιλόσοφος τὸ προκείμενον καὶ οὐχ ὁρισμόν; ὅτι πρὸς τὰ πράγματα ἀποβλέπει]. ἔστω οὖν ὁ προκείμενος ὁρισμὸς καὶ οὐχ ὑπογραφή, καθὸ οὐ δυνάμεθα ἐκτὸς μιᾶς φωνῆς εἰπεῖν αὐτόν. καὶ γένος μὲν ἔχει τὴν ἁπλῶς φωνήν, συστατικὴν δὲ διαφορὰν τὴν ἀπὸ τῆς φωνῆς διαίρεσιν. διαιρεῖται δὲ εἰς ἄσημον καὶ σημαντικήν.

Πρᾶξις ις'.

Περὶ εἴδους.

Τῇ τάξει τοῦ φιλοσόφου χρησάμενοι φυσικῇ οὔσῃ καὶ καταλλήλῳ τοῖς πράγμασιν, εὐλόγως μετὰ τὴν τοῦ γένους διδασκαλίαν ἐπὶ τὴν τοῦ εἴδους

---

1 τὰ γὰρ—κατηγορεῖται (2) om. V τὰ Paris. 2089: τὸ KT 2 τῶ] τὸ V 3 ἰδίων καὶ εἰδῶν colloc. V 4 τὸ] τῶ KT 4. 5 τῶν διαφορῶν Porph. κοινῇ Porph. 6 κατηγοροῦνται K ἐμάθ.] p. 140,5 11 εἴπομεν V ὁ om. K 12 ἐπὶ] ἀπὸ V 13. 15 αἱρομένης K: ἐρουμένης T 14 εἰ om. V ὀρθοπ.—γελαστικόν om. V 14. 15 ante σώζεται addas αἱρουμένου τοῦ ὀρθοπατητικόν 15 ζῶον γάρ ἐστι γελ. K 16. 17 καὶ πῶς—ἀποβλέπει delevi 16 ὑπογραφὴ V 16. 17 τὸ προκ. ὁ φιλ. colloc. V τὸν προκ. K 18 οὖν om. K καὶ om. T ἐκτὸς] ἐκ τῆς K 19 ἔχει μὲν τὸ γένος K: ἔχει μὲν γένος T 19. 20 συστατικὰς δὲ διαφορὰς KT 20. 21 διαιρεῖται—σημαντικήν eicias 21 σημαντικόν V post σημαντ. add. καὶ εἰς καθόλου καὶ μερικήν V 22 πρᾶξις ις' om. TV 23 tit. om. KT

Digitized by Google

χωρήσομεν. ἀλλ' ἐνταῦθά τινες ἡμῖν ἀποροῦσι λέγοντες ὅτι τὴν διαφορὰν προτάξαι ὀφείλομεν ὥσπερ ἐν τοῖς ἄνω, ἢ τὸ εἶδος ὤφειλεν ἐν τοῖς ἄνω προτάσσεσθαι τῆς διαφορᾶς· τὸ γὰρ προτάττειν τοῦ εἴδους ἐν τοῖς ἄνω τὴν διαφορὰν καὶ ὧδε τῆς διαφορᾶς τὸ εἶδος ἀκατάλληλον ποιεῖ τὸν λόγον. φαμὲν δὲ ὅτι δικαίως ἐκεῖ μὲν τὴν διαφορὰν προέταξεν ὧδε δὲ τὸ εἶδος· ἐπεὶ γὰρ ἐκεῖσε πρώτη τάξις ὑπάρχει, εὐλόγως τῇ διαφορᾷ ἡ πρώτη τάξις ἐδόθη ἐκ τῆς φύσεως· φυσικῶς γὰρ προτάττεται τοῦ εἴδους· καθολικωτέρα γάρ ἐστι τοῦ εἴδους ὡς ἁπλουστέρα. ἀλλὰ μὴν καὶ αἰτία αὐτοῦ ἐστιν· αὕτη γὰρ τέμνει τὸ γένος εἰς εἴδη. ὧδε δὲ τῆς διαφορᾶς εὐλόγως τὸ εἶδος προτάττεται, καθὸ τῶν πρός τί ἐστι τὸ εἶδος καὶ τὸ γένος· ὁριζομένου δὲ τοῦ γένους πάντως μνήμη τοῦ εἴδους γίνεται· ἀνθέλκει γὰρ τὸ γένος τὸ εἶδος. ἐπεὶ οὖν πρὸ ὀλίγου τὸ γένος ὡρισάμεθα, ἀνάγκη ἐστὶ καὶ τὸ εἶδος ὁρίσασθαι. σχεδὸν δὲ ἐπὶ τοῦ γένους καὶ ἐπὶ τοῦ εἴδους ἡ αὐτὴ διδασκαλία γίνεται· τῶν γὰρ πρός τί εἰσιν. ἀλλὰ μὴν καὶ οὐκ ἠδυνάμεθα τὸ γένος ὁρίσασθαι καὶ εὐθέως τὴν διαφοράν, καὶ ἐᾶσαι τὸν περὶ τοῦ εἴδους λόγον ἐκκρεμῆ· μνείαν γὰρ τοῦ εἴδους ἐν τῷ ὁρισμῷ τοῦ γένους πεποιήμεθα.

Ἐπεὶ οὖν τὴν τάξιν ἐγνώκαμεν, φέρε καὶ ἐπὶ τὴν λείπουσαν διδασκαλίαν χωρήσωμεν· δεῖ γὰρ πρῶτον Ἀριστοτελικῷ νόμῳ κεχρημένους διαστείλασθαι τὴν ὁμωνυμίαν καὶ εἰπεῖν | περὶ ποίου σημαινομένου ἐστὶν ὁ 187r λόγος καὶ ὕστερον τὴν περὶ τούτου διδασκαλίαν προαγαγεῖν· ὁμώνυμος γὰρ φωνὴ τὸ εἶδος καὶ πάντως τοῦτο ἀπαιτεῖ. ἔστιν οὖν διττὸν τὸ εἶδος· λέγεται γὰρ εἶδος καὶ ἡ μορφή, ὥσπερ καὶ ἐν Φοινίσσαις ὁ Εὐριπίδης φησὶ

πρῶτον μὲν εἶδος ἄξιον τυραννίδος.

ἀλλὰ μὴν καὶ ἡ συνήθεια τοῦτο αὐτὸ δηλοῖ τὸν εὔμορφον εὐειδῆ καλοῦσα καὶ τὸν ἄμορφον δυσειδῆ. λέγεται δὲ καὶ εἶδος τὸ ὑποτασσόμενον τῇ γένει, ὥσπερ ὁ ἄνθρωπος εἶδος τοῦ ζῴου λέγεται. ἐγνωκότες οὖν ποσαχῶς λέγεται τὸ εἶδος, φέρε εἴπωμεν καὶ περὶ ποίου σημαινομένου ἐστὶν ὁ λόγος. περὶ τοῦ κατὰ φιλοσοφίαν τοίνυν εἴδους ὁ λόγος ἡμῖν ὑπάρχει. ἀλλὰ πρὸ τῆς τούτου διδασκαλίας ἀναγκαῖον εἰπεῖν τί φιλόψογοί τινες ἐγκαλοῦσι τῷ φιλοσόφῳ, καὶ ὕστερον ἐπ' αὐτὴν βαδίσωμεν. ἐγκαλοῦσι δέ τινες λέγοντες ὅτι οὐκ εἶπεν ἐπὶ τοῦ εἴδους πολλαχῶς εἶναι τὸ σημαινόμενον ὥσπερ καὶ ἐπὶ τοῦ γένους. φαμὲν δὲ πρὸς τούτους ὅτι περὶ τοῦ γένους διαλαμβάνων εἶπε· μὴ ἁπλῶς καὶ τὸ εἶδος λέγεσθαι, τοῦτ' ἔστι μοναχῶς, λέγων ἔοικε δὲ τὸ γένος καὶ τὸ εἶδος μὴ ἁπλῶς λέγεσθαι. ἕτεροι

---

1 χωρήσωμεν KT 3 ἀνωτάτω (priore loco) K (cf. Porph. p. 1,4) 5 μὲν om. V alt. δὲ om. V 7 καθολικὸν V 8 τοῦ εἴδους ὡς] τὸ εἶδος V 10 τὸ εἶδος om. K δὲ] scribas γὰρ 11 μνήμη] μνεία V ἐγένετο T 14 γίνεται Paris. 2089: λέγεται KTV ἐδυνάμεθα V 15 ἐάσειν V 16 ἐποιησάμεθα V 17 λείπουσαν] λοιπὴν K 18 Ἀριστ. νόμῳ] cf. p. 122,29 20 προσαγαγεῖν V 22 εἶδος καὶ ἡ μορφή] τὸ εἶδος καὶ μορφή T: καὶ τὸ εἶδος μορφή V ἐν φοινίκῃ V¹: ἐν φοινίσῃ V²; potius in Aeolo (cf. Nauck Trag. Gr. fr. p. 292) 25 δὲ om. K εἶδος καὶ colloc. K 26 ὁ om. V 28 ἡμῖν ante ὁ λόγος colloc. K 30 βαδίσομεν (sic) ἐπ' αὐτήν V δέ om. V 31 εἶπεν] ἔστιν K 34 λέγων Paris. 2089: om. KTV μήτε τὸ γένος μήτε τὸ εἶδος ἁπλῶς Porph.

Digitized by Google

δὲ ἐγκαλοῦσι, καθὸ οὐ λέγει περὶ ποίου σημαινομένου τοῦ εἴδους ἐστὶν αὐτῷ ὁ λόγος. οἱ δὲ πάνυ κακῶς ἐπιλαμβάνονται· εἰ γὰρ ὅλως περὶ εἴδους διαλαμβάνει, πάντως περὶ τοῦ κατὰ φιλοσοφίαν διαλήψεται, ἐπειδὴ καὶ περὶ τοῦ κατὰ φιλοσοφίαν γένους διέλαβεν. ἐπεὶ οὖν ἠλέγξαμεν τοὺς
5 μάτην ἐγκαλοῦντας τῷ φιλοσόφῳ, φέρε τὴν περὶ τοῦ εἴδους διδασκαλίαν, ὡς ἐπηγγειλάμεθα, σαφηνίσωμεν.

Τριχῶς τοίνυν ὁρίζεται τὸ εἶδος· λέγεται γὰρ εἶδος καὶ τὸ ὑποτασσόμενον τῷ γένει, λέγεται δὲ εἶδος καὶ οὗ κατηγορεῖται τὸ γένος, ἀλλὰ μὴν καὶ τὸ κατὰ πλειόνων καὶ διαφερόντων τῷ ἀριθμῷ ἐν
10 τῷ τί ἐστι κατηγορούμενον. ἰστέον δὲ ὅτι οἱ πρῶτοι δύο ὁρισμοὶ κοινωνίαν ἔχουσι πρὸς ἀλλήλους καὶ διαφοράν· καὶ κοινωνίαν μέν, καθὸ οἱ δύο τὸ εἶδος ὁρίζονται, διαφορὰν δέ, καθὸ ὁ μὲν πρῶτος ἔχει τὴν σχέσιν ἀπὸ τοῦ εἴδους ἐπὶ τὸ γένος χωροῦσαν ὁ λέγων τὸ ὑποτασσόμενον τῷ γένει, ὁ δὲ ἕτερος ἀπὸ τοῦ γένους ἐπὶ τὸ εἶδος ὁ λέγων οὗ κατηγορεῖται τὸ
15 γένος. ἀλλὰ μὴν καὶ ὁ τρίτος κοινωνίαν ἔχει πρὸς τούτους καὶ διαφοράν· κοινωνίαν μέν, καθὸ καὶ αὐτὸς τὸ εἶδος ὁρίζεται, διαφορὰν δέ, καθὸ αὐτὸς μὲν τοῦ εἰδικωτάτου εἴδους κατηγορεῖται, αὐτοὶ δὲ τοῦ ἀλλεπαλλήλου. καὶ εἰδικώτατον μέν, ὅτι φησὶν εἶδός ἐστι τὸ κατὰ πλειόνων καὶ διαφερόντων τῷ ἀριθμῷ ἐν τῷ τί ἐστι κατηγορούμενον (τὸ τοιοῦτον
20 δὲ σημαίνει τὸν ἄνθρωπον· ὁ γὰρ ἄνθρωπος πολλῶν κατηγορεῖται διαφερόντων τῷ ἀριθμῷ), ἀλλεπαλλήλου δὲ οὗτοι κατηγοροῦνται, καθὸ οὐχ ὁρίζουσι τὸ εἶδος τὸ κατὰ πλειόνων καὶ διαφερόντων τῷ ἀριθμῷ ἐν τῷ τί ἐστι κατηγορούμενον, ἀλλὰ τὸ εἶδος τὸ ὑποτασσόμενον | τῷ γένει καὶ οὗ 187v
κατηγορεῖται τὸ γένος. δυνατὸν δὲ τοῦτο καὶ ἐπὶ τοῦ ἀνθρώπου λαμβάνε-
25 σθαι καὶ ἐπὶ τοῦ ζῴου· καὶ γὰρ τὸ ζῷον εἶδός ἐστιν ὑποτασσόμενον τῷ γένει καὶ οὗ κατηγορεῖται τὸ γένος. τινὲς δὲ διαβάλλουσι τὸν λόγον ὡς διάλληλον ὄντα· ἐν μὲν γὰρ τῷ ὁρισμῷ τοῦ γένους εἴδους ἐμνησάμεθα, ἐν δὲ τῷ ὁρισμῷ τοῦ εἴδους γένους ὡσαύτως ἐμνησάμεθα. ἀγνοοῦσι δὲ οἱ τοιοῦτοι ὅτι μᾶλλον ἐπὶ τῶν πρός τι δεκτέος ἐστὶν ὁ διάλληλος λόγος ἤπερ
30 ἀποβλητέος. τοὐναντίον δὲ εἰ μὴ δι' ἀλλήλων ὡρίζοντο, ὑπὸ ἔγκλησιν ἔπιπτον. καὶ εὖγε τῆς ἐπιλύσεως, ὅτι οὐ μόνον ἐνέδραμεν εἰς τὰς ἡμετέρας ψυχάς, ἀλλὰ καὶ ἐπὶ ἑτέραν ἡμᾶς ποδηγεῖ ἀπορίαν· εἰκὸς γάρ τινα ἀπορῆσαι διὰ τί ἐπὶ τοῦ ὑστέρου ὁρισμοῦ οὐκ ἔστι διάλληλος ὁ λόγος· οὔτε γάρ ἐστιν ἐν αὐτῷ μνεία τοῦ γένους· ἄτοπον ἄρα ὑπάρχει τὸ τοιοῦτον. ἀλλ' ἔστιν

---

2 ante ἐπιλαμβ. add. αὐτῶν V 3 διαλήψεται—φιλοσοφίαν (4) om. V 4 γένους V²: εἴδους V¹ 6 σαφην.] ἐμφανίσωμεν V 7 ὁρίζονται KT 10 δὲ om. K δύο πρῶτοι colloc. T 12 καθὸ ὁ μὲν om. V 15 διαφορὰν ἔχει . . καὶ κοιν. colloc. TV 17 ἀλλεπαλλήλου K: ἐπαλλήλου TV (cf. v. 21) 18 ὅτι om. V 20. 21 διαφερόντων om. TV 21 τῷ om. K ἀλλεπάλληλοι T 24 δυνατὸν—γένος (26) om. K τοῦ (ante ἀνθρ.) Paris. 2089: om. TV 27 διάλληλον] δι' ἄλλον V 29 ὁ διάλλ. δεκτέος ἐστὶν colloc. V δεκτός K λόγος Paris. 2089: om. KTV 30 ἔγκλισιν T 31 ἐνέδραμεν] ἐνέδρασεν TV 32 ἀπορίαν ποδηγεῖται V 33 ὑστέρου] scribas τρίτου οὐκ ἔστι] οὐκέτι V οὔτε] an οὐδὲ ? 33 p. 145,1 ὁ om. KT 34 ἄρα] γὰρ K τοιοῦτο V

Digitized by Google

εἰπεῖν ὅτι ἔστι μὲν ἐν αὐτῷ διάλληλος ὁ λόγος, ἀλλ' οὐχ ὥσπερ οἱ πρῶτοι ἔχουσι τὸν διάλληλον λόγον, οὕτω καὶ οὗτος· ἐπὶ μὲν γὰρ ἐκείνων διάλληλος ὁ λόγος ὑπάρχει, καθὸ τοῦ γένους ἐμνήσατο, ἐπὶ δὲ τούτου, καθὸ καὶ τὰ ἄτομα εἰσφέρει καὶ ὑπὸ ἀτόμων εἰσφέρεται. ἰστέον δὲ ὅτι ἐπὶ τῶν τριῶν ὁρισμῶν τρεῖς σχέσεις νοοῦνται· οἱ μὲν γὰρ δύο πρῶτοι τὴν ἀπὸ τοῦ γένους ἐπὶ τὸ εἶδος καὶ τὴν ἀπὸ τοῦ εἴδους ἐπὶ τὸ γένος ἔχουσιν (ὁ γὰρ λέγων οὗ κατηγορεῖται τὸ γένος δηλοῖ τὴν ἀπὸ τοῦ γένους ἐπὶ τὸ εἶδος, ὁ δὲ λέγων τὸ ὑποτασσόμενον τῷ γένει δηλοῖ τὴν ἀπὸ τοῦ εἴδους ἐπὶ τὸ γένος), ὁ δὲ τρίτος τὴν πρὸς τὰ ἄτομα ἔχει. οὐδεὶς δὲ τούτων τέλειος ὑπάρχει· οὔτε γὰρ οἱ πρῶτοι ἔχουσιν τὴν πρὸς τὰ ἄτομα σχέσιν οὔτε ὁ ὕστερος τὴν πρὸς τὸ γένος. διὰ τοῦτο χρὴ μᾶλλον οὕτως ὁρίζειν· εἶδός ἐστι τὸ ὑποτασσόμενον τῷ γένει κατὰ πλειόνων καὶ διαφερόντων τῷ ἀριθμῷ ἐν τῷ τί ἐστι κατηγορούμενον.

p. 3,21 Τὸ δὲ εἶδος λέγεται μὲν καὶ ἐπὶ τῆς ἑκάστου μορφῆς.

Ζητοῦσι διὰ τί, πρὶν εἴπῃ διαφορὰν τοῦ εἴδους, τὸν συμπλεκτικὸν σύνδεσμον προήνεγκε. καί φασιν ἵνα δείξῃ ὅτι καὶ ἄνω ἄλλως λέγεται. ἀξία δὲ ἡ ἀπολογία τῆς ἀπορίας, ἀλλὰ γὰρ ὑπόψυχρος· τῷ γὰρ ὀρθῶς σκοποῦντι καλῶς ἔχει ἡ σύνταξις δηλονότι.

p. 4,3 Τὸ λευκὸν τοῦ χρώματος εἶδος.

Γένος γάρ ἐστι τὸ χρῶμα· φέρεται γὰρ καὶ ἐπὶ τοῦ λευκοῦ καὶ ἐπὶ τοῦ μέλανος καὶ ἐπὶ τοῦ ξανθοῦ. εἴδη δὲ αὐτοῦ τὰ τοιαῦτα.

p. 4,4 Τὸ δὲ τρίγωνον τοῦ σχήματος εἶδος.

Τὸ τρίγωνον εἶδος λέγεται, τὸ δὲ σχῆμα γένος. λέγουσι δέ τινες ὅτι κακῶς λέγει τὸ τρίγωνον εἶδος· οὐδέποτε γὰρ ἓν τῶν εἰδῶν τοῦ ἑτέρου προτερεύει, ὥσπερ ὁ ἄνθρωπος οὐ προτερεύει τοῦ ἵππου, οὐδὲ ὁ ἵππος τοῦ κυνός· | τὸ δὲ τρίγωνον καὶ τετράγωνον εἴ φησιν ὁ Πορφύριος εἶδη, 188r ἁμαρτάνει· προτερεύει γὰρ τὸ τρίγωνον τοῦ τετραγώνου· πάντως γὰρ ὁ τρία τοῦ τέσσαρα προηγεῖται. λέγουσι δέ τινες ὅτι πολλάκις ἐπειδὴ τὸ

---

1 ἔστι supra scr. K 4 ante ἐπὶ add. καὶ K 5 πρῶτοι] μίαν V 6 ἔχουσιν om. V 7 γὰρ om. V λέγων ὅτι T 9 τούτων om. KT 11 οὔτε] οὐδὲ V 12 καὶ om. V διαφόρων K 15 εἴποι K ἐμπλεκτ. V¹ 16 προσήνεγκε V φασιν αὐτῷ T¹ ante ἵνα add. ὅτι V καὶ (ante ἄνω) om. V 17 ἀπορία τῆς ἀπολογίας V 18 ante δηλ. add. καὶ V 19 τὸ δὲ λευκὸν Porph. εἶδος τοῦ χρ. colloc. TV 20 φέρεται] λέγεται V 21 ἐπὶ (ante τοῦ μέλ. et τοῦ ξανθ.) om. T 23 τοῦ τριγώνου λέγεται τὸ σχῆμα γένος V 26 ante τετρ. add. τὸ T 27 πρωτερεύει K 28 προηγεῖται] πρστερεύει T

Digitized by Google

τρίγωνον εὐθύγραμμον λέγεται, τὸ δὲ τετράγωνον ἰσόγραμμον, κατὰ ταύτας δὲ τὰς φωνὰς ἕτερον ἑτέρου οὐ προτερεύει, πρὸς τὸ εὐθύγραμμον ἀποβλέπων εἶδος αὐτὸ ἐκάλεσεν.

p. 4,4 Εἰ δὲ καὶ τὸ γένος ἀποδιδόντες τοῦ εἴδους μεμνήμεθα
5 εἰπόντες τὸ κατὰ πλειόνων καὶ διαφερόντων τῷ εἴδει ἐν τῷ τί ἐστι κατηγορούμενον, καὶ τὸ εἶδός φαμεν τὸ ὑπὸ τὸ ἀποδοθὲν γένος μέχρι τοῦ χρῆσθαι ἀμφοτέροις.

Φησὶν ὅτι εἰ καὶ ὁρίζοντες τὸ γένος εἴδους ἐμνημονεύσαμεν εἰρηκότες 'γένος ἐστὶ τὸ κατὰ πλειόνων καὶ διαφερόντων τῷ εἴδει', καὶ πάλιν τὸ
10 εἶδος ὁρίζοντες εἴπομεν 'τὸ ὑποτασσόμενον τῷ ἀποδοθέντι γένει', οὐ δόξει ὁ λόγος διάλληλος ὑπάρχων ὑπὸ ἁμαρτίαν ἄγειν ἡμᾶς· ταῦτα γὰρ τῶν πρός τι ὄντα οὐκ ἀποβάλλεται τὸν διάλληλον λόγον, τοὐναντίον δὲ ἀσπάζεται.

p. 4,8 Ἑκάτερον ἑκατέρου.

Τοῦτ' ἔστι διττοῦ.

15 p. 4,9 Ἀποδιδόασιν.

Ἀντὶ τοῦ ὁρίζουσιν.

p. 4,13 Αἱ δὲ ἄλλαι εἶεν ἂν καὶ τῶν μὴ εἰδικωτάτων.

Φησὶν ὅτι οἱ ἄλλοι ὁρισμοὶ οὐ μόνον τῶν εἰδικωτάτων εἰσὶν εἰδῶν, ἀλλὰ καὶ τῶν ὑπαλλήλων. εἰρήσεται δὲ ἡμῖν πλατύτερον τί ἐστιν ὑπάλ-
20 ληλον εἶδος.

Πρᾶξις ιζ'.

Αἰνιγματωδῶς εἰρηκότες περὶ τοῦ γένους καὶ τοῦ εἴδους ἐν τοῖς προλαβοῦσι, φέρε δὴ σαφηνείας χάριν παραδείγμασι χρησώμεθα οἱονεὶ δακτύλῳ δεικνύντες τὰ πράγματα, καὶ μάλιστα Ἀριστοτελικοῖς δοκίμοις οὖσι. πρὸ δὲ
25 τῆς Ἀριστοτελικῆς διαιρέσεως φέρε τινὰ φωτίζοντα τὴν διαίρεσιν εἴπωμεν.

---

1 λέγεται] γίνεται V κατὰ ταύτας T¹V: κατ' αὐτὰς KT² 2 οὐ om. T
4 καὶ om. K ἐμνησάμεθα KT 6 φαμεν τὸ om. T: φαμεν om. V
7 post μέχρι add. γὰρ KTV; delevi sec. Paris. 2089 κεχρῆσθαι Porph. 9 καὶ (ante πάλιν) om. T τὸ (ante εἶδος) om. V 10 ὁρίζοντες om. V εἴπομεν] φαμὲν V 11 ὑπάρχων] εἶναι καὶ V 12 ἀποβάλλει V 19 ἐπαλλήλων TV εἴρηται V δὲ om. T πλατύτερον om. V 19. 20 ἀλλεπάλληλον KT
21 πρᾶξις ιζ' scripsi: πρᾶξις ις' KV: om. T 22 τοῦ (ante εἴδους) om. TV
23 δὴ om. V

Digitized by Google

τὸ γένος διχῶς λέγεται· λέγεται γὰρ γένος γενικώτατον, λέγεται καὶ ὑπάλληλον. ἀλλὰ μὴν καὶ τὸ εἶδος διχῶς λέγεται· τῶν γὰρ πρός τί ἐστι τὸ γένος καὶ τὸ εἶδος. ἐπεὶ οὖν ὡς λαμβάνεται τὸ γένος, οὕτω καὶ τὸ εἶδος, δικαίως αὐτῷ τὸ διττὸν ἀπεκλήρωσαν· λέγεται γὰρ καὶ εἶδος εἰδικώτατον, λέγεται καὶ εἶδος ὑπάλληλον. καὶ ἐπειδὴ τὸ μὲν γενικώτατον γένος ἐπαναβεβηκὸς αὐτῷ ἄλλο τι οὐκ ἔχει, διὰ τοῦτο καὶ ὑπερθετικῇ φωνῇ ἐχρησάμεθα (οὕτω γὰρ καὶ τὸ ἄγαν λευκὸν καὶ μὴ μετέχον μέλανος λευκότατόν φαμεν), τὸ δὲ ὑπάλληλον γένος ἔχει ὑπερβεβηκὸς γένος, ὅπερ καὶ εἶδος λέγεται, οἷον τὸ ζῷον τὴν οὐσίαν. πάλιν εἰδικώτατον εἶδος λέγεται, οὗ μή ἐστιν ὑποβεβηκὸς εἶδος (διὰ τοῦτο ἐπ' αὐτοῦ ὑπερθετικῇ φωνῇ ἐχρησάμεθα), ὑπάλληλον δὲ εἶδός ἐστιν, ὃ μὴ μόνον εἶδος λέγεται, ἀλλὰ καὶ γένος. τὸ μὲν οὖν ἀκρότατον γένος γενικώτατον λέγεται, τὸ δὲ ἀκρότατον εἶδος εἰδικώτατον, τὸ δὲ μέσον γένος ὑπάλληλον γένος, τὸ δὲ μέσον εἶδος ὑπάλληλον εἶδος. ἔστιν οὖν κατανοῆσαι τρία | ὄντα τὰ πράγματα καὶ τέσσαρας τὰς 188v σχέσεις· δύο μὲν τὰ ἄκρα, ἓν δὲ τὸ ἐν μέσῳ, καὶ μία μὲν σχέσις ἐστὶν ἡ ἀπὸ τοῦ γενικωτάτου γένους πρὸς τὰ κάτω, μία δὲ ἡ ἀπὸ τοῦ εἰδικωτάτου εἴδους πρὸς τὰ ἄνω, δύο δὲ τῶν ὑπαλλήλων· ἔχουσι γὰρ μίαν πρὸς τὰ ἄνω καὶ μίαν πρὸς τὰ κάτω. ἐπεὶ οὖν ἐγνώκαμεν τρία εἶναι τὰ πράγματα, τέσσαρας δὲ τὰς σχέσεις, φέρε εἴπωμεν διὰ τί ὑπάλληλα τὰ τοιαῦτα λέγεται. τινὲς μὲν λέγουσιν ὅτι διὰ τοῦτο ὑπάλληλα λέγεται, ἐπειδὴ ἀλλήλοις ὑποτάσσεται. κακῶς δέ· τούτῳ γὰρ τῷ λόγῳ καὶ τὸ εἰδικώτατον εἶδος ὑπάλληλον λεχθήσεται ἄλλοις ὑποτασσόμενον· ὑπάλληλα γὰρ λέγεται, καθὸ δύνανται καὶ γένη εἶναι καὶ εἴδη, καὶ εἴδη μὲν πρὸς τὰ πρὸ ἑαυτῶν, γένη δὲ πρὸς τὰ μεθ' ἑαυτά. καὶ ὑπάλληλον μὲν εἶδος λέγομεν τὸ δυνάμενον καὶ γένος εἶναι, ὑπάλληλον δὲ γένος τὸ δυνάμενον καὶ εἶδος εἶναι. τὸ ὑπάλληλον οὖν ἁρμόζει τοῖς δύο. ἰστέον δὲ ὅτι οὐ χρὴ λέγειν ὑπάλληλον γένος καὶ ὑπάλληλον εἶδος ἐπὶ τοῦ αὐτοῦ, ἵνα μὴ ἀδολεσχήσωμεν· ἀρκεῖ γὰρ τὸ ἕν· λέγων γὰρ ὑπάλληλον εἶδος δηλοῖς τὸ γένος καὶ ὑπάλληλον γένος δηλοῖς τὸ εἶδος· περὶ οὗ δὲ ὁ λόγος γίνεται, τὸ ὑπάλληλον προσλαμβάνει.

Μαθόντες δὲ τί γενικώτατον γένος καὶ τί εἰδικώτατον εἶδος καὶ τί ὑπάλληλον, φέρε τὴν Ἀριστοτελικὴν διαίρεσιν παραθῶμεν, ὡς ἐπηγγειλάμεθα, ἵνα ἀκριβέστερα ἐξ αὐτῆς τὰ λεγόμενα ποιήσωμεν. οἱ Ἀριστοτελικοὶ τὸ γενικώτατον γένος οὕτω διαιροῦσιν· ἡ οὐσία ἢ σῶμα ἢ ἀσώματον, τὸ

---

4 αὐτῷ τὸ] αὐτὸ V καὶ (post γὰρ) om. T 5 ὑπάλλ. εἶδος colloc. V
7 οὕτω] τοῦτο KT καὶ (ante μὴ) om. V μετέχον] μετέχειν γάλακτος (sed γάλακτος del.) V 8 ὑπεραναβεβηκὸς V 10 ὑπερθ. ἐπὶ αὐτοῦ colloc. T
12 οὖν om. T 13 τὸ δὲ μέσον γέν. ὑπ. γένος om. V 14 τὰ (ante πράγματα) Paris. 2089: om. KTV τὰς om. T 16 τὸ κάτω TV 17 τὸ ἄνω TV
18 τὸ ἄνω T τὸ κάτω KT 21 δέ om. V 23 αὐτῶν T
24 αὐτὰ T 25 ὑπάλλ. δὲ Paris. 2089: καὶ ὑπάλλ. KT: καὶ (ὑπάλλ.—δυνάμενον καὶ om.) V εἶναι om. KV 27 τὸ αὐτό V 28. 29 δηλοῖ (bis) K
31 δὲ om. K 33 ἀκριβέστερον V 34 ἢ σῶμα] εἰς σῶμα V

Digitized by Google

σῶμα ἢ ἔμψυχον ἢ ἄψυχον, τὸ ἔμψυχον ἢ ζῷον ἢ ζωόφυτον ἢ φυτόν, τὸ ζῷον ἢ λογικὸν ἢ ἄλογον, τὸ λογικὸν ἢ θνητὸν ἢ ἀθάνατον, καὶ εἰ μὲν θνητόν, δηλοῖ τὸν ἄνθρωπον, εἰ δὲ ἀθάνατον, δηλοῖ τὸ θεῖον. καὶ τὴν μὲν οὐσίαν φασὶ γενικώτατον γένος, καθὸ ἐπαναβεβηκός τι αὐτῆς οὐκ ἔστιν
5 ἕτερον γένος, εἰδικώτατον δὲ εἶδός φασι τὸν ἄνθρωπον, καθὸ ὑποβεβηκὸς αὐτοῦ εἶδος οὐκ ἔστι (τοῦτο γάρ ἐστι τὸ ἔσχατον), τὸ ζῷον δὲ καὶ τὸ ἔμψυχον ὑπάλληλα γένη καλοῦσιν, ἔτι δὲ καὶ ὑπάλληλα εἴδη, καθὸ μέσα ὄντα δύνανται καὶ γένη εἶναι καὶ εἴδη. ἐπειδὴ δὲ ἐπιλαμβάνονται τῆς τοιαύτης διαιρέσεως οἱ Πλατωνικοὶ καὶ οὐκ ὀλίγος ἐστὶν ὁ περὶ αὐτῆς λόγος,
10 φέρε ὀλίγα περὶ τοῦ ζῴου καὶ ζωοφύτου καὶ φυτοῦ ζητήσαντες καταπαύσωμεν τὴν θεωρίαν, ἐν ἑτέρᾳ τὰ ἐκ τῶν Πλατωνικῶν ἀντιτιθέμενα διδάσκειν εὐτρεπιζόμενοι. διαιρεῖται τοίνυν τὸ ἔμψυχον εἰς ζῷον ζωόφυτον φυτόν. καὶ φυτόν ἐστι τὸ ἔχον τρεῖς δυνάμεις, τὴν γεννητικὴν τὴν αὐξητικὴν τὴν θρεπτικήν. καὶ εὖγε τῆς δημιουργίας τῆς φύσεως· χαρισαμένη γὰρ ἡμῖν
15 τὴν γεννητικὴν | ἐχαρίσατο καὶ τὴν αὐξητικήν, ἵνα δι' αὐτῆς τέλειοι γενό- 189r
μενοι ἐπιτήδειοι πρὸς τὸ γεννᾶν ἐσόμεθα· εἰ γὰρ ἐμένομεν παῖδες, οὐ δυνατῶς εἴχομεν φύειν ἕτερον. ἐπειδὴ δὲ καὶ ἡ αὐξητικὴ δέεται θρεπτικῆς, ἀναγκαίως τὴν θρεπτικὴν ἡμῖν ἐδωρήσατο. ταύταις οὖν ταῖς τρισὶ δυνάμεσιν εἰ προσέλθῃ τις αἴσθησις, ποιεῖ τὸ ζωόφυτον. ὅτι δὲ ἔχει αἴσθησιν
20 τὸ ζωόφυτον, σαφὲς ἐκ τοῦ ἐν τοῖς ὕδασιν ἡδόμενον ἐξαπλοῦσθαι καὶ κάρφους ἀνιῶντος συστέλλεσθαι. εἰ ἐπὶ τούτοις δὲ γίνηται κίνησις, γίνεται τὸ ζῷον. ἰστέον δὲ ὅτι ὅπου κίνησις, ἐκεῖ καὶ αἴσθησις, οὐχ ὅπου δὲ αἴσθησις, ἐκεῖ καὶ κίνησις, ὡς χείρων δὲ τῆς κινήσεως οὖσα ἡ αἴσθησις ὑποτάττεται τῇ κινήσει. ἴσως δὲ ἀπορήσει τις λέγων 'πόθεν δῆλον ὅτι ἡ
25 κίνησις ἔχει αἴσθησιν;' πόθεν δῆλον; ἐκ τοῦ μὴ ποιεῖν τι τὴν φύσιν μάτην· εἰ οὖν ἐκτὸς τῆς αἰσθήσεως ἐδημιούργει ἡ φύσις, ἐμέλλομεν ἀποχρημνοῦν καὶ ἐπ' ἀπωλείᾳ βαδίζειν αἴσθησιν ἐν τῇ κινήσει μὴ ἔχοντες, ὅπερ ἡ φύσις οὐ βούλεται· τοσοῦτον γὰρ ἡ φύσις τῶν οἰκείων κήδεται δημιουργημάτων, ὅτι καὶ τῷ σκώληκι τῆς ὁράσεως ἀποτυχόντι τὸ μαλθακὸν ἐχαρίσατο, ἵνα
30 μὴ ἀποχρημνιζόμενος ἐπ' ἀπωλείᾳ γένηται. ἔχομεν ἐντεῦθεν πορισμοῦ μοῖραν ὅτι οὐχ ὑγιῶς ἔχει ὁ ὁρισμὸς τοῦ ζῴου· συμπεριλαμβάνει γὰρ καὶ τὸ ζωόφυτον· φαμὲν γὰρ τὸ ζῷον οὐσίαν ἔμψυχον αἰσθητικήν· τοιαῦτα δὲ καὶ τὰ ζωόφυτα. δεῖ οὖν προσθεῖναι τὸ αὐτοκίνητον, τοῦτ' ἔστιν οὐσία ἔμψυχος αἰσθητικὴ αὐτοκίνητος. κίνησιν δὲ λέγω τὴν ἀπὸ τόπου εἰς τόπον.

---

1 ἢ φυτόν om. T 3 τὸ θεῖον] τὸν ἄγγελον V 4 αὐτοῦ V 6 δὲ Paris. 2089: γὰρ KTV 8 οὐ δύνανται V εἴδη εἶναι καὶ γένη colloc. K δὲ om. V 11 ἑτέροις K 12 ζωόφυτον καὶ V 13 γεννητικὴν V^1T^1 15 ἐχαρίσατο—αὐξητικήν om. K 16 πρὸς τὴν γένναν (sic) T 17 ἂν εἴχομεν T 19 προσέλθοι KV 19. 20 ὅτι—ζωόφυτον om. V 20 ἡδόμενον] scribas ἡδέσιν (ἐπὶ γλυκεῖ ὕδατι Elias) 21 κάρφει Brand. ἀνιῶντος] ἀνιόντος K εἰ post δὲ colloc. V γίνεται (pr. l.) TV 22 καὶ (post ἐκεῖ) om. T 26 ἡμέλλομεν T ἀποχρημνοῦν ἑαυτοὺς T: ἀπὸ κρημνοῦ V 28 τοσοῦτον—δημιουργημάτων om. V 30 κρημνιζόμενον K: ἀποκρημνιζόμενον T 31 συμπεριλαμβάνεται T 31. 33 καὶ om. V 33 καὶ τὸ αὐτοκ. V 33. 34 αὐτοκίνητον—αἰσθητικὴ om. K 33 τοῦτ' ἔστιν om. V

Digitized by Google

Πρᾶξις ιη'.

Ὥσπερ ἀληθείας προϊστάμενοι οἱ τὰ Πλάτωνος πρεσβεύοντες δόγματα τῆς Ἀριστοτελικῆς διαιρέσεως ἐπιλαμβάνεσθαι σπουδάζουσι· φασὶ γὰρ ὅτι ἐναντία ἑαυτῷ καὶ τοῖς ἄλλοις φθέγγεται ὁ Ἀριστοτέλης φάσκων τὴν οὐσίαν διαιρεῖσθαι εἰς ἐναντιότητας, εἴ γε ἐν Κατηγορίαις φησὶ μὴ ἔχειν αὐτὴν ἐναντιότητα. Πλωτῖνος δὲ καὶ τὴν αἰτίαν ἔλεγε· φησὶ γὰρ δικαίως· οὐκ ἔχει ἡ οὐσία ἐναντιότητα, καθὸ οὐκ ἔστιν ἐν ὑποκειμένῳ· αὐτὴ γὰρ ὑποκείμενον ὑπάρχει· τὰ γοῦν ἐναντία πάντως ἐν ὑποκειμένῳ ὄντα τὴν μάχην ποιεῖται· οὕτω γὰρ τὸ ψυχρὸν καὶ τὸ θερμὸν ἕνεκεν τοῦ ὑποκειμένου μάχονται· βούλεται γὰρ ἓν ἕκαστον τοῦ ἄλλου τὸ ὑποκείμενον λαβεῖν· τὸ ψυχρὸν γὰρ σπεύδει μεταβάλλειν τὸ θερμὸν εἰς ψυχρόν. ὅτι δὲ εἰς ἐναντία διαιρεῖ ὁ Ἀριστοτέλης τὴν οὐσίαν, σαφὲς ἐκ τῶν λεγομένων· φησὶ γὰρ 'ἡ οὐσία διαιρεῖται εἰς σῶμα καὶ ἀσώματον'. τὸ σῶμα καὶ τὸ ἀσώματον ἐναντία εἰσίν. ἀλλὰ μὴν οὐδὲ αὕτη ἐστὶν ἁμαρτία μόνη, ἀλλὰ καὶ ἑτέρα· φησὶ γὰρ ὅτι καὶ τὸ σῶμα διαιρεῖται εἰς ἔμψυχον καὶ ἄψυχον· ἐναντίον δὲ τὸ ἔμψυχον τῷ ἀψύχῳ. ἄλλως δὲ ἡμάρτηται· δεῖ γὰρ μᾶλλον ἐκ τοῦ ἐμψύχου διελεῖν τὸ σῶμα· εἰ γὰρ καὶ ψυχὴν καὶ σῶμα ἔχει τὸ ἔμψυχον, | ὁμολογουμένως τοῦ ἐμψύχου ⟨μέρος⟩ τὸ σῶμα. τοὐναντίον δὲ ἐκ τοῦ σώματος 189v τὴν διαίρεσιν ἐποιήσατο λέγων αὐτὸ διαιρεθῆναι εἰς ἄψυχον καὶ ἔμψυχον. τρίτη ἁμαρτία ἀναφύεται Ἀριστοτέλει, ὅτι φησὶ τὸ θεῖον σῶμα εἶναι· τοῦτο γὰρ συνάγεται αὐτῷ ἐκ τῆς τοιαύτης διαιρέσεως· εἰ γὰρ ἐκ τοῦ ἐμψύχου σώματος γίνεται τὸ ζῷον καὶ ἐκ τοῦ ζῴου τὸ ἀθάνατον λογικόν, ἔσται ἄρα καὶ τὸ λογικὸν ἀθάνατον σῶμα.

Τοιαύταις μέμψεσι τὴν Ἀριστοτέλους οἱ Πλατωνικοὶ καταποντίσαντες διαίρεσιν ἐπὶ ἑτέραν, ἣν ἔχειν καλῶς νομίζουσι, τὸ βάδισμα ἐπιταχύνουσιν. ἄμεινον δὲ πρῶτον ὑπὲρ τῆς δοκούσης κακῶς ἔχειν Ἀριστοτελικῆς διαιρέσεως ἀπολογήσασθαι καὶ εἰθ' ὕστερον τὴν τῶν Πλατωνικῶν ἐκθέσθαι· ἔστι γὰρ εἰπεῖν ὡς οὔτε ὅλως ἥμαρτον περὶ τῆς τοιαύτης διαιρέσεως οἱ Ἀριστοτέλει πειθαρχοῦντες· δεῖξαι γὰρ ἔχομεν ἐκ περιουσίας ὡς οὐδὲ ἐναντία εἰσὶ ταῦτα, τέως οὐδὲ ἀντικείμενα. διαιρεῖται τοίνυν τὸ ἀντικείμενον εἰς τέσσαρα· ἤτοι

---

1 πρᾶξις ιη' K¹: πρᾶξις ιζ' K²V: om. T 2 δόγματα om. K 3 τῆς om. T ἐπιλαμβάνονται διαιρέσεως (σπουδάζουσι om.) T 4 ἑαυτῷ Urb. 35: αὐτῷ KTV ὁ om. V οὐσίαν ex αἰτίαν corr. T 5 ἐναντιότητας Brand.: ἐναντιότητα KV: compend. T ἐν Κατηγορίαις] cf. p. 3b24 6 Πλωτῖνος] cf. Enn. VI, 3, 12 p. 627 7 οὐσία ex αἰτία corr. T αὐτὴ Brand.: αὕτη KVT 8 πάντως] πάντα Brand. 9 τὸ θερμὸν καὶ ψυχρὸν V τοῦ om. KV 10 οὐ βούλεται V ἓν om. T 11 γὰρ om. K τὸ θερμὸν μεταβάλαι (sic) V εἰς om. T 12 ὁ om. V 13 pr. καὶ] ἢ V scribas τὸ ⟨δὲ⟩ σῶμα 15 καὶ (post ὅτι) om. V 16 ἔμψυχον τῷ ἀψύχῳ] ἄψυχον τῷ ἐμψύχῳ T 18 μέρος addidi (cf. p. 151,7) 19 ἐποιήσαντο λέγοντες V ἄψυχον καὶ ἔμψυχον colloc. TV 22 καὶ (ante ἐκ) om. V ἔστω KV 25 post ἑτέραν add. διαίρεσιν V τὸ βάδισμα νομίζουσιν colloc. V 27 εἰθ' om. V 28 an οὐδὲ? (quod iam non adnotabo) ὅλως om. KT περὶ τῆς τ. διαιρ.] περὶ τὴν τοιαύτην (διαιρ. om.) KT

Digitized by Google

γὰρ τὰ ἀντικείμενα ἐναντία ἐστὶν ὥσπερ τὸ θερμὸν καὶ τὸ ψυχρόν (ταῦτα δὲ εἰς ἄλληλα θέλει μεταβάλλειν), ἤτοι ὡς ἕξις καὶ στέρησις (μεταβάλλεται γὰρ τούτων τὸ ἓν εἰς τὸ ἕτερον, ὥσπερ ἡ ἕξις εἰς στέρησιν, οὐκέτι δὲ ἡ στέρησις εἰς ἕξιν· ἀπὸ γὰρ ἕξεως στέρησις γίνεται, ἀπὸ δὲ στερήσεως οὐκ
5 ἔτι ἕξις), ἢ ὡς τὰ πρός τι (ταῦτα γὰρ σώζει ἄλληλα, ὡς πατὴρ καὶ υἱός), ἢ ὡς ἀντίφασις 'ὁ δεῖνα περιπατεῖ ἢ οὐ περιπατεῖ'· τὸ τοιοῦτον δὲ οὐ δύναται κατ' ἄμφω ἀληθεύειν καὶ κατ' ἄμφω ψεύδεσθαι· ἐκ γὰρ τῆς καταφάσεως ἢ ἀποφάσεως γίνεται ἡ ἀντίφασις. ὅπου γὰρ ἡ ἀπόφασις ἀληθεύει, ἐκεῖ ψεύδεται ἡ κατάφασις, οἷον οὐ περιπατεῖ· τὸ περιπατεῖ ὧδε ψεύδεται.
10 ὅπου δὲ ἡ κατάφασις ἀληθεύει, ἐκεῖ ψεύδεται ἡ ἀπόφασις· περιπατεῖ Σωκράτης· οὐ περιπατεῖ τοῦτο ψεύδεται· ἅπαξ γὰρ ἐρρέθη 'περιπατεῖ'. ὥστε οὖν ἀδύνατον τὰ δύο ἀληθεύειν ἢ ψεύδεσθαι. ὅτι δὲ οὐκ ἀντίκειται τὸ σῶμα τῷ ἀσωμάτῳ καθ' ἕνα τῶν λεγομένων τρόπων, σαφὲς ἐντεῦθεν· τὸ σῶμα καὶ τὸ ἀσώματον οὐκ ἔστιν ἐναντία, καθὸ οὐ πέφυκεν εἰς ἄλληλα
15 μεταβάλλειν· οὔτε γὰρ τὸ σῶμα ἀσώματον οὔτε τὸ ἀσώματον σῶμα, ὥσπερ τὸ ψυχρὸν εἰς θερμὸν μεταβάλλεται καὶ τὸ θερμὸν εἰς ψυχρόν. οὔτε μὴν ἀντίκειται ὥσπερ ἕξις καὶ στέρησις, καθὸ οὐδέτερον αὐτῶν μεταβάλλει εἰς τὸ ἕτερον, ἀλλὰ μὴν ἡ ἕξις μόνον εἰς στέρησιν μεταβάλλεται, οὐκ ἔτι δὲ ἡ στέρησις εἰς ἕξιν. συγχωρείσθω δὲ τὸ ὁποῖόν τι θέλεις εἰς τὸ ἕτερον
20 μεταβάλλειν, ἀλλὰ μὴν τοῦτο ἀδύνατον· ὁμολογουμένως οὐκ ἀντίκειται κατὰ τοῦτον τὸν τρόπον. οὔτε μὴν ὡς τὰ πρός τι ἀντίκειται, ἐπειδὴ τὰ πρός τι σώζει ἄλληλα, ταῦτα δὲ φθείρει· ὅπου γὰρ σῶμα, οὐκ ἔστι τὸ ἀσώματον, καὶ ὅπου τὸ | ἀσώματον, οὐκ ἔστι σῶμα. ἀλλὰ μὴν οὐδὲ κατὰ 190r
τὸν τῆς ἀντιφάσεως ἀντίκειται· ἐπὶ μὲν γὰρ τῆς ἀντιφάσεως τὰ δύο οὐ
25 δύνανται ἀληθεύειν ἢ ψεύδεσθαι, ἐπὶ δὲ τούτων καὶ τὰ δύο ἀληθεύει καὶ ψεύδεται· ἀληθεύει μὲν ὡς ἵνα εἴπῃ 'ὁ ἄνθρωπος σῶμα καὶ οὐκ ἀσώματον' (ἄμφω γὰρ ἀληθεύει), ψεύδεται δὲ ὡς ἵνα εἴπῃ 'τὸ λευκὸν σῶμα καὶ μὴ ἀσώματον'· κατ' ἄμφω γὰρ ψεύδεται· ἐψεύσατο δὲ καθ' ἓν σῶμα λέγων τὸ λευκὸν καὶ καθ' ἕτερον ὅτι μὴ ἀσώματον. ὁ αὐτὸς λόγος καὶ ἐπὶ τοῦ
30 ἐμψύχου καὶ τοῦ ἀψύχου· οὔτε γὰρ ἀντίκειται ὡς τὰ πρός τι οὔτε ὡς ἕξις καὶ στέρησις οὔτε ὡς ἀντίφασις, καθὸ οὔτε σώζει ἄλληλα οὔτε τὸ ἓν εἰς τὸ ἕτερον μεταβάλλεται οὔτε ἐπὶ τοῦ ἑνὸς ἀληθεύει καὶ ἐπὶ τοῦ ἑτέρου ψεύδεται. τοῦτο μόνον δοκεῖ ἐναντιοῦσθαι· πολλάκις γὰρ εἴποι τις ὡς

---

1 εἰσὶν V τὸ (ante ψυχρὸν) om. K 2 ἕξεις V 3 γὰρ] δὲ V
4. 5 οὐκ ἔτι ἕξις] ἕξις οὐ γίνεται T 5 ὁ πατὴρ καὶ ὁ υἱός V 6 τοιοῦτο V
7. 8 τῆς ἀντιφάσεως γίνεται ἡ ἀπόφασις καὶ ἡ κατάφασις V 8 γὰρ scripsi: δὲ libri
ἡ (ante ἀπόφασις) om. KT 9 οἷον om. V 12 ἀδύνατον om. V 13 τρόπον V
ἐνταῦθα K 15 post τὸ σῶμα addas γίνεται τὸ (ante ἀσώμ.) colloc. ante
alt. σῶμα V 18 ἡ (ante ἕξις) om. K 19 ἡ (ante στέρησις)] εἰς V
θέλει K τὸ (ante ἕτερον) om. K 21 μήν γε V 22 post σῶμα add.
ἐστὶν V 23 οὐκ ἔστι] οὐκέτι τὸ V 23. 24 κατὰ τὸν ἀντιφ. ἀντίκ. λόγον K
26 μὲν] δὲ V ὁ om. KT 27 τὰ γὰρ ἄμφω T 29 καὶ (post λευκὸν)
om. K ὁ αὐτὸς δὲ λόγος K 30 ante τοῦ ἀψύχου add. ἐπὶ K
32 τὸ (ante ἕτερον) om. K 33 τοῦτο δὲ T

Digitized by Google

ἀντίκεινται ὡς τὰ ἐναντία· μεταβάλλει γὰρ εἰς ἄλληλα· ἰδοὺ γὰρ ἡ τροφὴ ἄψυχόν τι οὖσα εἰς ἔμψυχον μεταβάλλεται (γίνεται γὰρ αἷμα), καὶ τὸ ἔμψυχον πάλιν εἰς τὸ ἄψυχον, ὡς τὰ ἐν γενέσει καὶ φθορᾷ. καί φαμεν ὅτι οὐ δύναται εἶναι ἐναντία, καθὸ οὐδέποτε τὰ ἐναντία σώζει ἄλληλα, τοὐναντίον δὲ ἀναιρεῖ· ὁρῶμεν δὲ ὅτι καὶ τὸ ἄψυχον σώζει τὸ ἔμψυχον, ὥσπερ ἡ τροφὴ καὶ τὰ ἐδέσματα. τὸ δὲ λέγειν ὡς ἥμαρτον ἀπὸ τοῦ σώματος λέγοντες τὸ ἔμψυχον (τοῦ γὰρ ἐμψύχου μέρος ἐστὶ τὸ σῶμα), πάνυ φαῦλον ὑπάρχει· οὔτε γὰρ πᾶν σῶμα μέρος ἐστὶ τοῦ ἐμψύχου, ἀλλὰ τὸ τοιόνδε· τὸ οὖν ἁπλῶς σῶμα διαιρεῖται εἰς ἔμψυχον καὶ ἄψυχον. τρίτον ἔλεγον καλεῖν Ἀριστοτέλην τὸ λογικὸν ἀθάνατον σῶμα εἰς τὴν τοιαύτην διαίρεσιν. φαμὲν δὲ ὅτι οὐ τὸ θεῖον τὸ ποιοῦν ἡμῶν πρόνοιαν λέγει ἐκ τοῦ ζῴου διαιρεῖσθαι, ἀλλὰ τὰ οὐράνια σώματα· βούλεται γὰρ τὰ τοιαῦτα θεῖα λογικὰ καλεῖν. καὶ εἰ φήσουσι 'πῶς τὸν ἥλιον θεῖον καλεῖ;' λέξομεν 'τί γὰρ ἄτοπον Ἀριστοτέλην λέγειν τὰ οὐράνια σώματα θεῖα, ὅπου γε καὶ ὁ Πλάτων ἐν πολλοῖς τοὺς ἄνδρας καλεῖν θείους ἠξίωσεν;' εἴρηται δὲ τὰ τοιαῦτα θεῖα διὰ τὸ θέειν, τοῦτ' ἔστι τρέχειν· ἕνεκα γὰρ τούτου καὶ τὸ θεῖον τὸ προνοούμενον ἡμῶν θεῖον ἐκλήθη, καθὸ πάντῃ περιθέει.

Ἀπολογησάμενοι οὖν ὑπὲρ τῆς τῶν Ἀριστοτελικῶν διαιρέσεως φέρε καὶ κατὰ τὴν ἡμετέραν ἐπαγγελίαν τὴν τῶν Πλατωνικῶν ἐκθησόμεθα. διαιροῦσι τοίνυν τὴν οὐσίαν οὕτως· ἡ οὐσία διαιρεῖται εἰς σῶμα καὶ ἀσώματον καὶ εἰς μικτόν. τὸ σῶμα ἢ ἀκίνητόν ἐστιν ἢ κεκινημένον. καὶ εἰ μὲν ἀκίνητον ἐστι, ποιεῖ τὸν τόπον (δικαίως δὲ ὁ τόπος ἀκίνητός ἐστι· τὸ γὰρ κινούμενον ἐν τόπῳ ἐστίν· εἰ δὲ καὶ ὁ τόπος ἐκινεῖτο, ἐν τόπῳ ἐζήτει κινεῖσθαι· εἶναι δὲ τόπον ἐν τόπῳ ἄτοπον), εἰ δὲ κινούμενον, ἢ κύκλῳ κινεῖται ἢ κατ' εὐθύ. καὶ εἰ μὲν κατ' εὐθὺ κινεῖται, εἰ μὲν ἄνω, γίνεται τὸ πῦρ καὶ ὁ ἀήρ, | εἰ δὲ κάτω, τὸ ὕδωρ καὶ ἡ γῆ. εἰ δὲ κύκλῳ, εἰ 190v μὲν ἀπ' ἀνατολῶν εἰς δυσμάς, γίνεται ἡ ἀπλανὴς σφαῖρα, εἰ δὲ ἀπὸ δυσμῶν ἐπὶ ἀνατολάς, γίνεται ἡ ὑποκάτω καὶ αἱ ἄλλαι. τὸ ἀσώματον διαιρεῖται εἰς ἔνυλον καὶ εἰς ἄυλον. καὶ εἰ μὲν εἰς ἔνυλον, ποιεῖ τὴν φυτικὴν καὶ ἄλογον ψυχήν, εἰ δὲ εἰς ἄυλον φύσει καὶ ἐνεργείᾳ ἄφθαρτον, γίνεται τὸ

---

1 γὰρ om. V 4 δύνανται KT 5 ἄψυχον ex ἔμψυχον corr. K 10 καλεῖν ἀριστοτέλην] ἀρ. καλ. T: ἐγκ. ἀρ. V τοιαύτην] τοιάνδε T 11 οὐ] οὔτε V 13 λέξωμεν T 14 ἀριστοτέλειν (sic) λέγοντα T ὅπου γε] ἐξ οὗ V ὁ om. V 16 ἕνεκεν TV γὰρ om. V 17 πάντῃ] παντὶ K 18 ἀπολογισάμενοι K οὖν om. K ὑπὲρ τῶν ἀρ. διαιρέσεων V 19 καὶ om. KT ἐκθησώμεθα T 20. 21 καὶ (ante ἀσώμ. et εἰς)] ἢ V 22 pr. ἐστι om. V 22. 23 τὰ γὰρ κινούμενα V 23 καὶ om. V ἐν τόπῳ] ἐκ τόπου K 24 τὸν τόπον K ἀπλανὴς scripsi ex Urb. 35: ἁπλῶς KTV 27. 28 ἀπὸ δυσμῶν] ἀπὸ ἀνατολῶν, sed in mrg. adscripta sunt οὕτω ἐχρῆν οἶμαι λέγειν· εἰ μὲν ἀπ' ἀνατολῶν εἰς δυσμάς, γίνεται ἡ ὑπὲρ γῆν σφαῖρα· εἰ δὲ ἀπὸ δυσμῶν ἐπὶ ἀνατολάς, γίνεται ἡ ὑποκάτω K 28 ἐπὶ ἀνατολάς om. T scribas γίνονται αἱ ὑποκάτω καὶ πλανώμεναι (ποιεῖ σφαίρας τῶν πλανωμένων ἀστέρων Urb. 35) 29 pr. καὶ] ἢ V alt. et tert. εἰς om. T 29. 30 φυτικὴν καὶ ἄλογον secundum Eliam pseudepigr. scripsi: φυτικὴν καὶ ἔνυλον K: φυσικὴν καὶ ἔνυλον T: φυσικὴν καὶ ἄλογον V

Digitized by Google

θεῖον (τοῦτο γὰρ ἀσώματόν ἐστι καὶ ἀεὶ ἄφθαρτον κατὰ τὴν φύσιν καὶ κατὰ τὴν ἐνέργειαν), εἰ δὲ κατὰ μὲν τὴν φύσιν ἄφθαρτον κατὰ δὲ τὴν ἐνέργειαν φθαρτόν, δηλοῖ τὴν λογικὴν ψυχήν. τὸ μικτὸν ἀπὸ σώματος καὶ ἀσωμάτου ἐστί, διὸ καὶ μικτὸν καλεῖται. ποιεῖ δὲ τοῦτο τὸ ἔμψυχον· ἔμψυχον γάρ ἐστι μικτόν. τὸ ἔμψυχον διαιρεῖται εἰς τὸ ζῷον καὶ εἰς τὸ ζῳόφυτον καὶ εἰς τὸ φυτόν. καὶ εἰ μὲν ᾖ τὸ φυτὸν χαμαιπετές, λέγεται πόα, εἰ δὲ ὑψιπετές, δένδρον, εἰ δὲ μέσον, θάμνος. οὐκ ἔστι δὲ ἀνεπίληπτος ἡ τοιαύτη διαίρεσις· κακῶς γὰρ λέγουσιν τὸν τόπον εἶναι σῶμα· ἔσται γὰρ σῶμα διὰ σώματος χωροῦν, εἰ τὰ κινούμενα ἐν τόπῳ κινεῖται. ἀλλὰ μὴν τοῦτο ἄτοπον. οὐκ ἔστιν οὖν ὁ τόπος σῶμα. ἄλλως τε ἐκ τῶν αὐτῶν δείκνυται ὅτι οὐκ ἔστι σῶμα· εἰ γὰρ τὸ σῶμα ἐν τόπῳ θέλει εἶναι, σῶμα δὲ ὁ τόπος, ἔσται ὁ τόπος ἐν τόπῳ, ἔτι δὲ καὶ ὁ ἄλλος τόπος ἐν τόπῳ καὶ ⟨τοῦτο⟩ ἐπ' ἄπειρον, ὅπερ ἄτοπον.

p. 4,15 Καθ' ἑκάστην κατηγορίαν ἐστί τινα γενικώτατα.

Φησὶν ὅτι εὑρίσκομέν τινα γενικώτατα κατηγορούμενα καί τινα εἰδικώτατα· γενικώτατον μὲν ὡς εἴπομεν τὴν οὐσίαν, εἰδικώτατον δὲ ὡς εἴπομεν τὸν ἄνθρωπον. λέγουσι δὲ ὅτι οὐκ ὤφειλεν εἰπεῖν γενικώτατα· οὔτε γὰρ κατηγορεῖται ἕν τι πολλῶν γενικωτάτων· δεῖ οὖν ἑνικῶς λέγειν γενικώτατον ἢ τὸ πληθυντικὸν ἀνθ' ἑνικοῦ νοεῖσθαι.

p. 4,17 Ὑπὲρ ὃ οὐκ ἂν εἴη ἄλλο ὑπερβεβηκὸς γένος.

Καλῶς εἶπε γένος· ἔστι γὰρ τὸ ὂν ἐπαναβεβηκὸς τῆς οὐσίας, ἥτις γενικώτατον λέγεται, ἀλλ' οὐκ ἔστι γένος, ὥς φησιν Ἀριστοτέλης. Ἀριστοτέλει οὖν πειθαρχῶν ὁ Πορφύριος οὐ λέγει τὸ ὂν γένος, εἰ καὶ τὰ μάλιστα βούλεται ὁ Πλάτων αὐτὸ εἶναι γένος.

p. 4,18 Μεθ' ὃ οὐκ ἂν εἴη ἄλλο ὑποβεβηκὸς εἶδος.

Καὶ ὧδε καλῶς εἶπε τὸ εἶδος· ἔστι γὰρ καὶ ἄλλα τῷ εἴδει ὑποβεβηκότα ὡς ὁ Σωκράτης καὶ Πλάτων, ἀλλ' οὐκ εἴδη.

---

1 καὶ (ante ἀεὶ) om. TV 2. 3 ἄφθαρτον—ἐνέργειαν om. V 3 τοῦ σώματος V 4 τὸ om. V 5. 6 καὶ εἰς ζωόφ. καὶ εἰς φ. T: ἢ εἰς τὸ ζωόφ. ἢ εἰς τὸ φ. V 6 εἴη K: ἐστι V 7 οὐκ ἔστι] οὐκέτι V 8 εἶναι τὸν τ. colloc. K: εἶναι τὸν τόπον εἶναι T 9 εἰ τὰ κινούμενα] εἶτα κινούμενον V 10 ante τοῦτο add. καὶ T 11 τὸ om. V 12 ἔτι—τόπῳ om. T 13 τοῦτο ex Urb. 35 inserui 15 κατηγορούμενα γενικωτάτων V 15. 16 post εἰδ. add. καὶ V 16 γενικωτάτων V εἴπομεν] p. 148,4. 5 17 ὀφείλει V οὔτε] οὐ V 19 ἀντὶ ἑνικῶν νοεῖσθω V 20 ὑπερβεβ.] ἐπαναβεβηκὸς Porph. (cf. v. 21) 21 καλῶς οὖν T 22 ὥς φησιν Ἀριστ.] cf. Metaph. Δ 7 p. 1017a22 sq. 22. 23 ἀριστοτέλη T 23 τὰ om. T 24 αὐτὸ ὁ πλάτων colloc. V 25 ante μεθ' add. εἰδικώτατον δὲ T 26 alt. καὶ om. KT 27 ὁ] τὸ KT

Digitized by Google

p. 4,22 Ὑπὸ δὲ ταύτην ἐστὶ σῶμα.

Τελείως οὐκ ἐπεξέρχεται τῇ διαιρέσει· διαιρεῖται γὰρ ἡ οὐσία οὐ μόνον εἰς σῶμα, ἀλλὰ καὶ εἰς ἀσώματον. μήποτε δὲ τὰ συμβαλλόμενα τῷ παραδείγματι παραδίδωσι.

5 p. 4,32 Καὶ πᾶν τὸ πρὸ τῶν ἀτόμων προσεχὲς εἶδος ἂν εἴη μόνον, οὐκέτι δὲ καὶ γένος.

Καλῶς εἶπε τὸ προσεχές· ἰδοὺ γὰρ τὸ ζῷον κατηγορεῖται τοῦ Σωκράτους καὶ Πλάτωνος, οὐκ ἔστι δὲ ὅμως μόνον εἶδος, καθὸ προσεχῶς τῶν ἀτόμων οὐ κατηγορεῖται. τὰ οὖν προσεχῶς κατηγορούμενα τῶν ἀτόμων
10 ταῦτα εἴδη μόνον λέγεται ὡς ὁ ἄνθρωπος. |

Πρᾶξις ιθ'. 191r

Πάρεστιν ὁ Πορφύριος περὶ τῶν αὐτῶν τὴν διδασκαλίαν ποιούμενος, πρῶτον περὶ τῶν ἄκρων διδάξων εἶθ' ὕστερον περὶ τῶν μέσων, φημὶ δὲ περὶ τῶν ὑπαλλήλων. φησὶν οὖν ὅτι τὸ γενικώτατον μίαν σχέσιν ἔχει τὴν πρὸς τὰ
15 ὑπ' αὐτό, τὸ δὲ εἰδικώτατον μίαν τὴν πρὸς τὰ πρὸ αὐτοῦ, τὰ δὲ ὑπάλληλα μίαν μὲν τὴν πρὸς τὰ πρὸ αὐτῶν, ἄλλην δὲ τὴν πρὸς τὰ μετ' αὐτά. σαφῆ δὲ ὑπάρχει τοῦ τοιούτου τὰ παραδείγματα. τινὲς δὲ λέγουσιν ὅτι κακῶς λέγει φάσκων τὸ εἰδικώταταν μίαν σχέσιν ἔχειν τὴν πρὸς τὰ πρὸ αὐτοῦ· δύο γὰρ ἔχει, τὴν μὲν μίαν τὴν πρὸς τὰ πρὸ αὐτοῦ οἷον ὁ ἄνθρω-
20 πος πρὸς τὸ ζῷον, ἄλλην δὲ τὴν πρὸς τὰ ἄτομα. κακῶς δὲ ἐπιλαμβάνονται τοῦ φιλοσόφου· μίαν γὰρ λέγει τὴν τοιαύτην σχέσιν, καθὸ ἑκατέρα αὐτῶν εἴδους ἐστὶ σχέσις· ἡ μὲν γὰρ ἀνθρώπου πρὸς τὸ ζῷον εἴδους ἐστὶ πρὸς τὸ γένος, ἡ δὲ ἀνθρώπου πρὸς Σωκράτην καὶ Ἀλκιβιάδην εἴδους ἐστὶ πρὸς τὰ ἄτομα. δικαίως οὖν ταύτην μίαν καλεῖ διὰ τὸ τὴν αὐτὴν εἶναι. τὰ
25 μέντοι ὑπάλληλα διττὴν ἔχει τὴν σχέσιν, καθὸ οὐ τὴν αὐτὴν πρὸς τὸ ἄνω καὶ τὸ κάτω ἔχει· πρὸς μὲν γὰρ τὸ ἄνω ὡς εἴδός ἐστι πρὸς γένος, πρὸς

---

2 ἐπεξέρχεται] ἐξεξέρχεται K¹: ἐξέρχεται V 3 συμβαλλ.] παραβαλλόμενα K
5 προσεχὲς] προσεχῶς κατηγορούμενον Porph. (cf. v. 9) 7 τοῦ om. V
8 οὐκ ἔστι scripsi: οὐκέτι libri ὅμως scripsi: ὁμοίως KV: ὁμῶς T μόνως T
εἶδος T²: καὶ εἶδος K: καὶ εἴδους T¹V 10 ταῦτα om. K 11 πρᾶξις ιη' V:
om. T 13 εἶθ' οὕτως ὕστ. V 15 ὑφ' αὐτὸ V 16 μετ' αὐτά] μετὰ
ταῦτα V 17 τοῦ] τὰ T τοιούτ.] τούτου T τὰ om. KT
alt. δὲ om. KT 18 λέγει φάσκων] φάσκει V 19 ἑαυτοῦ V (bis)
τὴν (post μίαν) om. TV 21 καθὸ ἑκατέρα αὐτῶν] καθ' ἑκάτερα ἀπὸ τοῦ V
22 ἡ μὲν γὰρ] εἰ μὲν V ἀπὸ ἀνθρ. TV εἶδος (alt. l.) V 23 τὸ om. V
ἡ] εἰ V 23 εἶδος V 24 οὖν om. V μίαν om. V

Digitized by Google

δὲ τὸ κάτω ὡς γένος πρὸς εἶδος. παραδείγματι δὲ σαφεῖ τὸ λεγόμενον παραβάλλει· φησὶ γάρ· νόησόν μοι τὸν Δία ἀρχὴν εἶναι τοῦ γένους τῶν Τανταλιδῶν καὶ ἀπ' αὐτοῦ κατάγεσθαι Τάνταλον, ἀπὸ Ταντάλου Πέλοπα, ἀπὸ Πέλοπος Ἀτρέα, ἀπὸ Ἀτρέως Ἀγαμέμνονα, ἀφ' οὗ Ὀρέστης. καὶ τὸν
5 μὲν Δία ὡς μὴ γεννηθέντα ἔκ τινος πατέρα μόνον λέγομεν (πατὴρ γάρ ἐστι τῶν Τανταλιδῶν), τὸν δὲ Ὀρέστην μόνον υἱόν (υἱὸς γὰρ καθὸ ἐγεννήθη, οὐκ ἐγέννησε), τὸν δὲ Τάνταλον καὶ Πέλοπα καὶ Ἀτρέα καὶ Ἀγαμέμνονά φαμεν πατέρας, καθὸ πάντες ἐγέννησαν, καὶ υἱούς, καθὸ πάντες ἐγεννήθησαν. οὕτως οὖν καὶ ἐπὶ τῶν προκειμένων ἔστιν εἰπεῖν· τὴν μὲν γὰρ οὐσίαν μόνον
10 γενικώτατον λέξομεν, καθὸ γένος πρὸ αὐτῆς οὐκ ἔχει, τὸν δὲ ἄνθρωπον μόνον εἰδικώτατον, καθὸ εἶδος μόνον ἐστὶ καὶ οὐ γένος, τὸ δὲ ἔμψυχον καὶ τὸ ζῷον καὶ τὸ λογικὸν ὑπάλληλα, καθὸ δύνανται καὶ γένη εἶναι καὶ εἴδη.

Ἰστέον δὲ ὡς οὐ πάντῃ ἔοικε τὸ κατὰ φιλοσοφίαν γενικώτατον γένος τούτῳ τῷ παραδείγματι (καὶ δικαίως, ἵνα μὴ τὸ αὐτὸ ἔσται ἀλλὰ διαφέρῃ),
15 καθὸ δυνατόν ἐστιν ἐπὶ μὲν τοῦ Διὸς λέγειν ὑπὸ ἕν τι ἀνάγεσθαι πάντα τὰ κατὰ συνήθειαν γένη, λέγω δὲ ὑπὸ τὸν Δία (πατὴρ γὰρ ἀνδρῶν τε θεῶν τε), ἐπὶ δὲ τοῦ γενικωτάτου γένους οὐ τοῦτο δυνατόν ἐστιν· οὐ γὰρ εὐποροῦμεν γένους, ὅπερ πάντων τῶν γενικωτάτων κατηγορεῖται. πολλάκις δ' ἂν εἴποι τις ὡς τὸ ὂν ὡς γένος κατηγορεῖται τῶν γενικωτάτων γενῶν, λέγω δὲ τῶν
20 δέκα κατηγοριῶν. πρὸς τοῦτο δὲ λέξομεν ὅτι οὔτε ὡς γένος εἰς ταύτας διαιρεῖται οὔτε ὡς ἄλλο τι· | ἔχομεν γὰρ ἐκ περιουσίας δεῖξαι ὅτι οὔτε 191v
ὡς ἄλλο τι· τὰ διαιρούμενα εἴς τινα κατὰ ἓξ τρόπους διαιρεῖται· ἤτοι ὡς γένος εἰς εἴδη ὥσπερ τὸ ζῷον εἰς ἄνθρωπον καὶ ἵππον καὶ κύνα, ἢ ὡς εἶδος εἰς ἄτομα ὥσπερ ὁ ἄνθρωπος εἰς Ἀλκιβιάδην Σωκράτην καὶ Πλάτωνα,
25 ἢ ὡς ὅλον εἰς μέρη ὥσπερ ὁ Σωκράτης εἰς κεφαλὴν καὶ χεῖρας καὶ πόδας, ἢ ὡς ὁμώνυμος φωνὴ εἰς διάφορα σημαινόμενα ὥσπερ ὁ κύων εἰς τὸν γηγενῆ καὶ θαλάττιον καὶ ἀστρῷον, ἢ ὡς οὐσία εἰς συμβεβηκότα οἷον ὁ ἄνθρωπος εἰς ἄνδρα καὶ γυναῖκα (ταῦτα γὰρ οὐδὲν διαφέρει κατὰ τὴν οὐσίαν ἀλλὰ κατὰ τὰ συμβεβηκότα, φημὶ δὲ κατὰ τὰ ἐξέχοντα μόρια·
30 οὕτω γὰρ καὶ ὁ Γαληνός φησιν ὅτι οὐδὲν διαφέρει τὸ γύναιον τοῦ ἀνδρὸς εἰ μὴ κατὰ τὰ μόρια), ἢ ὡς συμβεβηκὸς εἰς οὐσίαν ὡς τὸ λευκὸν εἰς κύκνον καὶ χιόνα καὶ ψιμύθιον. κατὰ δὲ ἕνα τῶν τοιούτων τρόπων οὐ δύναται διαιρεῖσθαι τὸ ὂν εἰς τὰ γενικώτατα γένη. καὶ πρῶτόν γε περὶ τῶν

---

1 alt. δὲ om. V 2 φησὶ γάρ] cf. p. 6,2 sq. 3 τὸν τάνταλον K 5 λεγόμενον TV 9 μόνον scripsi: μόνην libri 10 γενικωτάτην KV 13 παντὶ T 14 διαφέρει KT 18 ὅπερ] οὕτως V δ' ἂν] δὲ TV 19 ὡς τὸ γένος V 20 λέξωμεν T γένως V¹ ταύτας] τὰς δέκα κατηγορίας V 21 γὰρ om. KT 21. 22 ὅτι οὔτε ὡς ἄλλο τι eras. T 22 ὡς] εἰς K ἤτοι] ἢ T 23 ἵππον καὶ ἄνθρ. colloc. V καὶ (ante ἵππον) om. K 24 εἴδη V ἄτομον K ἀλκιβ. deleas 25 καὶ (ante χεῖρας) om. KT 27 οὐσίαν V 28 οὐδὲν] οὐ Brand. 30 ὁ Γαληνός φησιν] spectare videtur Περὶ χρείας τῶν μορίων IV p. 158 (Kühn) 31 συμβεβηκότα V 32 pr. καὶ] εἰς V ψιμμύθιον KT ἕνα δὲ colloc. V 33 πρῶτον γε] πρότερον KT

Digitized by Google

πέντε φαμέν, εἶθ' ὕστερον περὶ τοῦ γένους. τὸ ὂν εἰς τὰ γενικώτατα γένη οὐ δύναται ὡς εἶδος διαιρεῖσθαι, ὅτι τὰ εἴδη εἰς ἄτομα διαιρεῖται, τὰ δὲ ἄτομα μίαν φύσιν δηλοῖ, τὰ γενικώτατα δὲ πολλὰς φύσεις δηλοῖ. εἰ οὖν πολλὰς φύσεις δηλοῦσιν, ὁμολογουμένως τὸ ὂν οὐ διαιρεῖται ὡς εἰς ἄτομα εἰς τὰ γενικώτατα γένη. τί οὖν; ὡς ὅλον εἰς μέρη διαιρεῖται; οὐδαμῶς· τὸ γὰρ ὅλον εἰς ὁμοιομερῆ διαιρεῖται ὥσπερ τὸ ξύλον εἰς πολλὰ ξύλα ἢ εἰς ἀνομοιομερῆ ὥσπερ ὁ Σωκράτης εἰς κεφαλὴν καὶ χεῖρας καὶ πόδας· καὶ εἰ μὲν εἴπῃς εἰς ὁμοιομερῆ, ψεύσῃ· τὸ γὰρ ὁμοιομερὲς τοῦ αὐτοῦ ὀνόματος μετέχει καὶ πράγματος, τοῦ αὐτοῦ δὲ ὀνόματος οὐ μετέχει ἡ οὐσία καὶ τὰ συμβεβηκότα οὐδὲ τοῦ αὐτοῦ πράγματος· πρόδηλον γάρ. εἰ δὲ εἴπῃς εἰς ἀνομοιομερῆ, πάλιν ψεύσῃ· τὰ γὰρ ἀνομοιομερῆ οὐ προσαγορεύονται τῷ ὀνόματι τοῦ ὅλου· τὴν γὰρ κεφαλὴν Σωκράτους οὔ φαμεν Σωκράτην, φαμὲν δὲ τὴν οὐσίαν ὄν. ἀλλὰ μὴν οὔτε ὡς ὁμώνυμος φωνὴ διαιρεῖται, ἐπειδὴ ἡ ὁμώνυμος φωνὴ μόνον ὀνομασίας μεταδίδωσιν, οὐ μὴν καὶ πράγματος, τὸ δὲ ὂν οὐ μόνον ὀνόματος μεταδίδωσι τοῖς γενικωτάτοις ἀλλὰ καὶ πράγματος. ἀλλὰ μὴν οὐδέποτε ὁμώνυμος φωνὴ μεταδίδωσι τοῖς ὑπ' αὐτὴν σημαινομένοις κατὰ τὸ μᾶλλον καὶ ἧττον· ὁρῶμεν δὲ ὅτι ἡ οὐσία μᾶλλον ὄν ἐστι, τὰ δὲ συμβεβηκότα ἧττον ὄντα. τί οὖν ὡς οὐσία εἰς συμβεβηκότα διαιρεῖται; οὐκοῦν ὤφειλον τὰ δέκα γένη συμβεβηκότα καλεῖσθαι. εἰ οὖν ὂν καλοῦνται, οὐδὲ ὡς οὐσία εἰς συμβεβηκότα. ἀλλὰ μὴν οὔτε ὡς συμβεβηκὸς εἰς οὐσίαν, ἐπεὶ πάντα οὐσία ὤφειλον λέγεσθαι. εἰ δὲ οὐ λέγεται, ὁμολογουμένως | οὐδὲ ὡς συμβεβηκὸς εἰς οὐσίαν. λείπεται δεῖξαι ὅτι οὐδὲ 192r
ὡς γένος εἰς εἴδη. ἀρκτέον δὲ οὕτως· ἐν τοῖς ὑπὸ τὸ αὐτὸ γένος τελοῦσιν εἴδεσιν οὐκ ἔστι τὸ φύσει πρῶτον καὶ ὕστερον. εἰ οὖν ἡ οὐσία προτερεύει φύσει τῶν συμβεβηκότων, πρόδηλον ὡς οὐκ ἔσται τὰ τοιαῦτα εἴδη· εἰδῶν δὲ μὴ ὄντων οὐδὲ γένος ὑπάρχει. ὅτι δὲ ἡ οὐσία φύσει προτερεύει τῶν συμβεβηκότων, σαφὲς ἐκ τοῦ ἔχειν τὰ τοῖς φύσει πρώτοις παρακολουθοῦντα. τὸ τῇ φύσει πρῶτον συνεισφέρεται καὶ οὐ συνεισφέρει, συναναιρεῖ καὶ οὐ συναναιρεῖται· οἷον τὸ ζῷον φύσει ἐστὶ πρῶτον τοῦ ἀνθρώπου· συνεισφέρεται γὰρ καὶ οὐ συνεισφέρει· λέγων γὰρ 'ἄνθρωπός ἐστι' συνεισφέρεις τὸ ζῷον (εἰ γὰρ ἄνθρωπος, καὶ ζῷον), λέγων δὲ 'ζῷόν ἐστιν' οὐ συνεισφέρεις τὸν ἄνθρωπον· οὔτε γὰρ πᾶν ζῷον ἄνθρωπός ἐστι. πάλιν συναν-

---

1 εἶθ' οὕτως ὕστ. V εἰς γενικώτατα γένη T: ὡς γενικώτατον γένει (sic) V
3 τὰ γενικ.—δηλοῖ om. V 4 ὡς superscr. T: om. KV ἄτομα] εἴδη V
5 pr. εἰς] ὡς KV 7 εἰς (post ἢ)] ὡς V: om. T ὁ om. K καὶ (ante χεῖρας) om. T 8 εἴπῃς om. V εἰς τὰ ὁμοιομερῆ TV τὸ γὰρ—ψεύσῃ (v. 11) om. V 13 ὂν om. V 14 ἡ om. V 17 τὸ ἧττον K
18 ὂν om. K οὐσίαν V 19. 21 ὤφελον V 19 20 εἰ οὖν ὂν] ἀλλ' οὐ K
20 post οὐσία superscr. τοίνυν K 20. 21. 22 συμβεβηκὸς] συμβεβηκότα V
21 οὐ om. K 22 ἀποδεῖξαι V 23 ἀρκτέον—αὐτὸ in ras. K 24 εἰ] ἡ T ἡ om. V 25 ὡς om. V 26 οὐδὲ] οὔτε KT γένη KT ἡ om. V
27 τοῖς] τῇ K φύσει—παρακολουθοῦντα] lac. XII fere litt. K 28 τῇ om. V ante συναναιρεῖ add. καὶ V 30 pr. γὰρ Paris. 2089: δὲ KT: om. V
30 et 31. 32 συνεισφέρεις] συνεισφέρει V 31 εἰ] οἷον V 32 πάλιν om. T

Digitized by Google

αιρεῖ καὶ οὐ συναναιρεῖται· λέγων γὰρ 'οὐκ ἔστι ζῷον' ἀναιρεῖς καὶ τὸν ἄνθρωπον, λέγων δὲ 'οὐκ ἔστιν ἄνθρωπος' οὐ συναναιρεῖς τὸ ζῷον. τὸ αὐτὸ δὲ καὶ ἐπὶ τῆς οὐσίας καὶ τῶν συμβεβηκότων ὑπάρχει· συνεισφέρεται γὰρ ἡ οὐσία καὶ οὐ συνεισφέρει· εἰ γὰρ εἴπῃς 'λευκόν ἐστι', συνεισφέρεις καὶ τὴν οὐσίαν (οὐ γάρ ἐστι λευκὸν ἔν τινι χωρὶς οὐσίας), λέγων δὲ 'ἄνθρωπός ἐστιν' οὐ συνεισφέρεις τὸ συμβεβηκός· οὔτε γὰρ πᾶς ἄνθρωπος λευκὸς ὑπάρχει. συναναιρεῖ δὲ καὶ οὐ συναναιρεῖται, ὅτι λέγων 'οὐκ ἔστιν ἄνθρωπος' συναναιρεῖς καὶ τὸ λευκόν, λέγων δὲ 'οὐκ ἔστι λευκόν' οὐκ ἀναιρεῖς καὶ τὸν ἄνθρωπον· οὔτε γὰρ ἐὰν μὴ ᾖ τις λευκός, ἄνθρωπος πάντως οὐκ ἔστιν. ἔτι οὐδέποτε ἐν τοῖς ὁμογενέσιν εἴδεσιν τὰ μὲν ἄσχετά ἐστι τὰ δὲ ἐν σχέσει, ἀλλ' ἢ πάντα ἄσχετά ἐστιν ἢ πάντα ἐν σχέσει· ὁρῶμεν δὲ ἐπὶ τῶν προειρημένων γενικωτάτων γενῶν ὅτι τὰ μὲν ἄσχετά ἐστιν, ὥσπερ ἡ οὐσία καὶ τὰ συμβεβηκότα, τὰ δὲ ἐν σχέσει, ὡς ὁ πατὴρ καὶ ὁ υἱός, τὸ διπλοῦν καὶ τὸ ἁπλοῦν· οὐκ ἔστιν ἄρα ταῦτα εἴδη. ἔτι οὐδέποτε ἐν τοῖς ὁμογενέσιν εἴδεσι τὸ ἓν ὑποκείμενον τοῦ ἑτέρου γίνεται· ὁρῶμεν δὲ ὅτι ἡ οὐσία ὑποκείμενόν ἐστι τῶν συμβεβηκότων· οὐκ ἄρα εἴδη εἰσὶ τὰ τοιαῦτα. τέταρτον οὐδέποτε τὰ εἴδη παρωνύμως ἀπὸ τοῦ γένους παρονομάζεται, οἷον τὸ λογικὸν οὐ λέγομεν ζωότητα· εἰ δὲ παρωνύμως ταῦτα λέγεται (εἶναι γὰρ αὐτά φαμεν), ὁμολογουμένως οὐκ ἔστιν εἴδη. πέμπτον ἐν τοῖς ὁμογενέσιν εἴδεσιν οὐδέποτε τὸ μᾶλλον καὶ ἧττόν ἐστιν· εἰ δὲ ἐν τούτοις θεωρεῖται τὸ μᾶλλον καὶ ἧττον, ὥσπερ ἐν τῇ οὐσίᾳ τὸ μᾶλλον (μᾶλλον γὰρ ὄν ἐστιν), ἐν δὲ τοῖς συμβεβηκόσι τὸ ἧττον (ἧττον γάρ εἰσι τῆς οὐσίας), ὁμολογουμένως οὐκ ἔστι τὰ τοιαῦτα εἴδη. ἕκτον καὶ ἀναντίρρητον εἰ λέγεται ταῦτα εἴδη, πάντως καὶ διαφοραὶ λέγεται· εἴδη γὰρ μεταξὺ τῶν δια|φορῶν γίνεται. τί οὖν; κατηγορεῖται τούτων τὸ ὂν ἢ οὐ κατηγο- 192v
ρεῖται; εἰ μὲν εἴπῃς ὅτι κατηγορεῖται, ἀτόποις περιπεσῇ (οὐδέποτε γάρ φαμεν τῶν ἰδίων διαφορῶν γένος κατηγορεῖσθαι, διὸ οὔ φαμεν ζωότητα τὴν λογικότητα), εἰ δὲ μὴ εἴπῃς κατηγορεῖσθαι τὸ ὂν τῶν διαφορῶν, οὐκ εἰσὶν αἱ διαφοραί, διαφορῶν δὲ μὴ οὐσῶν οὐκ ἔσται εἴδη, εἰδῶν δὲ μὴ ὄντων οὐδὲ γένος ἔστι. καὶ τοσαῦτα μὲν ὑπὲρ τοῦ μὴ εἶναι τὸ ὂν γένος. ἐν ἑτέρᾳ δὲ θεωρίᾳ τὰ συνηγοροῦντα Πλάτωνι παραθησόμεθα. χωρητέον οὖν ἐντεῦθεν ἐπὶ τὴν λέξιν.

p. 5,14 Τὴν δὲ ὡς πρὸς τὰ μετ' αὐτὸ οὐκ ἀλλοίαν ἔχει.

Ἐν τούτῳ λύει τὸ ἄπορον· φησὶ γάρ· κἂν ἔχῃ τὸ εἰδικώτατον σχέσιν

---

1 alt. καὶ om. TV 4 λευκόν Paris. 2089: λευκός KTV 8 τὸ λευκόν (alt. l.) K 9 ἢ] ἔστι TV 9. 10 πάντως οὐκ ἔστι ἄνθρ. colloc. V 13 ὡς om. V 15 εἴδεσι om. V 15. 16 ὑποκείμενον—οὐσία om. V 19 αὐτά] ταῦτα K 20 τὸ ἧττον V 20. 21 ἐστιν—ἧττον om. V 21 τὸ ἧττον T ἐν τῇ οὐσίᾳ Paris. 2089: ἡ οὐσία KTV 22 ante μᾶλλον add. καὶ V 24 διαφοραὶ] διαφορὰ V 26 εἴποις V 27 τῶν ἰδίων—φαμεν om. V οὐ supra scr. K 29. 30 μὴ ὄντων δὲ εἰδῶν colloc. V 31 ἐν om. TV 32 οὖν om. TV 33 καὶ τήνδε ὡς V μετ' αὐτὰ KTV (cf. p. 157,1) 34 ἰδικώτατον K

Digitized by Google

ὡς πρὸς τὰ πρὸ αὐτοῦ καὶ πρὸς τὰ μετ' αὐτό, ἀλλ' οὖν διαφορὰ οὐκ ἔστι καὶ διὰ τοῦτο δύο σχέσεις τὴν τοιαύτην σχέσιν οὐ λέγουσι· λέγεται γὰρ εἶδος καὶ πρὸς τὰ ἄτομα ὡς περιέχον αὐτά, λέγεται καὶ εἶδος τῶν πρὸ αὐτοῦ ὡς περιεχόμενον ὑπ' αὐτῶν.

5 p. 5,23 Τὰ δὲ πρὸ τῶν εἰδικωτάτων ἄχρι τοῦ γενικωτάτου ἀνιόντα γένη λέγεται καὶ εἴδη καὶ ὑπάλληλα γένη.

Φησὶν ὅτι τὸ ζῷον καὶ τὸ ἔμψυχον καὶ τὸ σῶμα καὶ ὅλα τὰ μέσα γένη καὶ εἴδη λέγεται, διὰ ταῦτα καὶ ὑπάλληλα γένη λέγεται.

p. 6,4 ⟨Ὡς ἐπὶ τὸ πλεῖστον⟩.

10 Ὡς ἐπὶ τὸ πλεῖστόν φασι λέγειν αὐτόν, ἐπειδὴ οὐ πάντων τῶν γενῶν ὁ Ζεὺς ἀρχὴ ὑπάρχει, εἴ γε δηλοῖ τοῦτο ὁ ποιητὴς λέγων

τριχθὰ δὲ πάντα δέδασται.

p. 6,6 Ὡς φησιν Ἀριστοτέλης.

Βούλεται παραστήσασθαι ἐξ Ἀριστοτελικῶν παραδειγμάτων ὡς οὐκ 15 ἔστι τὸ ὂν γένος ἀλλ' ὁμώνυμος φωνή· ὀνόματος γὰρ μόνον μεταδίδωσι ταῖς δέκα κατηγορίαις, οὐκέτι δὲ καὶ πράγματος. καλοῦμεν δὲ πάντα τὰ γενικώτατα γένη ὄντα.

p. 6,9 Συνωνύμως ἂν πάντα ὄντα ἐλέγετο.

Λέγει γὰρ ὅτι εἰ γένος ἦν τὸ ὄν, καὶ πράγματος μετεδίδου καὶ ὀνό- 20 ματος τοῖς δέκα γενικωτάτοις γένεσιν.

p. 6,10 Ἡ κοινωνία κατὰ τοὔνομα μόνον, οὐκέτι μὴν καὶ κατὰ τὸν λόγον τὸν κατὰ τοὔνομα.

Φησὶν ὅτι ὀνόματος μεταδίδωσιν, οὐκέτι δὲ καὶ τοῦ κατὰ τοὔνομα πράγματος.

---

1 ὡς om. V alt. πρὸς τὰ om. K 2 post σχέσεις add. ἔχειν εἰς V 4 post αὐτῶν add. ἀφορίζοντες ἀντὶ τοῦ δηλοῦσι (δηλοῦντες T) σημαίνουσι TV 5 δὲ] δὴ Porph. τοῦ ex τῶν corr. V 6 post pr. γένη add. τε Porph. καὶ (post εἴδη) om. V 7 καί φησιν T 9 lemma inserui 11 ἀρχὴ ὁ Ζεὺς colloc. T ἄρχει V¹ ὁ ποιητὴς] Hom. O 187 13 ὁ Ἀριστ. Porph. 14. 15 οὐκ ἔστι] οὐκέτι K 15 γὰρ] δὲ V 18 συνώνυμα K ἂν om. KT 19 γὰρ om. V 19. 20 καὶ ὀνόματος μετεδ. colloc. V 21 ἡ κοινωνία δὲ KV μὴν om. KT 23 τοῦ om. V

Digitized by Google

Πρᾶξις κ'.

Ἐπειδήπερ οὐκ ἐχρῆν τὰ Πλάτωνος παριδεῖν δόγματα ἀνδρὸς εἰς φῶς τὴν φιλοσοφίαν ἐνέγκαντος, φέρε συνηγορίαν τινὰ αὐτῷ τοῦ εἶναι γένος τὸ ὂν ἐκθησόμεθα· φησὶ γὰρ ὅτι γένος ἐστὶ τὸ ὄν· τὸ γὰρ μεταδιδοῦν ὀνό-
5 ματος καὶ πράγματος καθολικοῖς τισι τοῦτο γένος λέγεται· εἰ οὖν τὸ ὂν μεταδίδωσι τοῖς δέκα γενικωτάτοις γένεσιν ὀνόματος καὶ πράγματος, σαφὲς ὅτι γένος ἐστί. πρόσκειται δὲ καθολικοῖς διὰ τὸ εἰδικώτατον εἶδος· τοῦτο γὰρ μεταδίδωσι τοῖς ἀτόμοις ὀνόματος καὶ πράγματος, γένος δὲ οὐκ ἔστι, καθὸ τὰ ἄτομα καθολικὰ οὔκ εἰσι. διαφωνεῖ δὲ πρὸς τὰ τοιαῦτα | ὁ Ἀριστοτέλης, 193r
10 ὡς καὶ πρὸ μικροῦ ἐξέθετο ὁ Πορφύριος γένος οὐ λέγων τὸ ὄν, ἀλλ' ὁμώνυμον φωνήν. ὅτι δὲ οὔτε γένος ἐστὶν οὔθ' ὁμώνυμος φωνή, ἐντελεστέρως ἐν ταῖς Κατηγορίαις ἡμῖν δέδεικται καὶ πρὸ ὀλίγου. πρὸς ὑπόμνησιν δὲ ἔτι τῶν κωλυόντων αὐτὸ εἶναι γένος καὶ ὁμώνυμον φωνὴν βραχέα λέξωμεν. γένος οὖν οὐ δύναται τὸ ὂν εἶναι, καθὸ ἐν τοῖς ὑπὸ τὸ αὐτὸ γένος τελοῦσιν
15 εἴδεσιν οὐκ ἔστιν εὑρεῖν τὸ φύσει πρῶτον καὶ ὕστερον· εἰ οὖν ἡ οὐσία φύσει πρῶτόν ἐστι τῶν συμβεβηκότων, ὁμολογουμένως οὐ λεχθείη εἶδος τοῦ ὄντος. ἀλλὰ μὴν οὔτε ὁμώνυμος φωνὴ δύναται εἶναι, καθὸ ἡ ὁμώνυμος οὐ φωνὴ μεταδίδωσι πράγματος (οὔτε γὰρ ἐὰν εἴπω 'κύων', δηλῶ τὸν χερσαῖον ἢ τὸν θαλάττιον)· εἰ οὖν μεταδίδωσι τὸ ὂν πράγματος (ἡ οὐσία
20 γὰρ καὶ ὂν λέγεται καὶ ἔστιν, ὁμοίως καὶ τὰ συμβεβηκότα), ὁμολογουμένως οὐδὲ ὁμώνυμος φωνή ἐστι. τί οὖν φαμεν; ἆρα διαφωνοῦσιν οἱ φιλόσοφοι πρὸς ἀλλήλους καὶ τοῦ ἀληθοῦς οὐχ ἥψαντο; φαμὲν οὔ· ἄμφω γὰρ διὰ τῶν ἄκρων τὸ μέσον συμπεριέλαβον· τὸ γὰρ ὂν ὡς τὰ ἀφ' ἑνὸς καὶ πρὸς ἓν διαιρεῖται εἰς τὰ δέκα γενικώτατα γένη. ἐπεὶ οὖν ἔχει τινὰ ὑποψίαν τοῦ
25 ὁμωνύμως κατηγορεῖσθαι τῶν δέκα γενῶν, φησὶν ὁ Ἀριστοτέλης ὁμωνύμως κατηγορεῖσθαι, ἐπεὶ δὲ ἔχει καί τινα ὑποψίαν τοῦ συνωνύμως κατηγορεῖσθαι, φησὶν αὐτὸ ὁ Πλάτων ὡς γένος κατηγορεῖσθαι· σώζει γὰρ καί τινα τῆς ὁμωνύμου φωνῆς, ἐπειδὴ μεταδίδωσι τοῦ ὀνόματος (τελείως δὲ ὁμώνυμος οὐ δύναται εἶναι, ἐπειδὴ οὐ μεταδίδωσι πράγματος), σώζει δέ τινα

---

1 πρᾶξις σὺν θεῷ ιθ' V: om. T 3 αὐτῷ] τῶν αὐτοῦ TV 3. 4 τὸ ὂν γένος colloc. TV 4 ἐκθησώμεθα T 6 γένεσιν om. V πρ. καὶ ὀν. colloc. V 7 καθολικῶς V 9 πρὸς τὰ τοιαῦτα] εἰς ταῦτα T 10 καὶ om. T πρὸ μικροῦ ἐξέθ.] Isag. p. 6,5 λέγων] φησι TV 11 post ἐστὶ add. τὸ ὂν K 12 πρὸ ὀλίγου] cf. p. 155,13 13 λέξομεν KV 14 οὖν om. KT 15 τὸ] τῇ T φύσει πρώτη K: πρώτη φύσει V 20 καὶ ὂν λέγ.] καὶ λέγεται καὶ ὂν T: λέγεται ὂν (καὶ om.) V 20. 21 οὐδὲ ὁμών. ὁμολ. ἐστι φωνή colloc. T 21. 22 πρὸς ἀλλ. οἱ φιλ. colloc. K 23 ὂν] ἓν T τὰ] τὸ K 25. 26 τῶν δέκα — κατηγορεῖσθαι om. KV 26 ἐπειδὴ T: om. K ἔχει δὲ colloc. K καὶ om. V 27 αὐτοῦ T καί (post γὰρ) om. V: supra scr. K 28 τοῦ om. KT 28. 29 ὁμώνυμος Paris. 2089: συνώνυμος KT: συνωνύμως V 29 οὐ μεταδ. sc. ἡ ὁμών. φωνή σώζει—οὐ μεταδίδωσι τοῦ πράγματος (p. 159,2. 3) om. K

Digitized by Google

τῆς συνωνύμου φωνῆς, ἐπειδὴ μεταδίδωσιν ὀνόματος καὶ πράγματος· τελείως δὲ οὐ δύναται συνώνυμος εἶναι, ἐπειδὴ ἐξ ἴσου οὐ μεταδίδωσι τοῦ πράγματος· τὸ δὲ μεταδιδοῦν ὀνόματος καὶ πράγματος ἐπίσης πᾶσι μεταδίδωσιν, ὥσπερ τὸ ζῷον τῷ ἀνθρώπῳ καὶ ἵππῳ ἐπίσης μεταδίδωσιν ὀνόματος καὶ πράγματος. διὰ ταύτας οὖν τὰς ὑπονοίας εἰρήκασιν αὐτὸ οἱ φιλόσοφοι ὁμωνύμως καὶ συνωνύμως κατηγορεῖσθαι τὸ μέσον διὰ τῶν ἄκρων συμπεριλαμβάνοντες, λέγω δὲ τὸ ἀφ' ἑνὸς καὶ πρὸς ἕν. καὶ πῶς ὡς ἀφ' ἑνὸς καὶ πρὸς ἓν διαιρεῖται, εἴρηται ἐντελῶς ἐν ταῖς Κατηγορίαις περὶ τῆς τοιαύτης διαιρέσεως καὶ νῦν διὰ βραχέων αὐτὴν σαφηνίσωμεν.

Ἀφ' ἑνὸς λέγομεν διαιρεῖσθαι, ὅταν τὰ διαιρούμενα ἀφ' ἑνὸς ποιητικοῦ ἔχῃ τὸ εἶναι, διαφέρῃ δὲ κατὰ τὴν ἐνέργειαν, οἷον τὸ ἰατρικὸν σμιλίον καὶ ἰατρικὸν βιβλίον ἀφ' ἑνός φαμεν εἶναι (τὴν γὰρ ἰατρικὴν ποιητικὴν αὐτῶν λέγομεν), οὐ ταὐτὸν δὲ τὸ σμιλίον καὶ τὸ βιβλίον ἐστίν· ἡ γὰρ ἐνέργεια τούτων διάφορος· τὰ μέντοι δύο τὴν ἰατρικὴν ποιητικὴν ἔχει. καὶ πρὸς ἓν δέ φαμεν, ὅταν πρὸς ἕν τι τέλος ἀφορᾷ τὸ λεγόμενον, οἷον τὸ ὑγιεινὸν σμιλίον, τὸ ὑγιεινὸν βιβλίον· τὸ γὰρ σμιλίον τοῦτο οὔ φαμεν ἀπὸ | τῆς ὑγείας γεγονέναι, ἀλλὰ 193v τὸ ποιοῦν τὴν ὑγείαν, ὁμοίως καὶ τὸ βιβλίον οὐκ ἀπὸ τῆς ὑγείας φαμὲν ὑγιεινόν, ἀλλὰ τὸ ἔχον τὸ τέλος πρὸς ὑγίειαν ἀφορῶν. οὕτως οὖν καὶ τὸ ὂν διαιρεῖται εἰς τὰ δέκα γένη ὡς τὰ ἀφ' ἑνὸς καὶ πρὸς ἕν· ἀφ' ἑνὸς μὲν ὅτι ὥσπερ τὸ ἰατρικὸν σμιλίον καὶ τὸ ἰατρικὸν βιβλίον μίαν ποιητικὴν ἔχει τὴν ἰατρικήν, οὕτω καὶ τὰ δέκα γένη ποιητικὸν ἔχει τὸ ὄν· πρὸς ἓν δὲ ὅτι ὥσπερ τὸ ὑγιεινὸν σμιλίον ἐφίεται ποιεῖν τὴν ὑγίειαν (τέλος γὰρ ἔχει ταύτην), οὕτω καὶ τὰ δέκα γένη τέλος ἔχουσι τὸ ὄν· ἐφίεται γὰρ τοῦ εἶναι.

Διαιτήσαντες οὖν τοὺς φιλοσόφους φέρε εἴπωμεν ποσαχῶς λαμβάνεται τὸ ὄν. λαμβάνεται τοίνυν τριχῶς, καὶ σαφές γε ἐκ τῆς τοιαύτης διαιρέσεως· τὸ ὂν ἢ πεπερασμένον ἐστὶ τῇ φύσει καὶ τῇ γνώσει ἢ τῇ φύσει μὲν πεπερασμένον ἀπέραντον δὲ τῇ γνώσει ἢ τῇ γνώσει πεπερασμένον καὶ τῇ φύσει ἀπέραντον. ἓν δὲ τούτων σκέλος οὐ συνίσταται, λέγω δὲ τὸ ὕστερον· οὔτε γὰρ ἔστι τι πεπερασμένον τῇ γνώσει, ὅπερ οὐ πεπέρασται τῇ φύσει· ποῦ γὰρ διήκει ἡ γνῶσις, ὅπου οὐ διήκει ἡ φύσις; τοὐναντίον δὲ εἰς πολλὰ διήκει ἡ φύσις, ὅπου οὐ διήκει ἡ γνῶσις, ὡς ἔχομεν δεῖξαι. καὶ πεπερασμένα

---

1 συνωνύμως V 3 μεταδιδοῦν] an συνώνυμον? 7 ὡς Paris. 2089: om. KTV
9 αὐτὴν Paris. 2089: αὐτὰ KT: αὐτὰς V 11 ἔχει TV διαφέρῃ] διαφοράν TV
11. 12 βιβλίον καὶ ἰατρ. σμιλίον colloc. T 12 φαμεν] μὲν V αὐτῶν] αὐτοῦ εἶναι V
14 ἔχει ποιητικήν colloc. V δὲ om. V 15. 16 σμιλίον—τὸ γὰρ om. V
βιβλίον τὸ ὑγ. σμιλίον colloc. T 16 τῆς om. K 18 τὸ (ante τέλος) om. K
20 ὅτι om. V βιβλίον καὶ τὸ ἰατρ. σμιλίον colloc. KT ποιητ. μίαν colloc. V
21 ποιητικὸν—γένη (23) om. T post γένη add. ἀλλ' οὖν τὸ ποιοῦν V
ὅτι om. V 22. 23 ταύτην K: τὴν ὑγείαν V 23 ἐφίενται TV² 24 οὖν] γὰρ T:
om. V 25 γε] ἢ T: om. K 26. 27 πεπερ. ἐστι—ἀπέρ. δὲ τῇ γνώσει] πεπερασμένον ἐστιν ἢ μὴ πεπερασμένον τῇ φύσει καὶ τῇ γνώσει V 26 ante ἢ τῇ φύσει add. ἢ μὴ πεπερασμένον K 27. 28 ἢ τῇ φύσει ἀπ. καὶ τῇ γνώσει πεπερ. colloc. T
τῇ γνώσει μὲν πεπερ. τῇ δὲ φύσει ἀπέρ. V 29 τι om. KV an πεπέρανται?
30. 31 οὐ om. K (bis) διήκει εἰς πολλὰ colloc. T

Digitized by Google

φαμὲν τῇ φύσει καὶ τῇ γνώσει τὰ δέκα καθολικώτατα γένη· ταῦτα γὰρ καὶ πεπέρανται τῇ φύσει, καθὸ αὐτὴ ταῦτα ἐδημιούργησε, πεπέρανται δὲ καὶ τῇ γνώσει, καθὸ γινώσκομεν αὐτὰ δέκα εἶναι. μὴ πεπερασμένα δὲ τῇ φύσει καὶ τῇ γνώσει φαμὲν τὰ ἄτομα· ταῦτα γὰρ οὔτε τῇ φύσει πεπέ-
5 ρανται οὔτε τῇ γνώσει· τῇ φύσει μὲν καθὸ ἀεὶ γίνεται (τὸ γοῦν ἀεὶ γινόμενον οὐ πεπέρασται τῇ φύσει), οὔτε τῇ γνώσει· εἰ γὰρ τῇ φύσει οὐ πεπέρανται, πολλῷ μᾶλλον οὐδὲ τῇ γνώσει. ἄπειρα δὲ τὰ ἄτομά φαμεν οὐ καθὸ ἀδιεξίτητά ἐστι (πάντως γὰρ πεπερασμένα ἐστὶ τὰ ἐν τόπῳ πεπερασμένῳ ὄντα, ταῦτα δὲ ἐν πεπερασμένῳ τόπῳ εἰσίν), ἀλλὰ καθὸ ἀεὶ γίνον-
10 ται καὶ πέρας τοῦ γίνεσθαι οὐκ ἔχει. πεπερασμένα δὲ τῇ φύσει ἀπέραντα δὲ τῇ γνώσει εἰσὶ τὰ ὄντα, καθάπερ εἰσὶ τὰ εἴδη· τὰ γὰρ εἴδη πάντως πεπέρασται τῇ φύσει, οὐ πάντως δὲ καὶ τῇ γνώσει· ἔστι γὰρ πολλὰ εἴδη ἐν σπηλαίοις κεκρυμμένα, ἅπερ οὐ γινώσκομεν. ἔχομεν οὖν ἐκ τῆς τοιαύτης διαιρέσεως ὅτι τριχῶς λαμβάνεται τὰ ὄντα· ἢ γάρ ἐστι γενικώτατα ἢ
15 ἄτομα ἢ εἴδη.

Πρᾶξις κα'.

Εἰ καὶ παρακολουθεῖν τῷ Σταγειρίτῃ προαιρεῖται ὁ φιλόσοφος, ἀλλ' ὅμως οὐ πάντῃ ἀμνημονεῖ τῆς τοῦ οἰκείου διδασκάλου παραγγελίας, φημὶ δὲ τοῦ Πλάτωνος· τρεῖς γὰρ αὐτοῦ τρόπους πάσῃ διαιρέσει συμβαλλομένους
20 παρατίθησι, ὧν ὁ πρῶτος τοιοῦτος ὑπάρχει· ὁ Πλάτων φησὶν ὅτι δεῖ τὴν διαίρεσιν ἀπὸ τῶν γενικωτάτων γίνεσθαι | μέχρι μόνων τῶν εἰδικωτάτων, 194r περαιτέρω δὲ προκόπτειν αὐτὴν ἀηδές ἐστι. ζητοῦμεν δὲ διὰ τί καὶ τὸ εἰδικώτατον οὐ διαιροῦμεν εἰς ἄτομα. τινὲς οὖν ψυχρῶς ἐπιλυόμενοί φασιν ὅτι διὰ τοῦτο μέχρι τῶν εἰδικωτάτων μόνον παραγγέλλει ὁ Πλάτων τὴν διαί-
25 ρεσιν ποιεῖσθαι, ἐπειδὴ περαιτέρω ἐὰν ποιήσωμεν, ἀτόμων εὑρίσκεται ἡ διαίρεσις, τὰ δὲ ἄτομα ἄπειρά εἰσι, τὰ δὲ ἄπειρα ἄγνωστα, διαίρεσις δὲ ἀγνώστων οὐ γίνεται. ἔχομεν δὲ ἐντεῦθεν προσπορίσματος μοῖραν, ὅτι οὐδὲ τὸ εἶδος ὀφείλει διαιρεῖσθαι εἰς ἄτομα. ὡς ἔφαμεν δέ, ψυχρὰν αἰτίαν οὗτοι

---

1 τὰ δέκα καθολ.] τὰ ὄντα καθολ. T: τὰ ὄντα τὰ καθολ. (καθωλ. m¹) V post ταῦτα γὰρ add. δέκα ἐστὶ (εἰσὶ V) TV 2 πεπέρασται (bis) V (alt. l.) K (pr. l) T
2. 3 τῇ φύσει—δέκα εἶναι] τῇ φύσει καὶ τῇ γνώσει, καθὸ ἡ μὲν φύσις αὐτὰ ἐδημ., ἡ δὲ γνῶσις ἐπέγνω ὅτι δέκα εἰσί T 2 ταῦτα] αὐτὰ V 4 καὶ τῇ γνώσει iter. T
4. 5 πεπέρασται TV 5 οὔτε τῇ γνώσει· τῇ φύσει μὲν eicias (cf. v. 6) γοῦν] οὖν TV 5. 6 γιγνόμενον K 6 an πεπέρανται? 7 οὐ om. V
8. 9 πεπερασμένα V 9 post τόπῳ add. οὐκ V² 11 εἰσὶ τὰ ὄντα — τῇ γνώσει (12) om. V ἐστὶ (pr. l.) K 12 an πεπέρανται? καὶ supra scr. T γὰρ] δὲ V 13 κεκρυμένα T οὖν] δὲ V: om. T 14 γεν. ἐστι coll. K 16 πρ. κ' V: om. T 18 ἐπαγγελίας T 19 τοῦ om. TV
21 μόνον V 23 τὰ ἄτομα V ἐπιλ. φασιν] ἐπιλαμβανόμενοι φησὶν (sic) V
24 μόνον post τοῦτο transp. K μόνων T παραγγέλει TV ὁ om. KT
26 ἄτομα V¹: ἄτομος V² διαίρεσις] διήγησις K

Digitized by Google

εἰρήκασι· τούτῳ γὰρ τῷ λόγῳ οὐ μόνον ἡ ὡς τὸ εἶδος εἰς ἄτομα διαίρεσις ἐκβληθήσεται, ἀλλὰ καὶ ἡ ὡς ὁμώνυμος φωνὴ εἰς πολλὰ σημαινόμενα· ἡ γὰρ Ἀλέξανδρος φωνὴ ὁμώνυμος οὖσα οὐκ ὀφείλει διαιρεῖσθαι, ἐπειδὴ πολλοί εἰσιν Ἀλέξανδροι ἄγνωστοι. ἀλλὰ μὴν καὶ ἡ ὡς συμβεβηκότα εἰς
5 οὐσίαν· τὸ γὰρ λευκὸν οὐ μόνον διαιρεῖται εἰς κύκνον καὶ γάλα καὶ ψιμύθιον, ἀλλὰ καὶ εἰς πολλὰ εἴδη ἡμῖν ἄγνωστα. τί δὲ τῶν τοιούτων λέγω ἀναιρετικὴν εἶναι τὴν τοιαύτην ἐπίλυσιν, ἐξὸν καὶ αὐτὸ τὸ γένος, ὅπερ ἐστὶ μεγίστη διαίρεσις, κωλύειν εἰς αὐτὰ τὰ εἴδη διαιρεῖσθαι· καὶ τὸ γένος γὰρ τούτῳ τῷ λόγῳ οὐ διαιρεῖται εἰς εἴδη, ἐπειδὴ ἔστι πολλὰ εἴδη καὶ ἐν
10 σπηλαίοις καὶ ἐν τῷ βάθει τῆς θαλάσσης κεκρυμμένα, ἅπερ οὐ γινώσκομεν. αὕτη οὖν ἐστιν ἡ αἰτία, ἥτις καὶ τὰ ἄτοπα τῆς πρώτης ἐπιλύσεως διαλύσεται. διὰ τοῦτο ὁ Πλάτων παρακελεύεται περαιτέρω τῶν εἰδικωτάτων μὴ ποιεῖσθαι τὴν διαίρεσιν, ἵνα μὴ εὑρεθῶμεν τῶν ἀτόμων ποιοῦντες διαίρεσιν τῶν μὴ ἐχόντων μονήν τινα· εἰ γὰρ εἴπωμεν τὸν ἄνθρωπον διαιρε-
15 θῆναι εἰς Σωκράτην καὶ Ἀλκιβιάδην, οὐ μένει Σωκράτης καὶ Ἀλκιβιάδης, ἵνα πιστώσωνται τὴν διαίρεσιν, ἀλλ' εὑρισκόμεθα ποιοῦντες διαίρεσίν τινων σήμερον μὲν ὄντων αὔριον δὲ φθειρομένων καὶ γνῶσιν τῆς διαιρέσεως μὴ ἐχόντων. αὕτη ἡ ἐπίλυσις οὐ κωλύσει τὸ γένος εἰς εἴδη διαιρεῖσθαι (μονὴν γὰρ ἔχει τὸ εἶδος), οὐδὲ τὰ συμβεβηκότα εἰς οὐσίαν, ἐπειδὴ διαιρεῖται εἰς
20 κύκνον οὐ τὸν τοιόνδε, ἀλλὰ τὸν ἁπλῶς κύκνον, ὁ δὲ ἁπλῶς κύκνος εἶδός ἐστι καὶ τὸ ἁπλῶς γάλα. εἰ δὲ εἴπῃς 'τούτῳ τῷ λόγῳ καὶ ἡ ὡς εἶδος εἰς ἄτομα ὀφείλει διαιρεῖσθαι οὐκ εἰς τὸ τοιόνδε ἄτομον, ἀλλ' εἰς τὸ ἁπλῶς ἄτομον', ἁμαρτίᾳ περιπεσῇ· τὸ γὰρ ἁπλῶς ἄτομον εἶδός ἐστι· διαιρεθῆναι δὲ εἶδος εἰς εἶδος πάνυ ἀσύστατον. ἡ δὲ ὡς ὁμώνυμος φωνὴ ἐκβληθή-
25 σεται, εἰ ἀτόμων εὑρεθήσεται ἡ φωνὴ οἷον Ἀλέξανδρος· ὁ γὰρ Ἀλέξανδρος φθείρεται· φθειρόμενα δὲ τὰ τοιαῦτα γνῶσιν οὐκ ἔχει. εἰ δ' αὖ εἰδῶν κατηγορεῖται, οὐκ ἐκβληθήσεται· τὰ γὰρ εἴδη οὐ φθείρεται· | οἷον ἡ κύων 194v φωνὴ εἰδῶν κατηγορεῖται, ἀπὸ δὲ τοῦ τοιούτου λόγου οὐ κωλύεται. ὅλαι μὲν οὖν αἱ εἰς ἄτομα διαιρούμεναι ἐκβληθήσονται.

30 Δεύτερος τρόπος ἐστὶν ὁ λέγων ὅτι δεῖ τὸν διαιροῦντα κατὰ τάξιν διαιρεῖν, μηκέτι δὲ ὑπερβαθμίῳ ποδί, οἷον δεῖ τὴν οὐσίαν εἰς σῶμα καὶ ἀσώματον διελεῖν, οὐ δεῖ δὲ εἰς ζῷον ζῳόφυτον φυτόν, ἵνα μὴ τὰ ἐν μέσῳ ἐάσωμεν. ὅτι δὲ φίλιος ὑπάρχει Πλάτωνι ἡ κατὰ τάξιν διαίρεσις, σαφὲς

---

1 ἡ διαίρεσις ἡ εἰς τὸ εἶδος εἰς ἄτομα V ὡς ex εἰς corr. T 2 τὰ πολλὰ TV 3 οὖσα] ἐστιν TV ὀφείλει δὲ TV 7 τὴν ἐπίλυσιν εἶναι (τοιαύτην om.) V ἐξὸν] ἐξ ὧν T 8 γὰρ om. K 9 καὶ (post εἴδη) om. TV 10 ἐν τῷ om. V 11 τὰ om. V 11. 12 διαλύεται K 12 ὁ πλ. διὰ τοῦτο colloc. V περετέρω T 13 τὴν om. T 14 εἴπω TV 17 μὴ superscr. K 18 αὕτη δὲ T κωλύει V 20 τοιόνδε] τοιοῦτον δὲ V 21 καὶ τὸ ἁπλ. γάλα eicias 21. 24 ἡ] εἰ V 22 τὸ τοιῶδε (sic) ἀτόμων T εἰς (post ἀλλ') om. V 23 περιπεσεῖται V 24 pr. δὲ om. K ἀσύστατον] ἀνόητον Urb. 35, quod reponas ὁμώνυμα T 25 εὑρεθ.] an κατηγορηθήσεται? (cf. v. 27) ὁ γὰρ Ἀλέξανδρος om. V 27 γὰρ Paris. 2089: δὲ KTV 29 αἱ om. V

Digitized by Google

ἐκ τοῦ λέγειν 'τὴν δὲ διαιρετικὴν μέθοδον οὐδὲν καυχήσεται φυγόν·' τρίτος δὲ τρόπος ἐστὶν ὁ παρακελευόμενος εἰς οὐσιώδεις φωνὰς διαιρεῖν τὰ διαιρούμενα, μηκέτι δὲ εἰς ἐπουσιώδεις· αἱ γὰρ ἐπουσιώδεις ἄπειροί εἰσι καὶ οὐχ ὑφίστανται τὴν φύσιν, ὥσπερ αἱ οὐσιώδεις· ἀπείρων δὲ φωνῶν καὶ μὴ δηλουσῶν τὴν φύσιν τοῦ ὑποκειμένου οὐκ ἀναγκαῖον ποιεῖσθαι τὴν διαίρεσιν. διὰ τοῦτο ἐν Φιλήβῳ λέγει ὅτι ὁ ποιῶν διαίρεσιν οὐσιωδῶν φωνῶν ἔοικε τεχνίτῃ μαγείρῳ κατ' ἄρθρα τὰς τομὰς ποιοῦντι, ὁ δέ γε τῶν ἐπουσιωδῶν ποιῶν διαίρεσιν ἀτέχνῳ μαγείρῳ ἔοικε κατ' ἄρθρα τὰς τομὰς μὴ ποιοῦντι ἀλλὰ δι' ἀτεχνίαν διὰ πολλῶν τὴν τομὴν ἀπεργαζομένῳ. ἰστέον δὲ ὡς ἐφ' ἑκάστης διαιρέσεως ἔστιν ἄνοδος καὶ κάθοδος, καὶ ἡ μὲν κάθοδος ἀπὸ τῶν γενικωτάτων ἐπὶ τὰ εἰδικώτατα χωροῦσα πλατεῖαν ποιεῖται τὴν διαίρεσιν ἡ δὲ ἄνοδος ἀπὸ τῶν εἰδικωτάτων ἐπὶ τὰ γενικώτατα χωροῦσα στενοῖ τὴν διαίρεσιν. τὸ τοιοῦτον δὲ ἔοικε δεκάδι· εἰ γὰρ ἀπὸ μονάδος ἐπὶ τὴν δεκάδα ἁπλώσῃς τὸν ἀριθμόν, πλατύνεις τὸ μέτρον, εἰ δὲ ἀπὸ τῆς δεκάδος ἐπὶ τὴν μονάδα, στενοῖς τὸν ἀριθμόν. ἀπὸ οὖν τῆς οὐσίας ἐπὶ τὸ εἰδικώτατον χωρῶν, λέγω δὲ ἐπὶ τὸν ἄνθρωπον, ἐξαπλοῖς τὴν διαίρεσιν, ἀπὸ δὲ τοῦ ἀνθρώπου ἐπὶ τὴν οὐσίαν στενοῖς αὐτήν.

p. 6,11 Δέκα μὲν οὖν τὰ γενικώτατα.

Ἐπ' αὐτὰ τὰ πράγματα χωρεῖ ὁ Πορφύριος. δηλοῖ δὲ τὰ πεπερασμένα τῇ φύσει καὶ τῇ γνώσει, λέγω δὲ τὰ γενικώτατα· εἰρηκὼς γὰρ τὸ δέκα δηλοῖ ὅτι καὶ γινώσκομεν αὐτά, δηλοῖ δὲ ὅτι καὶ ἡ φύσις ἐδημιούργησεν αὐτά.

p. 6,12 Τὰ δὲ εἰδικώτατα ἐν ἀριθμῷ μέν τινι, οὐ μὴν ἀπείρῳ.

Πάλιν ὧδε δηλοῖ τὰ τῇ φύσει πεπερασμένα, ἀπέραντα δὲ τῇ γνώσει· ἐν γὰρ τῷ λέγειν ἀριθμῷ μέν τινι δηλοῖ ὅτι πεπέρασται τῇ φύσει, ἐν δὲ τῷ λέγειν οὐ μὴν ἀπείρῳ δηλοῖ ὅτι ἀπέραντά ἐστι τῇ γνώσει· ὡς γὰρ ἡμῶν μὴ γινωσκόντων εἰ ἄπειρόν ἐστιν ἢ μή, φησὶν οὐ μὴν ἀπείρῳ.

p. 6,12 Τὰ δὲ ἄτομα, ἅπερ ἦν μετὰ τὰ εἰδικώτατα, ἄπειρα.

Τινὲς λέγουσιν ὅτι ἄπειρον λέγει τὸ ἀόριστον, δηλοῖ δὲ ὅτι οὔτε τῇ

---

1 ἐκ τοῦ λέγειν] cf. Soph. p. 235 C δὲ om. V 4. 5 ὥσπερ—τὴν φύσιν om. V
6 ἐν Φιλήβῳ] potius Phaedr. p. 265 E 7 ὁ δέ γε — ποιοῦντι (9) om. V
8 ἔοικε om. T 10 ante ὡς add. ὅτι V 11 ἀπὸ in lit. K: ex ἐπὶ corr. V
12. 13 ἡ δὲ — διαίρεσιν om. V 13 τοιοῦτο V 14 μονάδος] ἑνὸς V
τὴν δεκ.] δεκα T: τὰ δέκα V ἁπλώσεις KV 15 ἀπὸ τῶν δέκα ἐπὶ τὸν ἕνα V
post μονάδα addas χωρήσῃς 20 τὸ] τὰ TV 21 καὶ (ante γινώσκ.) om. V
23 δηλοῖ] φησὶ V 24 πεπέρασται pro πεπέρανται abhinc constanter libri
25 οὐ μὴν δὲ V εἰσι KT 26 alt. μή] μήν V ἀπείρῳ οὐ μὴν colloc. KT
27 ἦν] ἐστι K: ἐστι τὰ Porph. 28 τὸ ἄπειρον V

Digitized by Google

τῇ φύσει οὔτε γνώσει πεπέρασται, οὐχ ὡς δὲ ἐν τῇ θεωρίᾳ ἐλέγομεν, ἄπειρα αὐτὰ διὰ τὸ ἀεὶ | γεννᾶσθαι (οὕτως φασὶ καὶ οἱ ἐξηγηταί), ἀλλὰ τὰ ἐν τῷ 195r μέσῳ ἄπειρα εἶναι ἔλεγον, ἄπειρα δὲ λέγει τὰ ἀόριστα· διττὸν γὰρ τὸ ἄπειρον, τὸ μὲν ἀδιεξίτητον τὸ δὲ ἀόριστον. ἔλεγον οὖν ὅτι οὐ διὰ τὰ ἐσόμενά ἐστιν ἄπειρα, ἀλλὰ διὰ τὸ ἐν τῷ ἐνεστῶτι εἶναι καὶ ἀοριστίαν ἔχειν. πῶς δὲ ἀόριστόν ἐστι, σαφὲς ἐντεῦθεν· ἡ φύσις πάντα τὰ ἄκρα ὡρισμένα ἔχει· μέτρον γὰρ ἔχει καὶ τῶν ἐλαττόνων καὶ τῶν μειζόνων. ὃ δὲ λέγομεν, τοιοῦτόν ἐστιν· ὥρισεν ἡ φύσις τὸ τέλειον μέγεθος τοῦ ἀνθρώπου εἶναι τετράπηχυ, περαιτέρω δὲ μηκέτι προϊέναι, καὶ ὥρισε πάλιν τοὐλάχιστον μέγεθος τοῦ ἀνθρώπου μονόπηχυ, ἔλαττον δὲ μηκέτι μειοῦσθαι. τὸ μέσον δὲ ἀόριστον εἴασεν· ἔστω γὰρ εἶναι ἄνθρωπον δίπηχυν ἢ τρίπηχυν. ἐπὶ οὖν τῶν ἀτόμων ταὐτόν ἐστιν· ὡρισμένα γὰρ τὰ ἄκρα αὐτῶν ἔχει, ὡς ἵνα εἴπῃς ὅτι τὸ τέλειον αὐτῶν μέγεθος ὥρισεν εἶναι χίλια, τὸ ἐλάχιστον ἑκατόν, πλέον δὲ τῶν χιλίων μὴ προκόπτειν τὰ ἄτομα μήτε μειοῦσθαι τῶν ἑκατόν, τὰ μέσα δὲ ἀόριστα εἴασεν· εἶναι γὰρ αὐτὰ πεντακόσια ἢ διακόσια συνεχώρησε. κατὰ τοῦτον οὖν τὸν λόγον φησὶν ὁ Πορφύριος τὰ ἄτομα εἶναι ἄπειρα· λέγει γὰρ ὅτι πεπερασμένα ἐστίν· ὧν γὰρ τὰ ἄκρα πεπέρασται, τούτων καὶ τὸ μέσον. ἄπειρα οὖν ἐστιν, ὅτι ἀόριστά ἐστιν· οὔτε γὰρ ἀδιεξίτητά ἐστι· πάντα γὰρ πεπέρασται ἐν πεπερασμένῳ ὄντα τόπῳ.

Τούτοις τινὲς ἐναντιούμενοί φασιν ὅτι οὐ πάντως ὧν τὰ ἄκρα πεπέρασται, τούτων καὶ τὸ μέσον· ἰδοὺ γὰρ τὸ μέλαν καὶ τὸ λευκὸν πεπέρασται, τὰ δὲ ἐν μέσῳ χρώματα ἀπέραντά ἐστιν· οὐ γὰρ λέξεις μοι ὅτι δεκατρία βούλεται αὐτὰ λέγειν ὁ Γαλῆνός· κἂν γὰρ δεκατρία εἴδη λέγῃ, ἀλλ' οὖν πολλαί εἰσιν αἱ διαφοραί. πρὸς τοῦτο δὲ ἀπολογούμενοί φασιν ὅτι τρία εἰσὶ ταῦτα πάντα, τὸ λευκὸν τὸ μέλαν καὶ τὸ μέσον τούτων, τὸ φαιόν, τὰ δὲ ἄλλα πάντα ἐκ τούτων εἰσί, κατὰ δὲ τὸ μᾶλλον καὶ τὸ ἧττον διαφέρει, τὸ κυανοῦν τὸ ἀλουργὲς τὸ πρασινίζον καὶ ὅλα τὰ τοιαῦτα. τὸ οὖν μᾶλλον καὶ τὸ ἧττον εἴδους ἐναλλαγὴν οὐ ποιεῖ. κακῶς δὲ οὗτοι ἐπελύσαντο· συνάγεται γὰρ ἐκ τούτου τοῦ λόγου τὸ εἶναι ταῦτά πάντα χρώματα·

---

1 δὲ om. V λέγομεν V (cf. p. 160,7) 2 τῷ om. K 3 λέγει] an λέγειν? 7 ἐλαττόνων Urb. 35: ὀλίγων KTV 9 προιέναι] προεῖναι T 10 μέγεθος Paris. 2089: μέρος KTV 11 ἢ] καὶ KT ἐπὶ] ἐπεὶ V¹ 12 τῶν ἀτ. οὖν colloc. K ὡς om. V 13 ἐλάχιστον scripsi: ἔλαττον libri 14 πλέον δὲ τῶν χιλίων] πλείω δὲ τούτων V alt. τῶν] τὰ K 15 ἀόριστα—γὰρ αὐτὰ om. T 17 ὅτι om. T εἰσίν TV 18 τὰ μέσα T ante ἀόριστα add. καὶ T εἰσιν (alt. l.) V 19 εἰσιν TV πεπερασμένα V 20 post φασιν add. ὅτι οὐ πάντως ὧν τὰ ἄκρα πεπέρασται τούτων καὶ τὸ μέσον. ἄπειρα οὖν ἐστιν ὅτι ἀόριστά εἰσιν. οὔτε γὰρ ἀδιεξίτητά εἰσι, sed del. V πάντα Brand. 21 τὰ μέσα Brand. 22 οὐ] οὔτε TV λέγεις T 23 λέγειν αὐτὰ colloc. K ὁ Γαληνός] locum non inveni λέγῃ] λέγει V¹ 24 αἱ om. KT 25 πάντα ταῦτα colloc. K τὸ (ante μέσον) om. KT τοῦτο Brand. 26 τὸ (ante ἧττον) om. KT διαφέρουσι TV 27. 164,2 κυανοῦν Par. 2089: κυανὸν KTV 27 τὸ ἀλουργὲς Par. 2089: τοῦ ἀλουργαίου καὶ KT: τοῦ ἀλουργέου καὶ V: τοῦ ἀλουργέος καὶ Brand. alt. τὸ om. V an πρασίζον? ὅλως Brand. 29 τὸ] τοῦ K πάντα ταῦτα colloc. V

Digitized by Google

ὑπόθου γὰρ ὅτι τοῦ φαιοῦ τὸ ἁλουργὲς οὐδὲν διαφέρει, εἰ μὴ κατὰ τὸ μᾶλλον καὶ ἧττον, ταὐτὸν ἄρα φαιὸν καὶ ἁλουργὲς καὶ κυανοῦν. οὐ μόνον δὲ κατὰ τοῦτο ἀλλὰ καὶ καθ' ἕτερον λόγον· οὐκ ἔστι γὰρ ἀληθὲς ὡς τὸ μᾶλλον καὶ ἧττον οὐ ποιεῖ εἴδους ἐναλλαγήν· ἰδοὺ γὰρ ἡ γλυκύτης ἡ ἐν
5 ἰσχάδι καὶ μέλιτι κατὰ τὸ μᾶλλον καὶ ἧττόν ἐστι, ποιεῖ δὲ εἴδους ἐναλλαγήν· οὐ γὰρ ταὐτόν ἐστιν ἰσχὰς καὶ μέλι. ἀλλὰ μὴν καὶ κατὰ τὸ μᾶλλον καὶ ἧττόν ἐστιν ἡ θερμότης τοῦ πυρὸς καὶ τοῦ ἀέρος, ποιεῖ δ' εἴδους ἐναλλαγήν· οὐ γὰρ ταὐτόν ἐστιν ἀὴρ καὶ πῦρ. πῶς οὖν ἔδει ἀπολογεῖσθαι; ἔδει μᾶλλον εἰπεῖν ὅτι ταῦτα τὰ ἐν τῷ μέσῳ χρώματα οὐκ ἔστιν ἄπειρα·
10 πεπέρασται γὰρ τῇ φύσει· κἂν γὰρ πολλά ἐστιν, ἀλλ' οὖν πεπέρασται· 195v
καὶ ταῦτα γὰρ ἡ φύσις ἐδημιούργησε. τῇ οὖν γνώσει ἄπειρά ἐστιν, οὐ μὴν τῇ φύσει. ἔστω δὲ καὶ ταῦτα εἶναι ἄπειρα τῇ γνώσει, εἰ δὲ θέλεις καὶ τῇ φύσει, κατὰ τὸ ἀόριστον.

p. 6,13 Διὸ ἄχρι τῶν εἰδικωτάτων ἀπὸ τῶν γενικωτάτων κατ-
15 ιόντας παρεκελεύετο ὁ Πλάτων παύεσθαι.

Ἰδοὺ ὁ πρῶτος τρόπος Πλάτωνος· φησὶ γὰρ ἀπὸ τῶν γενικωτάτων μέχρι τῶν εἰδικωτάτων ποιεῖσθαι τὴν διαίρεσιν, περαιτέρω δὲ μηκέτι.

p. 6,15 Κατιέναι δὲ διὰ τῶν διὰ μέσου.

Πάλιν τὸν δεύτερον τρόπον ἐμφαίνει λέγων ὅτι διὰ τῶν μέσων καὶ
20 κατὰ τάξιν χρὴ κατιέναι, οὐ μὴν ὑπερβαθμίῳ ποδὶ χρῆσθαι.

p. 6,15 Διαιροῦντας ταῖς εἰδοποιοῖς διαφοραῖς.

Τοῦτον τρίτον τρόπον φησί· λέγει γὰρ ὅτι χρὴ οὐσιώδεσι διαφοραῖς χρῆσθαι ταῖς ποιούσαις τὸ εἶδος, οὐκέτι δὲ ταῖς ἐπουσιώδεσι ταῖς μὴ ποιούσαις τὸ εἶδος· τὸ λογικὸν γὰρ ποιεῖ τὸ εἶδος, οὐ μὴν τὸ γελαστικόν.

25 p. 6,16 Τὰ δὲ ἄπειρά φησιν ἐᾶν.

Λέγει δὲ ἐᾶν τὰ ἄπειρα, τοῦτ' ἔστι τὰ ἄτομα.

---

3 an τοῦτον? καὶ om. V 4 ἧτον T ἰδοὺ—ἐναλλαγήν (5. 6) om. K ἰδοὺ γὰρ ἡ] ἡ γὰρ T 5 τῇ ἰσχάδι V 6 οὔ] οὔτε TV ἐστιν om. TV καὶ om. K τὸ] τοῦτο V 8 ἐστιν ἀὴρ καὶ πῦρ] ταὐτὸν ἥλιος καὶ πῦρ ὑπάρχει KV 9 τῷ om. V 10 pr. γὰρ] δὲ K ἐστιν] an ᾖ? ἀλλ' οὖν] ἀλλὰ V 11 εἰσιν TV 12 καὶ (ante ταῦτα) om. T ἄπειρα εἶναι colloc. T 18 κατιέναι δὲ] καὶ κατιέναι V διὰ τῶν Paris. 2089: om. KTV 19 τρόπον om. KT ὅτι om. T καὶ om. V 23 ποιοῦσι V¹ δὲ] γὰρ T

Digitized by Google

p. 6,16 Μὴ γὰρ ἂν γενέσθαι τούτων ἐπιστήμην.

Τοῦτ' ἔστιν οὐκ εἰσι γνωστά· ἀόριστα γάρ εἰσι.

p. 6,16 Κατιόντων μὲν οὖν εἰς τὰ εἰδικώτατα ἀνάγκη διαιροῦντας διὰ πλήθους ἰέναι.

Αὕτη ἐστὶν ἡ κάθοδος· ἐπὶ ἑκάστης δὲ διαιρέσεώς ἐστιν ὁ λόγος.

p. 6,18 Ἀνιόντων δὲ εἰς τὰ γενικώτατα ἀνάγκη συναιρεῖν τὸ πλῆθος.

Αὕτη ἐστὶν ἡ ἄνοδος.

p. 6,18 Συναγωγὸν γὰρ τῶν πολλῶν εἰς μίαν φύσιν τὸ εἶδος.

Φησὶν ὅτι τὸ εἶδος περιέχει πολλούς· ἐν γὰρ τῷ ἀνθρώπῳ συνάγεται Σωκράτης καὶ Πλάτων καὶ πάντα τὰ ἄτομα. ἔτι δὲ πλέον συναγωγὸν τὸ γένος· ὅλα γὰρ τὰ εἴδη εἰς ἕν τι συνάγεται, εἰς τὸ ζῷον.

p. 6,20 Τὰ δὲ κατὰ μέρος καὶ καθ' ἕκαστον τοὐναντίον εἰς πλῆθος ἀεὶ διαιρεῖ τὸ ἕν.

Τὰ δὲ μερικά, φησί, καὶ καθ' ἕκαστον ἀεὶ διαιρεῖ τὸ ἓν εἰς πλῆθος, οἷον ὁ Σωκράτης καὶ ὁ Ἀλκιβιάδης διαιρεῖ τὸ εἶδος εἰς πολλά· κατὰ γὰρ τὸ εἶδος οἱ πολλοὶ ἄνθρωποι εἷς ἐστι, κατὰ δὲ τὰ ἄτομα ὁ εἷς πλείονές εἰσι. κοινῶς δὲ τὸ κοινὸν μὲν συλληπτικόν ἐστι, τὸ μερικὸν δὲ διαιρετικόν.

Πρᾶξις κβ'.

Τὸν ἴδιον σκοπὸν πανταχόσε φυλάττων ὁ φιλόσοφος λογικώτερον πάντα ζητεῖν προαιρεῖται· περὶ γὰρ τῆς ῥίζης τῆς λογικῆς καὶ θεμελίου νυνὶ τὴν διδασκαλίαν ποιεῖται, φημὶ δὲ περὶ κατηγορουμένου καὶ ὑποκειμένου. ὅτι δὲ ῥίζα καὶ θεμέλιός ἐστι τῆς λογικῆς τὸ κατηγορούμενον καὶ ὑποκείμενον,

---

1 καὶ μὴ γὰρ V 2 εἰσι (post γάρ)] ἐστί T 3 μὲν om. K 5 δὲ om. T
6 συναιρεῖν] ἀναιρεῖν K: ἀναιρεῖν ex διαιρεῖν corr. T 9 συναγαγὼν TV¹
12 εἰς ἕν τι] ἕν τινι V an συνάγεται ⟨ὡς⟩? τὸ om. V 13 τὰ] τὸ TV
ἕκαστα Porph. 4 ἀεὶ — πολλά (16) om. K ἀεὶ om. V post ἕν add.
οἷον σωκράτης καὶ ἀλκιβιάδης V 15 τὰ δὲ om. T τὸ πλῆθος εἰς ἓν colloc. V
16 οἷον — ἀλκιβ. om. V ante διαιρεῖ add. καὶ V εἶδος] πλῆθος (superscr. εἶδος) V 17 ἄνθρωποι om. V εἰσι T πλείονες] πλεῖον V¹
18 μὲν om. TV 19 πρᾶξις κα' V: om. T 20 πανταχόσε] πανταχοῦ ὡς KT
21 προείρηται KT

Digitized by Google

σαφὲς ἐκ τοῦ λεγομένου· ἡ λογικὴ πραγματεία πέρας ἔχει τὴν ἀποδεικτικήν, ἡ ἀποδεικτικὴ δὲ ἐκ συλλογισμῶν σύγκειται, οἱ συλλογισμοὶ δὲ ἐκ προτάσεων, αἱ προτάσεις ἐκ κατηγορουμένου καὶ ἐξ ὑποκειμένου. ἀποδεικτικὴ δέ ἐστιν ὁ βέβαιος λόγος ὁ ἀναντίρρητος. πολλὰ δέ ἐστι τὰ περὶ τούτου λεγόμενα, ἅπερ ἐκεῖ γενόμενοι παραθησόμεθα. ὑπερ δὲ τοῦ μὴ πλέον ἄγειν τὸν λόγον ἐνταῦθά που αὐτὸν καταπαύσωμεν. συλλογισμὸς δέ ἐστιν ὁ συντιθέμενος λόγος 'ὁ ἄνθρωπος ζῷον· τὸ ζῷον οὐσία· ὁ ἄνθρωπος ἄρα οὐσία'. μέρη δὲ τοῦ συλλογισμοῦ εἰσιν αἱ προτάσεις· πρώτη γὰρ πρότασις 'ὁ ἄνθρωπος ζῷον', δευτέρα πρότασις 'τὸ ζῷον οὐσία'. ἔχουσι δὲ αἱ προτάσεις ὑποκείμενον καὶ κατη|γορούμενον· ὑποκείμενον μὲν ἔχει ἡ πρώτη 196r πρότασις τὸν ἄνθρωπον κατηγορούμενον δὲ τὸ ζῷον, ἡ δευτέρα δὲ ὑποκείμενον μὲν ἔχει τὸ ζῷον κατηγορούμενον δὲ τὴν οὐσίαν. τὸ οὖν κατηγορούμενον ἢ ἐπὶ πλέον τοῦ ὑποκειμένου ἐστὶν ἢ ἐπ' ἴσης, οὐδέποτε δὲ ἐπ' ἔλαττον· τὸ ὑποκείμενον δὲ ἢ ἐπ' ἴσης ἢ ἐπ' ἔλαττον, οὐδέποτε δὲ ἐπὶ πλέον ἐστὶ τοῦ κατηγορουμένου. καὶ ἐπὶ πλέον μέν ἐστι τὸ κατηγορούμενον τοῦ ὑποκειμένου, ὥσπερ τὸ ζῷον τοῦ ἀνθρώπου (τὸ γὰρ ζῷον ἐπὶ πλέον φθάνει τοῦ ἀνθρώπου· εἴ τι μὲν γὰρ ἄνθρωπος, τοῦτο καὶ ζῷον, οὐκ εἴ τι δὲ ζῷον, τοῦτο καὶ ἄνθρωπος), ἐπ' ἴσης δὲ κατηγορεῖσθαι τοῦ ὑποκειμένου φαμὲν ὡς τοῦ ἀνθρώπου τὸ γελαστικόν· ἰσορρεπὲς γὰρ ἑκάτερον. ἐπὶ τούτων δὲ ἑκάτερον καὶ ὑποκείμενόν καὶ κατηγορούμενον ἔξεστι λαμβάνειν, ἀλλ' οὐκ ἐν αὐτῇ τῇ προτάσει. ἐκ τῶν λεχθέντων δὲ σαφὲς ὑπάρχει πῶς καὶ τὸ ὑποκείμενον ἐπ' ἴσης εὑρίσκεται καὶ ἐπ' ἔλαττον· ἐπ' ἴσης γὰρ εὑρίσκεται, ὅτε τὸ γελαστικὸν κατηγορεῖται τοῦ ἀνθρώπου, ἐπ' ἔλαττον δέ, ὅταν τοῦ ἀνθρώπου τὸ ζῷον. παράδειγμα δὲ ἔστω τῶν λεγομένων ἡ προειρημένη διαίρεσις· ἡ μὲν γὰρ οὐσία μόνον κατηγορούμενόν ἐστι, τὰ δὲ ἄτομα μόνον ὑποκείμενα, τὰ δὲ μέσα καὶ κατηγορούμενα καὶ ὑποκείμενα, ἀλλὰ τὸ μὲν εἰδικώτατον μᾶλλον ὑπόκειται ἤπερ κατηγορεῖται (τῶν γὰρ ἀτόμων μόνων κατηγορεῖται, ὑπόκειται δὲ καὶ ὑπέστρωται πᾶσι τοῖς ἄνω), τὰ δὲ ὑπάλληλα μᾶλλον κατηγορούμενά ἐστιν ἤπερ ὑποκείμενα· πολλῶν γὰρ κατηγορεῖται, οὐ πολλοῖς

---

2 pr. δὲ om. T alt. δὲ om. TV 6 που om. V αὐτὸν καταπαύσομεν K: καταπαύσωμεν (—σομεν V) τὸν λόγον TV 7 συντεθειμένος KT 7. 8 ὁ ἄνθρ. ἄρα οὐσία om. V 9 δευτέρα πρότασις om. V 10 μὲν om. T 11 alt. δὲ om. KT 12 μὲν om. KT post alt. κατηγορ. add. τὴν οὐσίαν (τοῦ ὑποκειμένου superscr.) V 13 οὐδέποτε δὲ om. T ἐπ' (ante ἔλαττον) om. V 14 ἢ (post δὲ) om. V 15 μέν om. V 16 τὸ γὰρ—ἀνθρώπου om. V 18. 19 κατ. φαμὲν τὸν ἄνθρωπον τοῦ ὑποκ. τοῦ γελαστικοῦ V 18 ὡς τοῦ ἀνθρώπου om. T 19 ἐπὶ τούτων δὲ ἑκάτερον om. V 20 ἔξεστι—ἀλλ' οὐκ ἐν] ἐξ ὧν συλλαμβάνειν ἕτερον V ἔξεστι scripsi: ἐξ ἴσου KT λαμβάνεται T 21 δὲ om. V ὑπάρχον V 22 ἐπ' (ante ἔλαττον) om. V 23 ὅταν om. TV 23. 24 τοῦ ἀνθρώπου τὸ ζῶον] ὁ ἄνθρωπος τοῦ ζώου KT 24 ad προειρημένη add. ἢ ἡ προκειμένη in mrg. K 25 ὑποκείμενον V 26 καὶ (ante κατηγ.) om. KT 27 ὑποκείμενον V μόνον K 28 μᾶλλον] μόνον V

Digitized by Google

δὲ ὑπόκειται. ἴσως δὲ ἀπορήσει τις λέγων· πῶς λέγετε τὴν οὐσίαν μόνον κατηγορεῖσθαι, ἐξ οὗ ὁρῶμεν τὸ λευκὸν οὐσίας κατηγορούμενον; φαμὲν γὰρ τὸ λευκὸν κατηγορεῖσθαι τοῦ κύκνου· ὥστε οὖν κακῶς λέγετε αὐτὴν μόνον κατηγορεῖσθαι· ἰδοὺ γὰρ καὶ ὑπόκειται τοῖς συμβεβηκόσι. πρὸς τοῦτο δὲ λέγομεν ὅτι οὐ λέγομεν πάντων τῶν ὄντων αὐτὴν κατηγορεῖσθαι, ἀλλὰ μόνων τῶν ὑπ' αὐτήν· τινὶ γὰρ τῶν ὑπ' αὐτὴν ὑποκεῖσθαι ἀδύνατον. παραδείγματι δὲ τὴν τοιαύτην διαίρεσιν ὑποβάλωμεν· ἔστιν ἡ οὐσία οἱονεὶ τὸ ὅλον, τὰ δὲ ἄτομα οἱονεὶ τὰ μέρη, τὰ δὲ μέσα καὶ ὅλα καὶ μέρη, ἀλλὰ τὸ μὲν εἰδικώτατον μᾶλλον μέρος ἐστὶν ἤπερ ὅλον, τὰ δὲ ὑπάλληλα μᾶλλον ὅλα ἤπερ μέρη· μᾶλλον γὰρ κατηγορεῖται ἤπερ ὑπόκειται. ὥσπερ οὖν τὸ ὅλον ἔχει πάντα ὑφ' ἑαυτὸ τὰ μέρη, οὕτω καὶ ἡ οὐσία πάντα ἔχει τὰ ἐξ αὐτῆς διαιρούμενα ὑφ' ἑαυτήν. ἰστέον δὲ ὡς οὐ ταὐτόν ἐστιν ὅλον καὶ οὐσία· ἡ μὲν γὰρ ἐν πᾶσι τοῖς ὑπ' αὐτὴν ὅλη ὡς ὅλη θεωρεῖται, τὸ δὲ ὅλον ἐν τοῖς ὑπ' αὐτὸ μέρεσιν οὐχ ὅλον ὡς ὅλον θεωρεῖται· οὔτε γὰρ ἐν τῇ χειρὶ θεωρεῖται ὅλος ὁ Σωκράτης. οὐδὲ τὰ μέρη καὶ τὰ ἄτομα ταὐτόν ἐστι· τῶν μὲν γὰρ ἀτόμων ἔχει ἓν καὶ ἕκαστον τὴν οὐσίαν ὅλην ὡς ὅλην, τῶν δὲ μερῶν ἓν καὶ ἕκαστον οὐκ ἔχει τὸ ὅλον ὡς ὅλον.

Εἰρηκὼς ὁ Πορφύριος περὶ τοῦ εἰδικωτάτου εἴδους καὶ ὑπαλλήλου καὶ κατηγορουμένου καὶ ὑποκειμένου | ἄτοπον ἡγεῖται παριδεῖν καὶ τὰ ἄτομα 196v ἀμνημόνευτα τῆς ἑαυτοῦ διδασκαλίας, εἴ γε καὶ τῶν πρός τί εἰσι πρὸς τὰ ἐπαναβεβηκότα καὶ μία περὶ αὐτῶν ἀπαιτεῖται εἶναι διδασκαλία· ὅπου γὰρ εἶδος, ἐκεῖ καὶ ἄτομα ὑπάρχει. ὁρίζεται τοίνυν τὰ ἄτομα οὕτως· ἄτομόν ἐστι τὸ ἐξ ἰδιοτήτων συγκείμενον, ὧν τὸ ἄθροισμα οὐκ ἂν ὀφθείη ἐπὶ ἑτέρου ποτέ. καὶ σκόπει πῶς τὸ οἰκεῖον τοῦ φιλοσόφου ἐφύλαξε, τὸ τοιόνδε ἄτομον μὴ ὁριζόμενος (τοῦτο γὰρ μερικόν ἐστιν), ἀλλὰ τὸ ἁπλῶς ἄτομον. φησὶ δὲ ἄτομόν ἐστι τὸ ἐκ συμβεβηκότων συγκείμενον, ὧν τὸ ἄθροισμα οὐκ ἂν ὀφθείη ἐπὶ ἑτέρου ποτέ, οἷον ὁ Σωκράτης ἐκ τῆς φαλάκρας καὶ τοῦ προκοιλίου καὶ τοῦ εὐφυοῦς καὶ σώφρονος σύγκειται. ταῦτα δὲ ὁμοῦ ἐπὶ ἑτέρου οὐκ ἂν φανείη ποτέ· κἂν γὰρ ἔχῃ τὸ φαλακρόν, ἀλλ' οὐ πάντα τὰ ἄλλα· ἀδύνατον γὰρ δύο ὁμοίους εἶναι κατὰ πάντα.

---

1. 2 κατηγ. μόνον colloc. T 1. 2 μόνην ἑαυτῆς κατ. V 3 λέγετε αὐτὴν Paris. 2089: λέγετε KT: ἑαυτῆς V 4 καὶ om. K post δὲ add. καὶ T 5 αὐτὴν ante πάντων colloc. V 5. 6 ἀλλὰ μόνων τῶν ὑπ' αὐτὴν Paris. 2089: om. KTV 7 δὲ om. T ὑποβάλλωμεν T 9 τὰ μὲν εἰδικώτατα T μέρος Paris. 2089: μέρη KTV 10 ὅλα Paris. 2089: ὅλον KTV ἤπερ ex εἴπερ corr. T: ἢ V 12 ὑπ' αὐτήν KT οὐ suppl. V² 13 ante οὐσία add. ἡ V ἐν—αὐτὴν om. T 16 καὶ om. TV 17 καὶ om. V 20 an ⟨ἐν⟩ τῇ . . διδασκαλίᾳ ? 21 ἐπαναβεβ.] ἀναβεβηκότα T μία—διδασκαλία Paris. 2089: μίαν περὶ αὐτῶν ἀπαιτεῖ (ἀποτείνεται T, ἀπαιτεῖται V) τὴν διδασκαλίαν KTV 22 ἄτομον K ὁρίζεται] p. 7,22 23 ἰδιοτήτων] ἰδίων V ὧν] οὗ TV 24 τοῦ ἑτέρου K καὶ om. K 25 τοιοῦτον V ὁρισάμενος V 26 συμβεβηκότος V: ἰδιοτήτων Porph. 27 et p. 168,1 ὧν] οὗ TV 27 ἐπὶ ἑτέρου οὐκ ἂν ὄφθ. colloc. T ποτέ om. K ὁ om. V 28 σύγκειται om. K 29 οὐκ ἂν φανείη ποτέ] οὐ φαίνεται V γὰρ om. K 30 παντός (alt. l.) V

Digitized by Google

καλῶς οὖν εἶπεν ὧν τὸ ἄθροισμα ἐπὶ ἑτέρου οὐκ ἂν ὀφθείη ποτέ. τινὲς δέ φασιν ὅτι ἐκ τῶν συμβεβηκότων πλέον ὁ τόπος συμπληροῖ τὸ ἄτομον· τὰ μὲν γὰρ ἄλλα πάντα κοινά ἐστιν, ἡ φαλακρότης τὸ εὐφυὲς καὶ τὸ σῶφρον, ὁ δὲ γε τόπος μόνον ἰδιόν ἐστι τοῦ ἀτόμου· οὔτε γὰρ δύναται δύο ἐν τῷ αὐτῷ τόπῳ καθέζεσθαι, ἐπεὶ ἔσται σῶμα διὰ σώματος χωροῦν· ὥστε οὖν ὁ τόπος συμπληροῖ τὸν Σωκράτην. κακῶς δὲ οὗτοι λέγουσι· ποῖον γὰρ τόπον λέγουσι, τὸν καθόλου ἢ τὸν μερικόν; καὶ εἰ μὲν τὸν καθόλου, ψευδὲς φαίνεται τὸ λεγόμενον (οὔτε γὰρ ὁ Σωκράτης διαφέρει Ἀλκιβιάδου, καθὸ ἐν τόπῳ ἐστί· κοινὸς γάρ ἐστιν ὁ καθόλου τόπος), εἰ δὲ τὸν μερικόν, ὁμοίως ψευδές ἐστι τὸ λεγόμενον· οὔτε γὰρ ὁ ἐν τῷ Λυκείῳ τόπος μόνου ἐστὶ τοῦ Σωκράτους· δυνατὸν γὰρ καὶ Πλάτωνα ἐν ἐκείνῳ τῷ τόπῳ καθέζεσθαι· ὡς γὰρ ὁ ἐν τῷ θεάτρῳ τόπος τοῦ προλαβόντος ἀεὶ γίνεται, οὕτω καὶ ὁ ἐν τῷ Λυκείῳ· ὥστε οὖν οὐδὲ οὗτος ἴδιός ἐστι Σωκράτους. οὐ συμπληροῖ ἄρα πλείω τῶν ἄλλων συμβεβηκότων ὁ τόπος τὸν Σωκράτην.

Ἐπιλαμβάνονται δὲ Πορφυρίου οἱ Περιπατητικοὶ λέγοντες ὅτι κατὰ δύο τρόπους ἥμαρτε λέγων ὅτι τὸ ἄτομον ἐκ συμβεβηκότων συμπληροῦται· πρῶτον ὁ Ἀριστοτέλης ἐν ταῖς Κατηγορίαις καλλίστην καὶ τιμιωτάτην οὐσίαν πλείω ὅλων φησὶν εἶναι τὴν ἄτομον· εἶ φησιν οὖν ὁ Πορφύριος τὰ ἄτομα συμπληροῦσθαι διὰ τῶν συμβεβηκότων, ἁμαρτίᾳ μεγάλῃ περιπίπτει· τὰ γὰρ οὐσιώδη ἀπὸ οὐσιωδῶν συμπληροῦται, οὐ μὴν ἀπὸ ἐπουσιωδῶν· τοὐναντίον γὰρ τὰ αὐθυπόστατα συμπληροῖ τὰ ἑτεροϋπόστατα. κατὰ δὲ Πορφύριον συνάγεται τὰ ἑτεροϋπόστατα συμπληροῦν τὰ αὐθυπόστατα, φημὶ δὴ τὰ συμβεβηκότα τὴν οὐσίαν. δεύτερον δὲ τὰ συμβεβηκότα ὡς μέρη συμπληροῖ τὸν Σωκράτην ὥστε εἶναι τὸν Σωκράτην ὅλον τὰ συμβεβηκότα δὲ μέρη· μερῶν δὲ | ἀναιρουμένων οὐ συνίσταται τὸ ὅλον· εὑρίσκο- 197r
μεν δὲ ὅτι τὰ συμβεβηκότα γίνεται καὶ ἀπογίνεται χωρὶς τῆς τοῦ ὑποκειμένου φθορᾶς· οὐ γὰρ ἀφαιρουμένων τῶν συμβεβηκότων ἀφαιρεῖται καὶ τὸ ὅλον, φημὶ δὴ τὸν Σωκράτην. πρὸς τοῦτο δὲ ἀπολογοῦνται οἱ Πλατωνικοὶ λέγοντες ὅτι οὐ λέγει συμπληροῦσθαι ἀπὸ τῶν συμβεβηκότων ἀλλὰ γινώσκεσθαι. πρὸς τοῦτο δέ φασιν οἱ Περιπατητικοὶ ὅτι οὐ λέγει γινώσκεσθαι, ἀλλὰ συμπληροῦσθαι, ὡς καὶ δηλοῖ τὸ κείμενον. πρὸς τοῦτο δὲ οἱ Πλατωνικοί φασιν ὅτι κἂν λέγῃ συμπληροῦσθαι, οὐ κακῶς εἶπεν· ἰδιότητας γὰρ οὔ φησι τὰ

---

1 ἐπὶ ἑτέρου post ποτέ transp. T 2 ἐκ om. V 9 εἰ] εἰς V
10. 11 ὁ τόπος ὁ ἐν τῷ λ. σωκρ. μόνου ἐστίν V 10 λυκίω T 12 προλαμβάνοντος K 13 τῷ λυκίω K: λυκίω (τῷ om.) T 16 ἔτι λαμβ. V
δὲ om. V τοῦ πορφ. V 17 συμπληρ.] πληροῦνται V 18 ἐν ταῖς Κατηγορίαις] c. 5 p. 2a11 καλίστην T 19 οὐσίαν om. V ὅλον V
τὴν ἄτομα (sic) Urb. 35: τὰ ἄτομα KTV 21 ἀπὸ (ante ἐπουσ.) om. V
22 γὰρ] δὲ T 22. 23 συμπληροῖ—αὐθυπόστατα om. T 23 συμπληροῦν] συμπληροῦντα TV 24 δὴ] δὲ TV δὲ om. KT 25 συμπλ.] πληροῖ KV 29 δὴ] δὲ TV 30 τῶν om. KT 32 καὶ om. T
33 εἶπεν om. V

Digitized by Google

συμβεβηκότα, ἀλλὰ τὴν ἰδιοτροπίαν τῆς κράσεως· ἡ δὲ ἰδιοτροπία τῆς κράσεως οὐσία ἐστὶν ἑκάστου, οἷον τὸ θερμὸν ἢ τὸ ψυχρόν. πρὸς τούτους δὲ καλῶς ἀντιλέγοντες οἱ Περιπατητικοί φασιν ὅτι καὶ ταῦτα συμβεβηκότα ἐστίν· οὔτε γὰρ ἐὰν ᾖ ὁ Σωκράτης τοῦ Πλάτωνος θερμότερος, κατὰ τοῦτο διοίσει αὐτοῦ· ἀμέλει γίνεται καὶ ἀπογίνεται. τί οὖν ὑμεῖς ὦ Περιπατητικοὶ ἀπολογεῖσθε; φασὶν ὅτι οὐκ ἔστιν ἄτοπον συμπληροῦν τὰ συμβεβηκότα τὴν οὐσίαν, πρὸς ἄλλο δὲ εἶναι συμβεβηκότα καὶ πρὸς ἄλλο οὐσίαν· ὡς γὰρ τὸ θερμὸν τὸ ἐν τῷ πυρὶ λέγεται καὶ οὐσία καὶ συμβεβηκός (πρὸς μὲν γὰρ τὸ σῶμα τοῦ πυρὸς λέγεται συμβεβηκός, πρὸς δὲ τὸ πῦρ οὐσία· οὐσία γὰρ τοῦ πυρὸς ἡ θερμότης), καὶ ὥς φαμεν τὸ ἐν τῷ ὕδατι ψυχρὸν καὶ συμβεβηκὸς εἶναι καὶ οὐσίαν, συμβεβηκὸς μὲν πρὸς τὸ σῶμα τοῦ ὕδατος, οὐσίαν δὲ πρὸς τὸ ὕδωρ, οὕτω καὶ τὸ φαλακρὸν τοῦ Σωκράτους συμβεβηκός φαμεν καὶ οὐσίαν, συμβεβηκὸς μὲν πρὸς τὸν Σωκράτην, καθὸ ἄνθρωπός ἐστιν, οὐσίαν δὲ αὐτοῦ, καθὸ συμπληροῖ τὸν Σωκράτην· οὐσία γὰρ αὐτοῦ καὶ ἡ φαλακρότης, συμβεβηκὸς δέ, καθὸ καὶ ἄλλοις γίνεται. καὶ οὐ θαυμαστόν, εἰ ταῦτα οὐσία λέγεται· πᾶν γὰρ συμβεβηκὸς θέλει μετέχειν οὐσίας, ἵνα μὴ πάντῃ ἀμοιρήσῃ τῆς κρείττονος οὐσίας.

p. 7,18 Ἄτομον δὲ λέγεται ὁ Σωκράτης.

Τὸ ἄτομον λέγεται πολλαχῶς· ἔστι γὰρ ἀδιαίρετον ἄτομον ὥσπερ τὸ νῦν καὶ τὸ σημεῖον· τὸ γὰρ νῦν σημαίνει τὸν ἀκαριαῖον ἐνεστῶτα. ἄτομον δέ ἐστιν ὁ ἀκαριαῖος ἐνεστώς, καὶ τὸ σημεῖον παρὰ τοῖς γεωμέτραις ἄτομόν ἐστιν. ἄτομον δὲ καὶ τὸ δυσδιαίρετον ὥσπερ ὁ ἀδάμας καὶ τὰ ὅμοια. ἔστι δὲ ἄτομον καὶ ὁ Σωκράτης καὶ ὁ Ἀλκιβιάδης, οὐχ ὅτι οὐ πέφυκε τέμνεσθαι (τέμνεται γὰρ εἰς σῶμα καὶ ψυχήν), ἀλλ' ὅτι μετὰ τὴν τομὴν οὐ σώζει τὸ οἰκεῖον εἶδος.

p. 6,24 Ἀποδεδομένου δὲ τοῦ γένους καὶ τοῦ εἴδους τί ἑκάτερον.

Φησὶν ὅτι ἀποδεδώκαμεν τί ἐστι γένος καὶ τί ἐστιν εἶδος. ἀποδεδώκαμεν, ὡς λέγει, ἀλλ' ἑκατέρου ὁ ὁρισμὸς κακῶς ἔχει· ἐλέγομεν γὰρ τοῦ γενικωτάτου γένους | ἀποδοδῆναι τὸν προειρημένον ὁρισμόν, οὐ μόνον δὲ τῷ 197v γενικωτάτῳ ἁρμόζειν, ἀλλὰ καὶ τοῖς ὑπαλλήλοις γένεσιν· ὡς γὰρ ἁρμόζει

---

4 ᾖ] ἐστὶν TV κατὰ τοῦτο] κατ' αὐτὸ τοῦτο K 5 ὑμεῖς] ἡμῖν T
6 ἀπολογεῖσθαι K συμπληροῦντα V 11 καὶ οὐσίαν εἶναι colloc. V
17 ἀμοιρήσει K 18 δὲ] γὰρ K: om. V 22 ἄτομον δὲ καὶ τὸ δυσδιαίρετον] τὸ ἄτμητον καὶ δυσδιαίρετον T: καὶ ἄτομον ἀδιαίρετον V post ἀδάμας add. λίθος V
23 ὁ (ante ἀλκ.) om. T οὐ] μὴ K 26 τί ἐστιν ἑκάτ. Porph.
27. 28 alt. ἀποδεδώκαμεν] ἀποδέδωκε δὲ KT 28 ἐλέγομεν γὰρ] cf. p. 133,5 sq.
29 μόνω T δὲ om. T 30 ἁρμόζειν] ἁρμόζει V

Digitized by Google

τῷ γενικωτάτῳ ὁ ὅρος ὁ λέγων τὸ κατὰ πλειόνων καὶ διαφερόντων τῷ εἴδει ἐν τῷ τί ἐστι κατηγορούμενον, οὕτω καὶ τῷ ὑπαλλήλῳ· ὁ αὐτὸς γὰρ ἐὰν λεχθῇ καὶ ἐπὶ τοῦ ὑπαλλήλου, ἁρμόσει αὐτῷ. καὶ ὁ τοῦ εἰδικωτάτου δὲ εἴδους ὁρισμὸς οὐ μόνον τῷ εἰδικωτάτῳ ἁρμόζει, ἀλλὰ καὶ τῷ ἀτόμῳ· τὸ γὰρ ἁπλῶς ἄτομον ἐπιδέχεται καὶ τὸν τοιοῦτον ὁρισμόν· τὸ γὰρ ἁπλῶς ἄτομόν ἐστι τὸ κατὰ πλειόνων καὶ διαφερόντων τῷ ἀριθμῷ ἐν τῷ τί ἐστι κατηγορούμενον. τί οὖν φαμεν πρὸς ταῦτα; λέγομεν πρὸς τὸ πρῶτον ὅτι κἂν ἁρμόζῃ ὁ ὁρισμὸς τοῦ γενικωτάτου γένους τῷ ὑπαλλήλῳ, οὐκ ἄγεται ὑφ' ἁμαρτίαν· οὔτε γὰρ μόνου τοῦ γενικωτάτου ἀπεδόθη, ἀλλ' ἑκάστου γένους. πρὸς δὲ τὸ δεύτερόν φαμεν ὅτι ὁ ὁρισμὸς τοῦ εἰδικωτάτου εἴδους οὐχ ἁρμόζει τῷ τοιῷδε ἀτόμῳ, ἀλλὰ τῷ ἁπλῶς ἀτόμῳ· τὸ δ' ἁπλῶς ἄτομον εἴδους τάξιν ἐπέχει ἤτοι εἰδός ἐστιν. ἔχομεν ἐντεῦθεν ὡς ἔδει τὰ εἰδικώτατα εἴδη εἰς τὸ ἁπλῶς ἄτομον διαιρεῖσθαι, κἂν μὴ βούληται Πλάτων· ὅτι γὰρ τὸ ἁπλῶς ἄτομον οὐκ ἔστιν εἶδος, ἐντελῶς ἐν ταῖς Κατηγορίαις εἰσόμεθα· τάξιν γὰρ εἴδους ἐπέχει.

p. 7,2 Τὸ μὲν γένος ἀεὶ τοῦ εἴδους κατηγορεῖται.

Σκόπει πῶς λέγει πάντα τὰ ἐπὶ πλέον κατηγορεῖσθαι τῶν ἐπ' ἔλαττον· οὐ γὰρ εἴ τι ζῷον, εἴποις, ἄνθρωπος.

p. 7,7 Ὥσπερ τὸν ἄνθρωπον εἶναι ζῷον.

Φησὶν ὅτι δικαίως τὸ ζῷον τοῦ ἀνθρώπου κατηγορεῖται· εἴ τι μὲν γὰρ ἄνθρωπος, τοῦτο καὶ ζῷον, οὐκ εἴ τι δὲ ζῷον, τοῦτο καὶ ἄνθρωπος· ὥστε οὖν ἐπὶ πλέον φθάνει τὸ ζῷον τοῦ ἀνθρώπου.

p. 7,14 Τὸ δὲ γενικώτατον καὶ κατὰ τοῦ γένους ἢ τῶν γενῶν.

Κακῶς λέγει τὸ γενικώτατον ἑνὸς κατηγορεῖσθαι· οὐδέποτε γὰρ τὸ γενικώτατον ἑνὸς γένους κατηγορεῖται, ἀλλὰ πολλῶν.

p. 7,14 Εἰ πλείω εἴη τὰ μέσα καὶ ὑπάλληλα.

Καὶ τοῦτο πάλιν κακῶς εἶπε· φησὶ γάρ· ἀεὶ πολλῶν γενῶν κατηγορεῖται τὸ γενικώτατον, εἰ πολλὰ εἴη τὰ μέσα καὶ ὑπάλληλα. πάντως δὲ

---

1 ὁ λέγων om. TV τὸ ex τῶ corr. V 2 κατηγορεῖσθαι V 3 λεχθείη KT post αὐτῷ add. γένος ἐστὶ τὸ κατὰ πλειόνων καὶ διαφερόντων τῶ εἴδει ἐν τῶ τί ἐστι κατηγορούμενον TV 4. 11 ἰδικωτάτου K 4 δὲ om. TV μόνω V 5 καὶ (ante τὸν) om. K . 6 γὰρ scripsi: δὲ libri 7 post φαμεν add. καὶ K 8 κἂν] ἐὰν V 11. 12 ἀλλὰ — ἀτόμῳ om. K 13 ἰδικώτ. K εἴδη ex γένη corr. T εἰς τὸ ἁπλ. ἄτ.] τὸ ἁπλῶς ἄτομον V¹: τῶ ἁπλῶς ἀτόμω V² 14 βούλεται T 19 εἴποις ἂν εἶναι Porph. 20 κατ. τοῦ ἀνθρ. colloc. T 21 γὰρ om. T pr. καὶ om. V 23 τοῦ om. T 26 εἰ] ἢ V¹ εἴη] ἢ V¹ 27 εἶπε om. V ἀεὶ om. V 27. 28 κατ. γενῶν colloc. T

Digitized by Google

ὅπου ἐστὶ γενικώτατον, πολλά εἰσι τὰ ὑπάλληλα. τὰ δὲ ὑπάλληλα καὶ μέσα τὰ αὐτὰ εἶπε.

p. 7,15 Καὶ κατὰ τοῦ εἴδους καὶ κατὰ τοῦ ἀτόμου.

Πρὸς τὰ ἄνω κατηγορεῖται τὸ γενικώτατον καὶ τοῦ εἰδικωτάτου εἴδους καὶ τῶν ἀτόμων.

p. 7,20 Καὶ τουτὶ τὸ λευκόν.

Καλῶς εἶπε τὸ τοιόνδε λευκόν· δεικτικῶς γὰρ αὐτὸ εἶπε· τὸ γὰρ ἁπλῶς λευκὸν οὐκ ἔστιν ἄτομον.

p. 7,21 Εἰ μόνος αὐτῷ εἴη Σωκράτης υἱός.

Καλῶς εἶπεν εἰ μόνος αὐτῷ ἐστι Σωκράτης υἱός· εἰ γὰρ ἔστι καὶ ἄλλος, τότε τὸν Σωκράτην οὐ δηλοῖ, ἀλλ' ἀόριστον υἱὸν λέγει, τὰ δέ γε ἄτομα ἀόριστα.

p. 7,25 Ἐπὶ πλειόνων μᾶλλον δὲ ἐπὶ πάντων τῶν κατὰ μέρος ἀνθρώπων, καθὸ ἄνθρωποί εἰσι.

Φησὶν ὅτι αἱ ἰδιότητες αἱ οὖσαι ἐν τῷ ἀνθρώπῳ δύνανται καὶ ἐν τῷ μεριχῷ εἶναι, | οἷον τὸ λογικὸν τὸ θνητὸν καὶ εὐφυές εἰσιν ἐν τῷ ἀνθρώπῳ, 198r δύνανται δὲ καὶ ἐν Σωκράτει καὶ Ἀλκιβιάδῃ εἶναι, καθὸ καὶ αὐτοὶ ἄνθρωποί εἰσιν· αἱ γοῦν ἰδιότητες τοῦ Σωκράτους οὐ δύνανται καὶ ἐν ἄλλῳ εἶναι, καθὸ οὐ πάντες Σωκράτης. εἰπὼν δὲ ἐπὶ πλειόνων καὶ γνοὺς ὅτι οὐ μόνον ἐπὶ πλειόνων διήκουσιν αἱ ἰδιότητες τοῦ κοινοῦ, λέγω δὲ τοῦ ἁπλῶς ἀνθρώπου, ἀλλὰ καὶ ἐπὶ ὅλων, ἐπήγαγε μᾶλλον δὲ ἐπὶ πάντων τῶν κατὰ μέρος. ἐγὼ δὲ οἶμαι εἶναι τούτου ἑτέραν ἐξήγησιν· τὸ γὰρ ἐνδοιάζειν φιλόσοφον ἄτοπον φαίνεται· ἐπεὶ γὰρ καὶ τὸ λογικὸν καὶ τὸ θνητὸν τοῦ ἀνθρώπου εἰσὶν ἰδιότητες, κατὰ μὲν τὸ λογικὸν λέγομεν τὴν ἰδιότητα αὐτοῦ ἐπὶ πλειόνων φέρεσθαι (τὸ τοιοῦτον γὰρ καὶ ἐπὶ ἀγγέλων δύναται εἶναι), κατὰ δὲ τὸ λογικὸν θνητὸν τὴν ἰδιότητα αὐτοῦ φαμεν φέρεσθαι ἐπὶ

---

2 τὰ αὐτὰ εἶπε] ταῦτα V 4 τὰ Par. 2089: τὸ KTV post εἴδους iter. κατὰ τοῦ ἀτόμου πρὸς τὰ (sic) ἄνω—εἴδους V 6 τουτὶ] τοῦτο V 7 εἶπε] ἔχει (bis) V 7. 8 δεικτικῶς—λευκὸν om. T 9 καὶ εἰ V 9. 10 μόνω K 10 καλῶς—υἱός om. V 11 καὶ om. V σωκράτειν V 12 ἀόριστα] ὁριστά V 13 πλειόνων μᾶλλον δὲ] πλειόνων δὲ μάλιστα δὲ K: πλείονων μάλιστα δὲ T: πλείω μᾶλλον V 16 τὸ (ante θνητ.) om. V εἰσιν] ἔστιν libri 17 δύναται V καὶ ἐν ἄλκ. V εἶναι post δύνανται δὲ colloc. T: om. V 19 σωκράτεις V 19. 20 γνοὺς—πλειόνων om. V 22 ἑτέραν τούτου colloc. T 22. 23 ἐνδυάζειν T 23 καὶ (post γὰρ) om. KV τὸ (ante θνητὸν) om. V 24 τοῦ om. K

Digitized by Google

πάντων τῶν κατὰ μέρος ἀνθρώπων. ὥστε οὖν τὸ ἐπὶ πάντων μόνον οὐκ ἠδύνατο εἰπεῖν· ἐποίει γὰρ καὶ τὸν ἄγγελον θνητόν. πρὸς μὲν οὖν τὸν ἄγγελον προσέχων εἶπε τὸ πλειόνων, πρὸς δὲ τὸν κατὰ μέρος ἄνθρωπον εἶπε πάντων.

5 p. 8,1 Ὅλον γάρ τι τὸ γένος.

Ἰδοὺ οὖν λέγει· τὸ μόνον κατηγορούμενον τῷ ὅλῳ ἔοικε.

p. 8,2 Τὸ εἶδος δὲ καὶ ὅλον καὶ μέρος.

Τὸ ὑπάλληλον δὲ μᾶλλον ὅλον ἐστὶν ἤπερ μέρος, τὸ δὲ εἰδικώτατον μᾶλλον μέρος ἤπερ ὅλον.

10 p. 8,2 Ἀλλὰ μέρος μὲν ἄλλου, ὅλον δὲ οὐκ ἄλλου ἀλλ' ἐν ἄλλοις· ἐν γὰρ τοῖς μέρεσι τὸ ὅλον.

Διδάσκει ἡμᾶς ὁ Πορφύριος ὅτι οὐκ ἐπ' ἴσης ἀεὶ λαμβάνεται τὰ πρός τι· ἔστι μὲν γὰρ ὅτε ἐπ' ἴσης, καὶ ἔστιν ὅτε οὔ. ἐπ' ἴσης μὲν ὡς ἵνα εἴπω 'τὸ δεξιὸν τοῦ ἀριστεροῦ ἐστι δεξιόν, τὸ ἀριστερὸν τοῦ δεξιοῦ ἐστιν 15 ἀριστερόν'. οὐκ ἐπ' ἴσης δὲ ὥσπερ ἐν τῷ ὅλῳ καὶ τοῖς μέρεσι· φαμὲν γὰρ 'τὸ μέρος ὅλου ἐστὶ μέρος', οὐ φαμὲν δὲ ὁμοίως ἑνικῶς 'τὸ ὅλον μέρους ἐστὶν ὅλον', ἀλλὰ 'τὸ ὅλον μερῶν ἐστιν ὅλον'. οὕτω δὲ καὶ ἐπὶ τοῦ πατρὸς τοῦ ἔχοντος πολλοὺς υἱούς φαμεν τὸ ἓν σκέλος ἑνικῶς, τὸ δὲ ἕτερον πληθυντικῶς· οἱ υἱοὶ πατρός εἰσιν υἱοί, ὁ πατὴρ δὲ υἱῶν ἐστι 20 πατήρ, οὐχ ἑνὸς δὲ υἱοῦ ὁμοίως τῷ πρώτῳ σκέλει.

Πρᾶξις κγ'.

Περὶ διαφορᾶς.

Μετὰ τὴν ἑκατέρων τῶν ἄκρων διδασκαλίαν χωρητέον καὶ ἐπὶ τὴν διαφορὰν τρίτην εἰληφυῖαν τάξιν· παρακεχώρηκε δὲ τῷ εἴδει τῆς τάξεως,

1 τὸ ἐπὶ Paris. 2089: τὸ εἰπεῖν KT: τῶ εἰπεῖν V μόνων V; ex μόνον corr. T 2 ἐδύν. V ἐποίει] εἴποι V καὶ] ἂν V 3 προσέχων Paris. 2089: προσεχῶς KTV 6 οὖν om. V τὸ μόνον κατ.] τῶν μόνων κατηγορουμένων V 7 ante τὸ εἶδος add. καὶ TV: eras. K τὸ δὲ εἶδος Porph. ὅλον λέγεται καὶ μέρος K 8 ὅλον] ὅπερ V¹ ante μέρος add. τὸ K¹ δὲ om. V 10 ὅλον—ἀλλ' om. V 11 ἐν τοῖς γὰρ colloc. K 12 ἀεὶ om. KT 13 ἔστιν (ante ὅτε) om. T 14 ante τὸ ἀριστ. add. καὶ T τοῦ (ante δεξιοῦ) om. K 16 τὰ μέρη ὅλου ἐστὶ μέρη V 17 ἀλλὰ—ἐστιν ὅλον om. K ἀλλὰ—μερῶν] οὔτε γὰρ V 19 οἱ coll. ante alt. υἱοί V 20 post ὁμοίως add. δὲ ὡς V 21 πρᾶξις κγ' om. T κγ' scripsi: κβ' KV 22 τῆς διαφορᾶς V 24 et p. 173,2 παρακεχώρηκε scripsi: παρακεχωρήκασι libri

Digitized by Google

εἰ καὶ φύσει προτερεύει, διὰ τὸ γειτνιάζειν τῷ γένει. οὐ μόνον δὲ τούτου ἕνεκα τῷ εἴδει παρακεχώρηκε τῆς τάξεως, ἀλλ' ἵνα μὴ διασπασμὸς τῶν διδασκαλιῶν γένηται· τὸ γὰρ γένος καὶ τὸ εἶδος ἐν τῷ τί ἐστι κατηγοροῦνται, ἡ δὲ διαφορὰ καὶ τὸ ἴδιον καὶ τὸ συμβεβηκὸς ἐν τῷ ὁποῖόν τί ἐστιν εἰ διέλαβεν οὖν μετὰ τὸ γένος περὶ διαφορᾶς, ἤμελλε διασπᾶν τὴν διδασκαλίαν τῶν πρός τι, ἀλλὰ μὴν καὶ τῶν ὁποῖόν τί ἐστιν· ἡ γὰρ διαφορὰ ἤμελλε μεσάζεσθαι ἐκ γένους καὶ εἴδους διασπῶσα τὰ πρός τι, καὶ τὸ εἶδος δὲ μεσα|ζόμενον ἐκ διαφορᾶς καὶ ἰδίου ἔμελλε διασπᾶν τὰ ἐν τῷ ὁποῖον 198v τί ἐστι κατηγορούμενα.

Μαθόντες οὖν ἐκ τῶν ἀρτίως καὶ πρώην λεγομένων τὴν δέουσαν τάξιν εἰληφέναι τὴν διαφορὰν σπουδῇ ἐπ' αὐτὴν χωρήσωμεν. πρῶτον δὲ τοῖς διηγορευμένοις κανόσι χρησάμενοι διαστείλωμεν τὴν ὁμωνυμίαν· ὁμώνυμος γὰρ φωνὴ καὶ ἡ διαφορά. λέγεται τοίνυν διαφορὰ τριχῶς· ἔστι γὰρ ἡ κοινῶς διαφορὰ καὶ ἡ ἰδίως καὶ ἡ ἰδιαίτατα. καὶ κοινῶς μέν ἐστιν ἡ σημαίνουσα χωριστὸν συμβεβηκός, ἰδίως δὲ ἡ σημαίνουσα ἀχώριστον, ἰδιαίτατα δὲ ἡ οὐσίαν παριστῶσα. καὶ τοῦ μὲν πρώτου ⟨ὑπόδειγμα⟩ τὸ λευκὸν τὸ ἐν ἐμοὶ χωριστόν ἐστι· δυνατὸν γάρ ἐστι γενέσθαι τὸ λευκὸν μέλαν. τοῦ δὲ δευτέρου ἡ γλαυκότης ἡ ἐν ἐμοὶ ἀχώριστός ἐστιν. ὁ γὰρ γλαυκόφθαλμος οὐκέτι καὶ μελανόφθαλμος. τοῦ δὲ τρίτου· τὸ λογικὸν διακρίνει ἡμᾶς ἐκ τῶν ἀλόγων· αὕτη γὰρ ἡ διαφορὰ οὐσίαν δηλοῖ. διὰ τί δὲ τρεῖς εἰσιν αἱ διαφοραὶ καὶ οὔτε πλείους εἰσὶν οὔτε ἐλάττους λέξομεν, μετέπειτα δὲ καὶ διὰ τί τοιούτων προσηγοριῶν ἐπέτυχον ἐροῦμεν. τὰ πράγματα διττά ἐστιν, ἢ συμβεβηκότα ἢ οὐσία, τὰ συμβεβηκότα ἢ χωριστὰ ἢ ἀχώριστα. καὶ εἰ μὲν χωριστὸν εἴη τὸ συμβεβηκός, τότε γίνεται ἡ κοινῶς διαφορὰ οἷον τὸ λευκὸν καὶ τὸ ἐκ τοῦ ἡλίου μέλαν (ταῦτα γὰρ δύναται χωρίζεσθαι), εἰ δὲ ἀχώριστον εἴη τὸ συμβεβηκός, γίνεται ἡ ἰδίως οἷον ἡ γλαυκότης ἡ σιμότης ἡ γρυπότης τὸ φαλακρὸν τὸ ἐν Αἰθίοπι μέλαν (ταῦτα γὰρ οὐ χωρίζεται), εἰ δὲ οὐσία ἐστί, τότε γίνεται ἡ ἰδιαίτατα οἷον τὸ λογικὸν τὸ θνητόν· ταῦτα γὰρ οὐσία ἡμῶν εἰσιν. εἰ οὖν διττά ἐστι τὰ πράγματα εἰς τρία δὲ διαιρεῖται, εὐλόγως καὶ αἱ διαφοραὶ τριτταί εἰσι καὶ οὔτε πλείους οὔτε ἐλάττους. ἔστι δὲ καὶ ἄλλως εἰπεῖν· τὰ πράγματα διττά ἐστιν, ἢ χωριστὰ ἢ ἀχώριστα, καὶ χωριστὰ μὲν οἷον τὸ λευκὸν καὶ τὸ ἐκ τοῦ ἡλίου μέλαν, τὰ ἀχώριστα δέ εἰσιν ἤτοι συμβεβηκότα ἢ οὐσία. καὶ τὰ χωριστὰ μὲν ποιεῖ τὴν κοινῶς διαφοράν, τὰ ἀχώριστα δὲ εἰ μὲν συμβεβηκότα εἶεν, ποιεῖ τὴν ἰδίως, εἰ δὲ οὐσία, ποιεῖ τὴν ἰδιαίτατα. καὶ μὴ νομίσῃς τὴν αὐτὴν εἶναι τῇ

---

1 πρωτερεύει V¹ μόνον Paris. 2089: μὴν KTV 2 εἵνεκα K 2. 3 γένηται τῶν διδ. colloc. V 3. 4 κατηγοροῦνται Urb. 35: κατηγορεῖται KTV 5. 7 ἔμελλε TV 14 ἡ (ante ἰδίως) om. T ἡ (ante ἰδιαίτατα) om. KT 16 ὑπόδειγμα inserui 17 δυνατὸν γάρ ἐστι] δύναται γὰρ V 19 an διακρῖνον? ἐκ] ἀπὸ T 21 εἰσὶν (post πλείους) om. V λέξωμεν T 22 ἐροῦμεν om. K ἐστιν] εἰσιν K 25 τὸ (ante ἐκ) ex τοῦ corr. V 26. 27 ἡ γρυπ. ἡ σιμ. colloc. T 27 αἰθιοπία V 28 οὐσίαι V 30. 31 ἐλάτους T 31 εἰσιν (alt. l.) V 33. 34 τὰ (ante ἀχώρ.) Par. 2089: om. KTV (bis) 33 ἤτοι καὶ τὰ συμβ. τῇ (πῇ m.²) οὐσία V 34 εἶεν] εἰσί V

Digitized by Google

πρώτῃ ταύτην τὴν διαίρεσιν· ἐν μὲν γὰρ τῇ πρώτῃ πάντα τὰ πράγματα διελάβομεν εἰς οὐσίαν καὶ συμβεβηκότα καὶ τὰ συμβεβηκότα εἰς χωριστὰ καὶ ἀχώριστα, ἐν δὲ τῇ δευτέρᾳ εἰς χωριστὰ καὶ ἀχώριστα, τὰ ἀχώριστα δὲ εἰς συμβεβηκότα καὶ οὐσίαν. φθάνει οὖν ἐν τῇ πρώτῃ τὰ συμβεβηκότα
5 ὁμοῦ εἶναι, τά τε χωριστὰ καὶ τὰ ἀχώριστα, ἐν δὲ τῇ δευτέρᾳ οὐχ οὕτως· τὸ γὰρ ἀχώριστον συμ|βεβηκὸς μετὰ τῆς οὐσίας εὑρίσκεται· οὕτω γάρ 199r φαμεν τὸ ἀχώριστον διαιρεῖσθαι, εἰς οὐσίαν καὶ συμβεβηκότα. τάττεται δὲ μετὰ τῶν δύο, ὅτι καὶ τῶν δύο μετέχει· τῶν μὲν γὰρ συμβεβηκότων ἔχει τὸ ἐπουσιῶδες τῆς δὲ οὐσίας τὸ ἀχώριστον. τρίτην δὲ διαίρεσιν διαθησόμεθα,
10 ἣν φησι καὶ ὁ Πορφύριος, ὀνόμασι μὲν τῶν προειρημένων διαφέρουσαν πράγμασι δὲ τὴν αὐτὴν οὖσαν. καὶ ἔστι μὲν ἡ οὐσία ἄλλο, τὸ συμβεβηκὸς δὲ ἀλλοῖον. διὰ τί δὲ ἡ οὐσία ἄλλο καὶ τὸ συμβεβηκὸς ἀλλοῖον, τὸ κείμενον ἡμᾶς διδάξει. θάτερον δὲ τούτων τῶν σχελῶν ποιεῖ δύο συζυγίας· ἄλλο χωριστὸν καὶ ἄλλο ἀχώριστον καὶ ἀλλοῖον χωριστὸν καὶ ἀλλοῖον
15 ἀχώριστον. εἰσὶ δὲ καὶ ἄλλαι δύο· ἄλλο καὶ ἀλλοῖον, χωριστὸν καὶ ἀχώριστον. πᾶσαι δὲ ἕξ εἰσι, καὶ τούτων αἱ μὲν τρεῖς συνίστανται καὶ τρεῖς εἰσιν ἀσύστατοι. συνίστανται μὲν αἱ ὑπάλληλοι καὶ μία τῶν διαγωνίων, αἱ δὲ λοιπαὶ οὐκέτι, φημὶ δὲ αἱ ἐναντίως ἔχουσαι καὶ μία τῶν διαγωνίων· οὐ συνίσταται γὰρ ἡ λέγουσα τὸ ἄλλο καὶ τὸ ἀλλοῖον (πῶς γὰρ τὸ δια-
20 φέρον οὐσιωδῶς καὶ ἐπουσιωδῶς διαφέρει;), οὔτε ἡ λέγουσα τὸ χωριστὸν καὶ ἀχώριστον (πῶς γὰρ τὸ χωριστὸν καὶ ἀχώριστον;), οὔτε μὴν ἡ μία τῶν διαγωνίων, φημὶ δὲ ἡ λέγουσα ἄλλο χωριστόν· τὸ οὐσιῶδες γὰρ ἀχώριστόν ἐστι. συνίσταται δὲ ἡ λέγουσα ἄλλο ἀχώριστον καὶ ἡ λέγουσα ἀλλοῖον χωριστὸν καὶ ἀχώριστον. καὶ τὸ μὲν ἀλλοῖον χωριστὸν ποιεῖ τὴν
25 κοινῶς διαφοράν, τὸ δὲ ἀλλοῖον ἀχώριστον τὴν ἰδίως, τὸ δὲ ἄλλο ἀχώριστον τὴν ἰδιαίτατα.

Μαθόντες οὖν διὰ τί τρεῖς εἰσιν αἱ διαφοραί, φέρε κατὰ τὴν ἡμετέραν ἐπαγγελίαν εἴπωμεν διὰ τί καὶ τῶν τοιούτων ἔτυχον προσηγοριῶν. ἡ δηλοῦσα χωριστὸν συμβεβηκὸς κοινῶς διαφορὰ καλεῖται, ὅτι κοινῶς ἔχει

---

1 τὴν (post ταύτην) om. V 2 καὶ τὰ συμβεβηκότα om. V 3 ἐν iter. V
5 τὰ (ante ἀχώρ.) om. T 8 ἔχει] an μετέχει? 9 διαθησ.] παραθησόμεθα V^2
10 φησι post προειρ. transp. KT καὶ ὁ V^2: καὶ V^1: ὁ KT διαφέρουσαν Paris. 2089: διαφέρειν KTV 11 οὖσαν] οὐσίαν V^1 12 διὰ τί—ἀλλοῖον in mrg. suppl. V^2 καὶ τὸ συμβ.] τὸ συμβ. δὲ V 13 δὲ V^2: γὰρ KTV^1
14 καὶ ἀλλοῖον—δύο (15) om. K 16 τούτων ex τῶν corr. V^2 καὶ τρεῖς] αἱ δὲ τρεῖς in ras. V^2 18 αἱ δὲ λοιπαὶ—διαγωνίων om. V (ἐν ἄλλῳ οὕτως· συνίστανται μὲν αἱ διαγώνιοι καὶ μία τῶν ὑπαλλήλων, αἱ λοιπαὶ δὲ οὐκέτι, φημὶ δὲ τὰς ἐναντίως ἐχούσας καὶ μίαν τῶν ὑπαλλήλων· οὐ συνίσταται γὰρ ἡ λέγουσα τὸ ἄλλο καὶ τὸ ἀλλοῖον add. in mrg. V^3) λοιπαὶ δὲ colloc. T αἱ (post δὲ)] καὶ K 19 γὰρ Par. 2089: δὲ KTV
21 καὶ ἀχώρ.—καὶ ἀχώρ. om. V (ἐν ἄλλῳ οὕτως· οὔτε ἡ λέγουσα τὸ χωριστὸν καὶ ἀχώριστον· πῶς γὰρ τὸ χωριστὸν καὶ ἀχώριστον; οὔτε μὴν ἡ μία τῶν ὑπαλλήλων, φημὶ δὲ τὴν λέγουσαν ἄλλο χωριστόν· τὸ οὐσιῶδες γὰρ ἀχώριστόν ἐστι add. in mrg. V^3) πῶς γὰρ—καὶ ἀχώρ. om. K ante οὔτε add. καὶ V 22 τὴν λέγουσαν V 23 ἄλλο ἀχώρ.—λέγουσα superscr. V^2 25 ἀλλοῖον (ante ἀχώρ.) Paris. 2089: om. KTV
29 post συμβεβηκὸς VII fere litt. eras. V

Digitized by Google

τἀναντία, κἂν μὴ ἐν τῷ αὐτῷ χρόνῳ· τὸ γὰρ λευκὸν δύναται ἐν διαφόρῳ χρόνῳ καὶ μέλαν εἶναι, ὁ κινούμενος δύναται ἠρεμεῖν. ἰδίως δὲ διαφορὰ λέγεται ἡ ἀχώριστον συμβεβηκὸς δηλοῦσα, ἐπειδὴ τἀναντία οὐ δηλοῖ ὑπὸ τοῦ αὐτοῦ μετέχεσθαί ποτε· οὔτε γὰρ ὁ φαλακρὸς δύναται κομήτης εἶναι, κἂν ἀμειφθείη ὁ χρόνος, οὔτε τὸ μέλαν τοῦ Αἰθίοπος ⟨ἐν⟩ διαφόρῳ χρόνῳ εἰς λευκὸν ἀμείβεται, οὔτε ὁ γλαυκόφθαλμος μελανόφθαλμος γίνεται. ταῦτα οὖν ἐπειδὴ οὐ χωρίζεται, ἰδίως ἔχει τὴν διαφορὰν καὶ ἴδιά ἐστιν. ἰδιαίτατα δὲ λέγεται ἡ οὐσίαν δηλοῦσα, ἐπειδὴ ἰδίως ὑπάρχει τινὶ καὶ ἀχωρίστως. καὶ καλῶς μὲν τὴν δηλοῦσαν ἀχώριστον συμβεβηκὸς ἰδίως καλοῦμεν, καλῶς δὲ καὶ τὴν δηλοῦσαν οὐσίαν ἰδιαίτατα ὑπερθετικῇ φωνῇ χρησάμενοι· πλέον γὰρ τῆς ἀχώριστον συμβεβηκὸς δηλούσης ἡ σημαίνουσα οὐσίαν ἀχώριστόν ἐστιν· | ἐπὶ γὰρ τῶν οὐσιωδῶν διαφορῶν οὐ δύνασαι 199v χωρισμὸν νοῆσαι οὔτε ἐννοίᾳ οὔτε ἐνεργείᾳ, ἐπὶ δὲ τῶν σημαινουσῶν ἀχώριστον συμβεβηκὸς δύνασαι χωρισμὸν νοῆσαι ἐννοίᾳ· τὸν γὰρ γλαυκόφθαλμον εἰ νοήσεις μελανόφθαλμον, οὐδὲν λυμαίνῃ τῷ ὑποκειμένῳ, ἄλογον δ' εἰ νοήσεις, λυμαίνῃ τῷ ὑποκειμένῳ· ἐκτὸς γὰρ τοῦ λογικοῦ οὐκ ἔστιν ἄνθρωπος.

p. 2,8 Διαφορὰ δὲ κοινῶς τε καὶ ἰδίως καὶ ἰδιαίτατα λεγέσθω.

Ἐκ τοῦ προστάσσειν δηλοῖ ὁ Πορφύριος ὅτι αὐτοῦ εἰσιν αἱ ὀνοματοποιΐαι τῶν τοιούτων διαφορῶν· διὰ τοῦτο γὰρ οὐκ εἶπε 'λέγεται'.

Τινὲς δὲ λέγουσιν ὅτι καλῶς προετάγη τὸ γένος καὶ τὸ εἶδος τῆς διαφορᾶς· τί δὲ λέγομεν τὸ εἶδος, ἐξ οὗ καὶ τὰ ἄτομα πρὸ τῆς διαφορᾶς ἀπαιτεῖ προτάττεσθαι; ταῦτα γὰρ τῶν πρός τί ἐστι· τὰ δὲ πρός τι ἅμα θέλει εἶναι· οὔτε γάρ ἐστι θάτερον τοῦ ἑτέρου προτερεῦον. εἰ οὖν προτερεύει τὸ γένος τῆς διαφορᾶς, ἅμα δὲ τὰ πρός τι θέλει εἶναι, ἅμα ἔστω τὸ γένος καὶ τὸ εἶδος. τὸ εἶδος δὲ καὶ τὰ ἄτομα εἰ ἔστι τῶν πρός τι, καὶ τὰ ἄτομα τῆς διαφορᾶς προηγείσθω. ἔστι δὲ εἰπεῖν πρὸς τούτους ὅτι κατὰ μὲν τὴν σχέσιν τὰ πρός τι ἀλλήλων οὐ προτερεύει (ὅπου γὰρ πατήρ, ἐκεῖ καὶ υἱός), κατὰ δὲ τὰ πράγματα προτερεύει· πρὶν γὰρ εἶναι ὁ Σωφρονίσκος Σωκράτους πατήρ, ἄνθρωπος ἦν. ἔστω οὖν τὰ τοιαῦτα κατὰ τὴν σχέσιν μὴ προτερεύειν, κατὰ δὲ τὰ πράγματα προτερεύει. ἀλλὰ μὴν

---

1 post δύναται add. καὶ K 2 ὁ κινουμενός τε δύναται καὶ ἠρεμεῖν V 4 αὐτοῦ om. V καὶ κομήτης V 5 an ἀμειφθῇ? ἐν addidi 6 καὶ μελανόφθ. V 7 οὐ om. K 10 καὶ om. V 12 ἀχώριστος K 15 λυμαίνεις T 15. 16 ἄλογον — ὑποκειμένῳ om. T ἄλογον δ' εἰ] λογικὸν δὲ εἰ οὐ V 18 ἰδιαιτάτως V 19 τοῦ προστάσσειν] τῆς προτάσεως K 20 οὐκ] οὔτε KT 21 τινὲς — γένους (176,2) eicias (cf. p. 172,23 sq.) 23 εἰσι KV 24 τοῦ ἑτέρου] θατέρου V προτερεύειν T 27 τούτοις V 28 γὰρ] δὲ V 29 εἶναι] ἔσται TV 31 τὴν om. K προτερεύειν (alt. l.) KT

Digitized by Google

καὶ κατὰ τὴν σχέσιν ἡ διαφορὰ προτερεύει. διὰ μέσου γὰρ διαφορᾶς γίνεται τὸ εἶδος ἐκ τοῦ γένους.

p. 8,9 Ὁπωσοῦν ἢ πρὸς ἑαυτὸ ἢ πρὸς ἄλλο.

Καλῶς λέγει. τινὲς δὲ ἀποροῦσι λέγοντες ὅτι κακῶς εἴρηκεν ἢ πρὸς ἑαυτό· ἡ γὰρ διαφορὰ τοὐλάχιστον ἐν δυσὶ θεωρεῖται, ἐν ἑνὶ δ' οὐδέποτε· πῶς γάρ τις ἑαυτοῦ διαφέρει; λέγομεν δὲ ὅτι καλῶς ἔχει ὁ λόγος· διαφέρει γάρ τις ἑαυτοῦ ἐν διαφόρῳ χρόνῳ· ὁ γὰρ ἠρεμῶν διαφέρει τοῦ μὴ ἠρεμοῦντος. δύναται δὲ καὶ ἑαυτοῦ μετὰ χρόνον· ἐνεργῶν γὰρ οὐχ ὁ αὐτός ἐστι.

p. 8,11 Παιδός τε ὄντος καὶ ἀνδρωθέντος καὶ ἐνεργοῦντός τι ἢ παυσαμένου.

Τοῦ χωριστοῦ συμβεβηκότος τὰ μέν ἐστιν εὐχώριστα τὰ δὲ δυσχώριστα. καὶ εὐχώριστα μὲν τὸ δρᾶν ἢ καὶ παύεσθαι, δυσχώριστα δὲ τὰ τῶν ἡλικιῶν· δυσχερῶς γὰρ ὁ παῖς βούπαις γίνεται. τοῦτο δὲ δηλοῖ διὰ τῶν προκειμένων παραδειγμάτων.

p. 8,12 Καὶ ἀεί γε ἐν ταῖς τοῦ πῶς ἔχειν ἑτερότησιν.

Ὧδε δηλοῖ τὸ χωριστόν· τὸ γὰρ πῶς ἔχει ῥῆμα ἀεὶ ἐπιζητεῖ 'πῶς ἔχει;' καὶ ἀποκρίνεταί τις 'ὑγιαίνει, νοσεῖ'. ὥσπερ δὲ τὸ ῥῆμα ἀπὸ χρόνου εἰς χρόνον μεταπίπτει, οὕτω καὶ τὰ χωριστὰ συμβεβηκότα.

p. 8,14 Ἀχώριστον δὲ συμβεβηκός.

Ὁμοίως καὶ τὸ ἀχώριστον συμβεβηκὸς διττόν ἐστι· τὸ μὲν γάρ ἐστιν ἐκ γενετῆς, ὡς ἡ γλαυκότης | ἡ γρυπότης τὸ μέλαν τοῦ Αἰθίοπος, τὸ δὲ 200r ἐκ τοῦ προκόπτοντος χρόνου, ὡς ἡ φαλακρότης καὶ ἡ ἐκ τοῦ τραύματος οὐλή. δηλοῖ δὲ τὸ διττὸν τοῦτο διὰ τῶν παραδειγμάτων. καλῶς δὲ εἶπεν ἡ ἐκ τοῦ τραύματος οὐλή, προσέχων τῷ ἐκ τοῦ χρόνου γενομένῳ συμβεβηκότι· δυνατὸν γὰρ οὐλὴν ἐκ γενετῆς λέγειν εἶναι, ὅτε μὴ ἔστιν ἀπὸ τραύματος, ὡς ἵνα τις ἔγκυον ἐκ πάθους εἴπῃ τεκεῖν οὐλὴν ἔχον παιδίον.

---

1 τὴν om. T 2 τὸ] τοῦτο T τοῦ om. T 3 ὁποσοῦν T αὐτὸ V 4 δὲ om. TV 5 ἡ διαφ. γὰρ colloc. T ἐν δυσὶ Paris. 2089: εἰς δύο KV: ἐν δύο T 8 δὲ] γὰρ TV 10 τι om. T 12 εἰσιν K 13 καὶ (post ἢ) om. K 16 γε om. V 17 ἐπιζητεῖ Paris. 1973: ἐπιτάσσει KTV 18 τὸ Urb. 35: om. KTV 22. 26 γεννητῆς K 22 ἡ (bis) om. V 23 ἡ (ante φαλακρ.) Paris. 2089. om. KTV 25. 26 συμβ. γενομ. colloc. KT 27 τοῦ τρ. V ἔγγυον V εἴποι V

Digitized by Google

p. 8,15 Ἰδιαίτατα δὲ διαφέρειν ἕτερον ἑτέρου λέγεται, ὅταν εἰδοποιῷ διαφορᾷ παραλλάξῃ.

Καλῶς εἶπεν εἰδοποιῷ διαφορᾷ παραλλάξῃ· ἡ γὰρ εἰδοποιὸς διαφορὰ οὐσιώδης ἐστί, δι' ἧς τὸ ἡμέτερον εἶδος χαρακτηρίζεται. ἰστέον δὲ ὡς διτταί εἰσιν αἱ εἰδοποιοὶ διαφοραί, τοῦτ' ἔστιν αἱ οὐσιώδεις· αἱ μὲν γάρ εἰσιν διαιρετικαὶ αἱ δὲ συστατικαί. αἱ αὐταὶ δέ εἰσιν, ἀλλ' οὐ κατὰ τοῦ αὐτοῦ παραλαμβανόμεναι· τὸ γὰρ λογικὸν καὶ ἄλογον τοῦ ζῴου εἰσὶ διαιρετικαί, οὐ μὴν συστατικαί, ἀλλὰ τοῦ ἀνθρώπου καὶ τοῦ ἵππου· τὸ γὰρ λογικὸν οὐσιωδῶς συνιστᾷ τὸν ἄνθρωπον.

p. 8,18 Ἀλλ' αἱ μὲν κοινῶς καὶ ἰδίως ἀλλοῖον ποιοῦσιν.

Τοῦτ' ἔστι τὰ συμβεβηκότα· εἶδος γὰρ οὐκ ἀλλάσσει τὸ λευκὸν οὐδὲ ἡ σιμότης.

p. 8,19 Αἱ δὲ ἰδιαίτατα ἄλλο.

Τοῦτ' ἔστιν αἱ οὐσιώδεις· αὗται γὰρ τὸ εἶδος ἀμείβουσιν· εἰ γὰρ τὸ ἄλογον, ὑπόθου, λογικὸν εἴπω, ἀμείβω τὸ εἶδος τοῦ ἀλόγου καὶ ἄλλο εὑρίσκεται.

p. 9,1 Ἡ δὲ τοῦ κινεῖσθαι ἀλλοῖον μόνον παρὰ τὸ ἠρεμοῦν ἐποίησε.

Καλῶς εἶπεν ἐπὶ τοῦ ἀλλοῖον τὸ μόνον· ἐπὶ γὰρ τῶν συμβεβηκότων μόνον ἀλλοῖον γίνεται· τὸ αὐτὸ γὰρ εἶδος μένει. ἐπὶ δὲ τοῦ ἄλλο οὐκ εἶπε τὸ μόνον· ὅπου γὰρ ἄλλο, ἐκεῖ καὶ ἀλλοῖον· τὸ γὰρ ἄλογον τοῦ λογικοῦ οὐ μόνον ὡς ἄλλο διαφέρει, ἀλλὰ καὶ ὡς ἀλλοῖον.

p. 9,2 Κατὰ μὲν οὖν τὰς ἄλλο ποιούσας αἵ τε διαιρέσεις γίνονται τῶν γενῶν εἰς τὰ εἴδη, οἵ τε ὅροι ἀποδίδονται ἐκ γένους ὄντες καὶ τῶν τοιούτων διαφορῶν.

Ὧδε δηλοῖ πῶς διτταί εἰσιν αἱ ἰδιαίτατα· ἐν γὰρ τῷ λέγειν αἱ διαι-

---

1 ἕτερον ἑτέρου Paris. 2089: τῆς ἰδίως KT: ἰδίως V παραλλάξῃ] διαλλάττῃ Porph. 3 καλῶς—παραλλάξῃ om. V 5 ὡς] ὅτι T 7 γὰρ om. T 8 τοῦ (ante ἵππου) om. V 10 post κοινῶς add. τε KT 13 αἱ δὲ ἰδιαίτατα—εὑρίσκεται (16) om. K 19 ἐπὶ τοῦ ἀλλ. τὸ] ὅτι ἀλλοῖον τοῦτο K 20 ἀλλοῖον] ἀλλοίωσις V ἄλλο] ἄλλου TV 23 οὖν om. V ποιούσας διαφορὰς Porph. 23. 24 γίνωνται V 25 ὄντες om. V

Digitized by Google

ρέσεις γίνονται τῶν γενῶν εἰς τὰ εἴδη δηλοῖ τὰς διαιρετικάς, ἐν δὲ τῷ λέγειν οἵ τε ὅροι ἀποδίδονται δηλοῖ τὰς συστατικάς.

p. 9,5 Καὶ αἱ τοῦ πῶς ἔχοντος μεταβολαί.

Ὧδε τινές φασι καὶ πρὸς τὰς δύο λέγειν αὐτόν, φημὶ δὲ τὰς σημαι-
5 νούσας τὰ συμβεβηκότα· ἐν μὲν γὰρ τῷ λέγειν ἑτερότητες λέγει τὸ ἀχώριστον, ἐν δὲ τῷ λέγειν τοῦ πῶς ἔχοντος σημαίνει τὸ χωριστόν. ψευδὲς δὲ τὸ τοιοῦτον· πρὸς ἑκατέραν γὰρ οἱ δύο λόγοι ἁρμόζουσι.

Πρᾶξις κδ'.

Πάρεστιν ὁ Πορφύριος τῆς δευτέρας διαιρέσεως παραδώσων τὴν διδα-
10 σκαλίαν, φημὶ δὲ τῆς λεγούσης τὰ ὄντα ἢ χωριστὰ ἢ ἀχώριστα εἶναι. ἐπειδὴ δὲ οὐ κατὰ τὸ δέον ταύτῃ ἐπεξῆλθε, φέρε τὸ ἐλλιπὲς ἀναπληρώσωμεν ἤτοι τὸ κακῶς ἔχον ἐλέγξωμεν, πρῶτον μανθάνοντες τί διαφέρει οὐσία οὐσιώδους καὶ συμβεβηκὸς ἐπουσιώδους· τούτων γὰρ τῆς διαφορᾶς γινωσκομένης εὐχερῶς ἐλεγχθήσεται ὁ Πορφύριος ἁμαρτίᾳ τινὶ περιπεσών.
15 διαφέρει τοίνυν οὐσία | οὐσιώδους, ὅτι τὸ μὲν οὐσιῶδες καὶ ἐπὶ συμβεβη- 200v
κότος λαμβάνεται, ἡ δὲ οὐσία οὐκέτι· εἰ δὲ ἦν ταὐτὸν οὐσιῶδες καὶ οὐσία, ὤφειλεν ἡ οὐσία εἶναι ὅπου καὶ τὸ οὐσιῶδες. πῶς δὲ ἐπὶ συμβεβηκότος τὸ οὐσιῶδες λαμβάνεται, λέξωμεν. τὸ χρῶμα συμβεβηκός ἐστι, γένος δέ ἐστι τοῦ λευκοῦ· κατηγορεῖται γὰρ τὸ χρῶμα τοῦ λευκοῦ οὐσιωδῶς· εἰ γὰρ
20 οὐκ ἔστιν ἐπινοῆσαι λευκὸν οὔτε ἐνεργείᾳ οὔτε ἐπινοίᾳ χωρὶς χρώματος, σαφὲς ὅτι οὐσιωδῶς κατηγορεῖται τὸ χρῶμα τοῦ λευκοῦ· οὕτω γὰρ κατηγοροῦνται καὶ τὰ μὴ δυνάμενα τῇ ἐπινοίᾳ ἢ τῇ ἐνεργείᾳ χωρισθῆναι. εἰ οὖν θεωρεῖται τὸ οὐσιῶδες, ὅπου οὐ θεωρεῖται ἡ οὐσία, ὁμολογουμένως οὐ ταὐτὸν οὐσιῶδες ὑπάρχει καὶ οὐσία. τοιούτῳ τρόπῳ διαφέρει καὶ τὸ
25 ἐπουσιῶδες τοῦ συμβεβηκότος· τὸ γὰρ ἐπουσιῶδες οὐσίας κατηγορεῖται, τὸ συμβεβηκὸς δὲ οὐσίας οὐδέποτε κατηγορεῖται, εἰ μὴ ὅταν λέγωμεν ὅτι Σωκράτης λευκὸς ὑπάρχει καὶ νοῶμεν οὕτως ὅτι τὸ λευκὸν ὑπάρχει ἐν τῷ Σωκράτει, τότε κατηγορεῖται· ὅταν δὲ λέγωμεν ὅτι Σωκράτης λευκός ἐστι, τοῦτ' ἔστιν ὅτι τὸν ὁρισμὸν τοῦ λευκοῦ δέχεται ὥσπερ τοῦ ζῴου, τότε οὐ

---

4 δὲ] δὴ V 5 ἑτερότητες Paris. 2089: ἑτερότησις K: ἑτερότησι T: ἑτερότης V
7 γὰρ Paris. 2089: δὲ KTV καὶ αἱ δύο T 8 πρᾶξις κγ' KV: om. T (cf. p. 172,21) 10 δὲ om. Brand. εἶναι] εἰσιν K 11 ἐπεὶ V
ταύτῃ] ταύτην Brand. 12 ἐλέγξομεν T μαθόντες T 14 εὐχερῶς om. V 15. 16 τοῦ συμβ. T 17 ὤφελεν V 18 ἐπουσιῶδες T
λέξομεν KV 19 γὰρ scripsi: δὲ libri 20 ἐπινοίᾳ οὔτε ἐνεργείᾳ colloc. T
23 post ὁμολ. add. ὡς KT 27 ὑπάρχῃ V¹ νοῶμεν scripsi: νοοῦμεν libri
27. 28 ὅτι] ὅτε V (bis) 27 τῷ om. T 28 ante τότε add. καὶ KT
δὲ om. V ὁ σωκρ. V 29 οὐ om. T

Digitized by Google

κατηγορεῖται τὰ συμβεβηκότα τῶν οὐσιῶν καὶ κατὰ τοῦτον τὸν τρόπον εἶπε μὴ κατηγορεῖσθαι τὰ συμβεβηκότα τῶν οὐσιῶν. πῶς δὲ κατηγορεῖται τὸ ἐπουσιῶδες οὐσίας; ὡς ἵνα εἴπῃς τοῦ δούλου καὶ δεσπότου ὁ ἄνθρωπος κατηγορεῖται· ὡς γὰρ ἐν τῷ ἀνθρώπῳ τὸ ζῷον, οὕτω καὶ ἐν τῷ δεσπότῃ ὁ ἄνθρωπος· ὅπου γὰρ δεσπότης, ἐκεῖ καὶ ἄνθρωπος. οὐ τὴν αὐτὴν δέ φημι κατηγορίαν· ἡ μὲν γὰρ τοῦ ζῴου πρὸς τὸν ἄνθρωπον οὐσιώδης ἐστιν, ἡ δὲ τοῦ ἀνθρώπου πρὸς τὸν δεσπότην ἐπουσιώδης. εἰ οὖν θεωρεῖται τὸ ἐπουσιῶδες, ὅπου οὐ θεωρεῖται τὸ συμβεβηκός, ὡμολόγηται μὴ ταὐτὸν εἶναι ἐπουσιῶδες καὶ συμβεβηκός.

Μαθόντες δὲ τούτων τὴν διαφορὰν φέρε χωρήσωμεν ἐπὶ τοὺς λόγους τοῦ φιλοσόφου· φησὶ γὰρ ὅτι διαφέρει ἡ ἰδιαίτατα τῆς κοινῶς καὶ ἰδίως, ὅτι αἱ μὲν ἔχουσι τὸ μᾶλλον καὶ ἧττον, λευκὸν καὶ λευκότερον, σιμὸν καὶ σιμώτερον, ἡ δὲ οὔ. κακῶς δὲ λέγει· δείκνυται γὰρ ὅτι αἱ μὲν οὐκ ἔχουσι τὸ μᾶλλον καὶ ἧττον, ἡ δὲ ἔχει· ἰδοὺ γὰρ ἡ μὲν κοινῶς οὐκ ἔχει τὸ μᾶλλον καὶ ἧττον, ὅταν εἴπωμεν τὸ τρίγωνον καὶ τὸ τετράγωνον ἐν κηρῷ εἶναι· καὶ γὰρ ὑπὸ τοῦ αὐτοῦ μετέχεται τό τε τρίγωνον καὶ τὸ τετράγωνον. ἐν τούτοις δὲ οὐ θεωρεῖται τὸ μᾶλλον καὶ ἧττον· οὔτε γάρ ἐστι τρίγωνον τριγώνου μᾶλλον καὶ ἧττον οὐδὲ ἔστι τετράγωνον τετραγώνου μᾶλλον καὶ ἧττον. ὥστε οὖν οὐ πάντοτε ἐν τῇ κοινῶς θεωρεῖται τὸ μᾶλλον καὶ ἧττον. ἀλλὰ μὴν οὐδὲ ἡ ἰδίως πάντοτε ἐπιδέχεται τὸ | μᾶλλον καὶ ἧττον· ἰδοὺ γὰρ ὁ Ἀθη- 201r
ναῖος ἀχώριστόν ἐστι συμβεβηκός· Ἀθηναῖος δὲ Ἀθηναίου οὐκ ἔχει τὸ μᾶλλον καὶ ἧττον. ἡ ἰδιαίτατα δὲ ἔχει. πῶς δέ, λέξωμεν. ἡ ἰδιαίτατα σημαίνει οὐσίαν καὶ οὐσιῶδες, οὐσίαν μὲν ὡς ἵνα εἴπῃς τὸ λογικόν, οὐσιῶδες δὲ τὸ λευκόν· ἐμάθομεν δὲ πῶς διαφέρει οὐσία οὐσιώδους. εἰ οὖν ἡ ἰδιαίτατα λαμβάνεται ἐπὶ οὐσίας καὶ οὐσιώδους, τὸ δ' οὐσιῶδες λαμβάνεται καὶ ἐπὶ τὸ συμβεβηκότος, δῆλον ὅτι θεωρεῖται καὶ ἐν τῇ ἰδιαίτατα τὸ μᾶλλον καὶ τὸ ἧττον· φαμὲν γὰρ τὸ λευκὸν καὶ ἄγαν λευκὸν καὶ ἧττον λευκόν· ἔφαμεν δὲ τοῦ λευκοῦ κατηγορεῖσθαι τὸ χρῶμα οὐσιωδῶς, λαμβάνεται δὲ ἐπὶ οὐσίας καὶ οὐσιώδους ἡ ἰδιαίτατα. δι' ἣν δὲ αἰτίαν φησὶ δικαίως τὴν μὲν ἰδιαίτατα μὴ ἔχειν τὸ μᾶλλον καὶ ἧττον, τὴν δὲ κοινῶς καὶ ἰδίως ἔχειν, φέρε τὸν λόγον παραθήσομεν· φησὶν ὅτι ἡ ἰδιαίτατα δικαίως οὐκ ἔχει τὸ μᾶλλον καὶ ἧττον, ἐπειδὴ ἓν εἶδος δηλοῖ, ὅπερ χαρακτηριστι-

---

1 τὰ συμβ. κατ. colloc. V 1. 2 καὶ κατὰ—τῶν οὐσῶν om. V 1 an εἶπον ?
3 τοῦ δεσπ. ἄνθρ. V 4 post γὰρ add. κατηγορεῖται KV 6 τὸν om. V
10 δὲ] οὖν T ante ἐπὶ add. καὶ V 12. 13 λευκὸν—σιμώτερον eicias
13 ὅτι om. T 14 τὸ ἧττον V 14. 15 ἡ δὲ ἔχει—ἧττον (15) in mrg. suppl. V²
14 γὰρ] καὶ T 15 τὸ ἧττον K καὶ τὸ τετράγωνον in mrg. suppl. K
καιρῷ K 17 τὸ ἧττον TV οὔτε γάρ—ἧττον (22) in mrg. suppl. V²
18 pr. καὶ] ἢ KT τετραγώνου om. V post ἧττον add. τετράγωνον V
19 τὸ ἧττον T 20 οὐδὲ ἡ] οὔτε ἡ KT: οὐδὲν ἡ V τὸ ἧττον TV
22 ante pr. ἡ add. καὶ V λέξομεν KV 24. 31 ἡ om. V 25 οὐσιῶδες
δὲ coll. K 26 τῇ ex τῷ corr. V 28 τοῦ λευκοῦ] τούτου λευκὸν V
29 δὲ suppl. V² 30 alt. τὴν] τῶν V 31 δικαίως ante ὅτι transponas
32 τὸ ἧττον K

Digitized by Google

κὸν ἡμῶν ὑπάρχει, οἷον τὸ λογικόν· ἓν δὲ καὶ τὸ αὐτὸ πῶς δύναται ἔχειν τὸ μᾶλλον καὶ ἧττον; εἰ γὰρ ἔχοι, ἀμείβεται. λογικὸν δὲ λέγει τὸ οὐσιωδῶς ἑκάστῳ ὑπάρχον ὡσαύτως. εἰ δὲ καὶ εἴποι τις ὅτι λέγομεν λογικώτερον, φαμὲν ὅτι ἐπιστήμης ἐστὶ καὶ μαθήσεως τὸ δεχόμενον τὸ μᾶλλον καὶ ἧττον. ἄλλως δὲ ἔστιν ἐλέγξαι αὐτόν· φαμὲν γὰρ ὅτι κατὰ τοῦτον τὸν λόγον οὐδεμία αὐτῶν ἔχει τὸ μᾶλλον καὶ ἧττον· εἰ γὰρ διὰ τὸ εἶναι ἓν εἶδος τὸ λογικὸν οὐκ ἐπιδέχεται τὸ μᾶλλον καὶ ἧττον, οὐδὲ ἡ κοινῶς ὀφείλει δέχεσθαι οὔτε ἡ ἰδίως· τὸ γὰρ λευκὸν τὸ ἐν τῷ λευκῷ σώματι εἶδός ἐστι τοῦ λευκοῦ σώματος, καὶ οὐκ ἔστιν ἐπινοῆσαι τὸ λευκὸν σῶμα ἐκτὸς τῆς λευκότητος. ἓν δὲ τὸ εἶδός ἐστι τὸ λευκὸν τοῦ λευκοῦ σώματος, καὶ πρὸς μὲν τὸ λευκὸν σῶμα εἶδός ἐστι τὸ λευκόν, πρὸς δὲ τὸ ἁπλῶς οὐκέτι. οὐκ ὀφείλει οὖν τὸ λευκὸν τοῦ λευκοῦ σώματος ἓν εἶδος ὑπάρχον δέχεσθαι τὸ μᾶλλον καὶ ἧττον. οὔτε μὴν τὸ μέλαν τοῦ Αἰθίοπος· πρὸς μὲν γὰρ τὸν ἄνθρωπον εἶδος οὐκ ἔστι, πρὸς δὲ τὸν Αἰθίοπα εἶδός ἐστιν· οὐκ ἔστι γὰρ ἐπινοῆσαι Αἰθίοπα μέλανος χωρίς. εἰ οὖν καὶ τὸ μέλαν τοῦ Αἰθίοπος εἶδος αὐτοῦ ὑπάρχει, οὐκ ὀφείλει ἐπιδέχεσθαι τὸ μᾶλλον καὶ ἧττον· ὃν γὰρ τρόπον τοῦ ἀνθρώπου εἶδός φησιν εἶναι τὸ λογικόν, τοῦτον τὸν τρόπον καὶ τοῦ Αἰθίοπος εἶδός ἐστι τὸ μέλαν καὶ τοῦ γάλακτος τὸ λευκόν. καὶ εἰ τὸ αὐτὸ λέγεις εἶναι τὸ λογικὸν καὶ μὴ ἀμείβεσθαι τῇ τοῦ μείζονος καὶ ἧττονος προσελεύσει, κἀγὼ τὸ τοιοῦτον λέξω ἐπὶ τοῦ μέλανος τοῦ μέλανος σώματος καὶ ἐπὶ τοῦ λευκοῦ τοῦ λευκοῦ σώματος· δεῖ γὰρ τὸ λευκὸν οὗ ἐστι λευκὸν ὡσαύτως ἔχειν. ὥστε οὖν ὑπόψυχρός ἐστιν ὁ τοιοῦτος λόγος. τί οὖν ἡμεῖς λέγομεν; φαμὲν ὅτι οὕτως δεῖ λέγειν· εἰ μὲν ἁπλατὲς σημαίνει ἡ διαφορά, τότε οὐκ | ἐπιδέχεται τὸ μᾶλλον καὶ ἧττον· 201v
οἷον τὸ τρίγωνον καὶ τὸ τετράγωνον ἁπλατῆ εἰσι, διὰ τοῦτο οὐκ ἐπιδέχονται τὸ μᾶλλον καὶ ἧττον. ὁ Ἀθηναῖος πάλιν ἁπλατής ἐστιν (οὔτε γάρ ἐστι μείζων Ἀθηναῖος ἢ ἥττων), διὰ τοῦτο τὸ μᾶλλον καὶ ἧττον οὐκ ἐπιδέχεται. τὸ λογικὸν πάλιν ὡσαύτως ἔχον οὐκ ἐπιδέχεται τὸ μᾶλλον καὶ ἧττον. εἰ δὲ πλάτος σημαίνει, τότε ἐπιδέχεται τὸ μᾶλλον καὶ ἧττον· οἷον τὸ λευκὸν δύναται καὶ ἄγαν εἶναι καὶ ἔλαττον, διὰ τοῦτο ἐπιδέχεται τὸ μᾶλλον καὶ ἧττον, ἡ σιμότης ἐν πλάτει οὖσα (δύναται γὰρ ἄγαν εἶναι καὶ ἔλαττον), δέχεται τὸ μᾶλλον καὶ ἧττον. ὁμοίως δὲ εἰ καὶ τοῦ λευκοῦ οὐσιωδῶς κατηγορεῖται τὸ χρῶμα, ἐπιδέχεται τὸ μᾶλλον καὶ τὸ ἧττον ἐν πλάτει ὑπάρχον.

---

2 τὸ ἧττον T 2. 3 οὐσιῶδὲς V¹ 3 ὅτι λέγομεν] λέγων T: πῶς λέγομεν V
6 οὐδεμία scripsi: οὔτε μία libri 7 τὸ λογικὸν] λογικὸν T: τοῦ λογικοῦ V 8. 9 ἐν τῷ σώμ. τῷ λευκῷ K 10 pr. τὸ om. TV 13 ἐπιδέχεσθαι V alt. τὸ om. V
14 εἶδος οὐκ—ὑπάρχει (16) om. K ἐστιν (post εἶδος) om. T 17 τὸ ἧττον K
19 λέγεις om. T: post εἶναι colloc. K 20 ἧττονος καὶ μείζονος colloc. KT
21 μελανοῦ libri γὰρ Paris. 2089: δὲ KTV 22 alt. ἐστιν om. K
25. 26 ἐπιδέχεται libri 26 ἁπλατὲς KT 26. 27 οὔτε γὰρ—ἥττων om. V
27 ἥττων] ἐλάττων T τὸ om. TV 28 τὸ λογικὸν—ἐπιδέχεται om. V
29 πλάτος] πλάτωνος V¹ 31 ἡ σιμότης—ἧττον (33) in mrg. suppl. V²
γὰρ om. V 32 δέχεται—ἧττον om. V 32. 33 ὁμοίως δὲ καὶ τὸ λευκὸν οὐσ. κατ. τοῦ χρώματος καὶ ἐπιδ. V 33 ὑπάρχει V¹

Digitized by Google

Δεύτερόν φησιν ὅτι διαφέρει ἡ ἰδιαίτατα τῆς κοινῶς καὶ ἰδίως, ὅτι αἱ μὲν εἰς ὑπογραφὰς λαμβάνονται, ἡ δὲ εἰς ὁρισμούς. τοῦτο ἀληθές. σκόπει δὲ πῶς δηλοῖ ὧδε τὴν ἰδιαίτατα· δηλοῖ οὖν καὶ οὐσίαν καὶ οὐσιῶδες καὶ τοῦτο τὸ οὐσιῶδες ἐπὶ συμβεβηκότων λαμβάνεσθαι· ἐν γὰρ τῷ λέγειν εἰς ὁρισμοὺς λαμβάνεσθαι δηλοῖ ὅτι καὶ ἐπὶ συμβεβηκότων λαμβάνεται τὸ οὐσιῶδες· ὁρίζομεν γὰρ καὶ τὰ συμβεβηκότα, οἱ δὲ ὁρισμοὶ ἐξ οὐσιωδῶν φωνῶν σύγκεινται. πρόδηλον οὖν ὅτι καὶ αἱ φωναὶ ἐπὶ τῶν ὁρισμῶν τῶν συμβεβηκότων οὐσιώδεις εἰσί· λευκόν ἐστι χρῶμα διακριτικὸν ὄψεως. τρίτον φησὶν ὅτι διαφέρει ἡ ἰδιαίτατα τῆς κοινῶς καὶ ἰδίως, ὅτι αἱ μὲν ἀλλοῖον ποιοῦσιν, ἡ δὲ ἄλλο. τοῦτο δὲ ἤδη ἐγνώκαμεν καὶ ἐν τῇ προτεραίᾳ. ἀληθὲς δὲ καὶ τοῦτο λέγει.

Πρᾶξις κε'.

Εἰρηκότες κατὰ τί διαφέρουσιν ἀλλήλων αἱ διαφοραί, λέξωμεν καὶ τί διαφέρει πρὸς ἑαυτὴν ἡ ἰδιαίτατα δηλοῦσα τὰς συστατικὰς καὶ τὰς διαιρετικάς. φασί τινες τὰς αὐτὰς εἶναι. ὅτι δὲ οὐχ αἱ αὐταί εἰσι, σαφὲς ἐκ τῶν λεχθησομένων. τῶν γενικωτάτων γενῶν οὔκ εἰσι συστατικαὶ διαφοραί, μόναι δὲ διαιρετικαί, πάλιν τῶν εἰδικωτάτων εἰδῶν οὔκ εἰσι διαιρετικαὶ διαφοραί, συστατικαὶ δὲ μόναι· εἰ ἦσαν τοίνυν αἱ αὐταί, ὤφειλε τὸ πρῶτον σκέλος θεωρεῖσθαι, ὅπου καὶ τὸ ἕτερον· εἰ δὲ οὐ θεωρεῖται, σαφὲς ὅτι οὔκ εἰσιν αἱ αὐταί. ἔχομεν ἐντεῦθεν δύο προσπορίσματα· ὅτι οὔτε τὰ γενικώτατα γένη ὁρίζεται μὴ ἔχοντα συστατικὰς διαφορὰς τῶν ὁρισμῶν ἐκ γένους ὄντων καὶ συστατικῶν διαφορῶν καὶ ὅτι κατὰ τοῦτον τὸν λόγον οὐ διαιρεῖται τὰ εἰδικώτατα εἴδη μὴ ἔχοντα διαιρετικὰς φωνάς· οὕτως γὰρ καὶ ὁ Πλάτων ἐβούλετο. δεύτερον ὅτι αἱ διαιρετικαὶ φωναὶ μόνων γενῶν εἰσιν, οὐκέτι δὲ καὶ εἰδῶν, αἱ δὲ συστατικαὶ μόνων εἰδῶν, οὐκέτι δὲ καὶ γενῶν· εἰ γὰρ | εἴπῃς ὅτι καὶ γένους εἰσὶν αἱ συστατικαί, ὤφειλον εἶναι καὶ παντὸς γένους· 202r τὸ γὰρ τῷ αὐτῷ ὁμοειδεῖ οὐσιωδῶς ὑπάρχον καὶ πᾶσι τοῖς ὁμοίοις οὐσιω-

---

1 κοινῆς K 2 ἡ] αἱ V 3 ὧδε ante πῶς colloc. V οὖν om. V
4 καὶ τοῦτο τὸ οὐσιῶδες om. V 5 δηλοῖ ὅτι] δηλονότι T 6 ὁρίζομαι TV
γὰρ Paris. 2089: δὲ KTV 8 an ⟨οἷον⟩ λευκόν ? 10 ἡ in ras. K ἄλλο ex ἀλλοῖον corr. K ἔγνωμεν V 11 προτέρα V καὶ om. V 12 πρᾶξις κδ' KV: om. T (cf. p. 178,8) 13 φέρε λέξωμεν V 17 καὶ πάλιν T ἰδικωτάτων K (const.) 18 συστατικὴ δέ μόνον T δὲ] γὰρ V τοίνυν] δὲ KV
αἱ αὐταί] αὗται K ὤφελε V (const.) 20 αἱ αὐταί εἰσιν colloc. V
ἔχομεν δὲ K τὰ om. KV 21 ὁρίζονται K 23 εἴδη om. KV
μὴ superscr. V² οὕτως] οὔτου (sic) T 23. 24 καὶ ὁ πλ. ἐβούλ.] ἠβούλ. ὁ πλ. T: καὶ ἐβούλ. πλ. V 24 ὅτι om. KV φωναὶ om. TV
24. 25 μόνον (bis) T 25 τῶν εἰδῶν (pr. l.) K 26 εἴποις T pr. γένους] γένος V¹: γενῶν V² καὶ παντὸς γένους Paris. 2089: πάντως καὶ γένη KTV¹; παντὸς γένους V² 27 ὑπάρχ. οὐσ. colloc. T

Digitized by Google

δῶς ὑπάρχει· εἰ οὖν γένους εἰσὶν αἱ συστατικαί, ὤφειλον εἶναι καὶ παντὸς γένους· εἰ δὲ οὐκ εἰσι (τῶν γὰρ γενικωτάτων οὐκ εἰσι συστατικαί), ὁμολογουμένως οὐχ αἱ αὐταί εἰσι διαιρετικαὶ καὶ συστατικαί. καὶ ἐκ τοῦ ἐναντίου ἔστιν ἀντιστρέψαι τὸν λόγον καὶ εἰπεῖν ταὐτὸν ἐπὶ τῶν διαιρετικῶν· εἴ εἰσιν αἱ
5 διαιρετικαὶ εἴδους, ὤφειλον εἶναι καὶ παντὸς εἴδους· εἰ δὲ οὐκ εἰσι (τὰ γὰρ εἰδικώτατα διαιρετικὰς οὐκ ἔχουσιν), ὁμολογομένως οὐκ εἰσιν αἱ αὐταὶ ἐπὶ τοῦ αὐτοῦ κωλυόμεναι λαμβάνεσθαι. τρίτον καὶ σαφὲς ὅτι οὐχ αἱ αὐταί εἰσιν, ὅτι ἐπὶ μὲν τοῦ ζῴου συστατικαί εἰσιν ἡ οὐσία ἔμψυχος αἰσθητική, διαιρετικαὶ δέ εἰσι τὸ λογικὸν καὶ ἄλογον. τέταρτον εἰ καὶ αἱ αὐταί εἰσι (πάντως γὰρ
10 αἱ συστατικαὶ ἀπὸ τῶν διαιρετικῶν γίνονται), ἀλλ' οὖν ὅμως οὐκ ἐπὶ τοῦ αὐτοῦ λαμβάνονται· τοῦ γὰρ ζῴου διαιρετικάς φαμεν τὸ λογικὸν καὶ τὸ θνητόν, τοῦ δ' ἀνθρώπου συστατικάς. πέμπτον αἱ συστατικαὶ καθολικώτεραί εἰσι, αἱ δὲ διαιρετικαὶ μερικώτεραι. ὅτι δὲ αἱ συστατικαὶ καθολικώτεραί εἰσι, σαφὲς ἐκ τοῦ ἀποτέμνειν ἡμᾶς αὐτὰς διὰ τὸ ἐπὶ πλέον διήκειν,
15 οὗ εἰσι συστατικαί· ἰδοὺ γάρ φαμεν τὸ ζῷον οὐσίαν ἔμψυχον αἰσθητικήν· διότι ἐπὶ πλέον τοῦ ζῴου διήκει τὸ ἔμψυχον, ἀποτέμνομεν [δὲ] αὐτὸ διὰ τοῦ αἰσθητικοῦ, καὶ διότι πάλιν τὸ αἰσθητικὸν διήκει ἐπὶ πλέον, φαμὲν αὐτοκίνητον. ὅτι δὲ μερικώτεραί εἰσιν αἱ διαιρετικαί, σαφὲς ἐκ τοῦ διαιρεῖν τὸ ἓν εἰς πολλά, οἷον τὸ ζῷον εἰς λογικὸν καὶ ἄλογον. ἕκτον αἱ
20 διαιρετικαὶ φθορᾶς ποιητικαί εἰσι, αἱ δὲ συστατικαὶ συστάσεως· αἱ μὲν γὰρ τὸ ζῷον διαιροῦσαι τὸ ἓν διαφθείρουσι, λέγω δὲ τὸ ζῷον, αἱ δὲ τὸν ἄνθρωπον συνιστῶσιν. ἕβδομον αἱ μὲν διαιρετικαὶ ἐν τοῖς ἀντικειμένοις θεωροῦνται, τὸ λογικὸν καὶ ἄλογον, αἱ δὲ συστατικαὶ οὐκέτι· οὐδεὶς γάρ φησι τὸν ἄνθρωπον ζῷον λογικὸν καὶ ἄλογον. διὰ τοῦτο ἐπιμέμφονταί τινες τῷ
25 ὅρῳ τῆς ἰατρικῆς φάσκοντες αὐτὴν ἐξ ἀντικειμένων συγκεκροτῆσθαι· ἰατρική ἐστι γνῶσις ὑγιεινῶν καὶ νοσερῶν καὶ οὐδετέρων. ἀλλὰ μὴν καὶ τῷ ὅρῳ τῆς φύσεως τὴν αὐτὴν ἔγκλησιν διὰ τὸ λεχθὲν ἐπάγουσι· φύσις ἐστὶν ἀρχὴ κινήσεως καὶ ἠρεμίας. καὶ περὶ μὲν τοῦ ὅρου τῆς ἰατρικῆς ἄλλοις φρονεῖς γενέσθω, περὶ δὲ τοῦ ὅρου τῆς φύσεως δεῖ λέγειν ὅτι οὐκ εἰσιν αἱ διαι-
30 ρέσεις ἀντικείμεναι· οὔτε γάρ φησιν ὡς ἡ φύσις ἠρεμία ἐστὶ καὶ κίνησις, ἀλλ' ἀρχὴ ἠρεμίας καὶ κινήσεως.

---

1 συστατικαὶ] διαιρετικαί K: συστατικαὶ διαφοραί T ὤφειλον—συστατικαί om. K
1. 2 εἶναι καὶ παντὸς γένους V²: εἶναι πάντως καὶ γένος V¹: πάντως εἶναι καὶ γένη T
2. 3 καὶ ὁμολ. V 3 αἱ om. T ἀντιστρέφειν TV 5 καὶ παντὸς εἴδους V²: πάντως καὶ εἴδους KTV¹ ἐστί K 7 κωλύουσαι TV 8 ἡ om. K
9 ante ἄλογον add. τὸ TV καὶ αἱ om. TV 12 συστ. δὲ τοῦ ἀνθρ. colloc. T
12. 13 καὶ καθολ. T 14 ἐκ] ἀπὸ K αὐτὰς] αὐτὰ KV 15 οὐσία ἔμψυχος αἰσθητική K 16 διότι scripsi: διὸ libri τοῦ ζῴου post ἔμψυχον colloc. T δὲ delevi 16. 17 διὰ τὸ αἰσθητικὸν TV 17 καὶ om. V ante ἐπὶ πλέον add. τὸ V 18 αὐτοκίνητον] scribas ἔμψυχον διαιρετ.] διαφοραί V
18. 19 ἐκ τούτου ἓν διαιρεῖν εἰς πολλά V 19 ζῶον εἰς om. V 20 εἰσι ποιητ. colloc. T 22 ἀντικ.] ἀτόμοις K 23 φήσει V 25 συγκροτεῖσθαι V
post ἰατρ. add. γὰρ K 26 οὐδετέρου T 27 ἔγκλισιν T 28 καὶ (ante περὶ) om. V ἄλλοις] ἄλλῃ K 29 γινέσθω V

Digitized by Google

Ἰστέον δ' ὡς ὁ Πορφύριος αὐτὰς ἑνὶ ὀνόματι προσαγορεύει· συστατικὰς γὰρ καλεῖ αὐτὰς ἐκ τοῦ τιμιωτέρου τὴν προσηγορίαν αὐταῖς ἐφαρμόσας· ὅτι γὰρ αἱ συστατικαὶ τιμιώτεραί εἰσι τῶν διαιρετικῶν, σαφὲς ἐντεῦθεν· πρῶτον αἱ μὲν συστατικαὶ | καθολικώτεραί εἰσιν, αἱ δὲ διαιρετικαὶ μερι- 202v
5 κώτεραι· τιμιώτερον δὲ τὸ καθολικὸν τοῦ μερικοῦ. δεύτερον αἱ μὲν φθορὰν ποιοῦσιν, αἱ δὲ σύστασιν. ὅσον δὲ τὸ αἰτιατόν τινος αἰτιατοῦ ἐστι κρεῖττον, τοσοῦτον καὶ τὸ αἴτιον τοῦ αἰτίου. εἰ οὖν ἡ σύστασις τῆς φθορᾶς κρείττων καθέστηκεν, αἴτιαι δὲ τῆς συστάσεως αἱ συστατικαὶ ⟨τῆς δὲ φθορᾶς αἱ διαιρετικαί, αἱ συστατικαὶ⟩ ὁμολογουμένως κρείττονες τῶν διαιρετικῶν καθε-
10 στήκασι. τρίτον αἱ μὲν διαιρετικαὶ δυνάμει εἰσίν, αἱ δὲ συστατικαὶ ἐνεργείᾳ. εἰσὶ δὲ δυνάμει αἱ διαιρετικαί, ὡς ἵνα εἴπῃς ὅτι τὸ ζῷον δύναται καὶ λογικὸν εἶναι καὶ ἄλογον, ἐνεργείᾳ δὲ αἱ συστατικαί, ὡς ἵνα εἴπῃς ὁ ἄνθρωπος ζῷον λογικὸν θνητόν· πάντως γὰρ ὁ ἄνθρωπος ζῷόν ἐστι λογικόν. εἰ οὖν κρεῖττόν ἐστι τὸ ἐνεργείᾳ τοῦ δυνάμει, ὁμολογεῖται κρείττονας εἶναι
15 τὰς συστατικὰς τῶν διαιρετικῶν.

Πρᾶξις κς'.

p. 9,7 Ἄνωθεν οὖν πάλιν ἀρχομένῳ.

Ἐν τῷ λέγειν ἄνωθεν ἀρχομένῳ δηλοῖ ἑτέραν διαίρεσιν· ἄρτι γὰρ εἰς χωριστὰ καὶ ἀχώριστα ποιεῖται τὴν διαίρεσιν, ὡς ἤδη εἰρήκαμεν ἐν
20 τῇ θεωρίᾳ.

p. 9,8 Τὸ μὲν γὰρ κινεῖσθαι.

Τινὲς ἐπιλαμβάνονται τοῦ φιλοσόφου λέγοντες ὅτι οὐ πᾶσα κίνησις χωριστή ἐστιν· ἰδοὺ γὰρ ἡ οὐρανία ἀχώριστος ὑπάρχει· ἀεὶ γὰρ ὁ πόλος κινεῖται. ἔστι δὲ πρὸς τούτους εἰπεῖν ὅτι οὐκ εἰρηκὼς τὸ κινεῖσθαι δηλοῖ
25 πᾶσαν κίνησιν· εἴρηται γὰρ Ἀριστοτέλει ὅτι τὸ ἀπροσδιορίστως λεγόμενον ἰσοδυναμεῖ τινι μερικῷ, οἷον ἐὰν εἴπω ὅτι ἄνθρωπος λούεται, οὐ πάντα ἄνθρωπον λέγω λούεσθαι ἀλλ' ἕνα, ἀπροσδιορίστως δέ. οὕτω δὲ καὶ ἐνταῦθα τὸ κινεῖσθαι λέγων ὁ Πορφύριος οὐ πᾶσαν φύσιν κινεῖσθαι ἐδήλωσεν, ἀλλά τινα ἀπροσδιόριστον. ἔστι δέ τις κίνησις χωριστή, ἡ τῇ ἠρεμίᾳ παυομένη.
30 διὰ τί δὲ ἐπὶ τῶν οὐρανίων μόνων ἔλεγον τὴν διαστολήν, οὐσῶν καὶ ἄλλων

---

1 ὡς] ὅτι T: om. V 5 καθολικώτερον KV 6 τὸ αἰτιατόν] αἴτιον T αἰτίου] αἰτιατοῦ V 7 ἡ om. V κρείτων T 8 αἴτιαι] αἴτιοι libri 8. 9 τῆς δὲ φθορᾶς — συστατικαὶ inserui 13 θνητόν om. V post alt. λογικὸν addas θνητόν 14 ὡμολόγηται V κρείττονας] κρεῖττον V 16 πρᾶξις κε' KV: om. T (cf. p. 181,12) 19 εἰρήκαμεν] p. 173,23 22 οὐ om. K 24 πρὸς τούτοις εἰπεῖν K: εἰπεῖν πρὸς τούτους V 25 εἴρηται Ἀριστοτ.] De interpr. c. 7 p. 17b29 26 ὅτι ἐὰν εἴπω colloc. KT 27 alt. δὲ] γὰρ V 28 ὁ om. V 29 τινα] τὴν KT ἐπουρανίων V

Digitized by Google

ἐν ἡμῖν ἀχωρίστων κινήσεων; ἰδοὺ γὰρ ἡ ἐμψυχία ἀχώριστος ὑπάρχει κίνησις. καὶ εἰ τοῦτο ἀσαφὲς ὑπάρχει, ἐκ τοῦ θρυλλουμένου παραστήσομαι, φημὶ δὲ ἐκ τῶν ζωτικῶν κινήσεων, ὧν χωρὶς εἶναι οὐ δυνάμεθαι. ὥστε οὖν οὐ τὴν δέουσαν διαστολὴν ἔγνωσαν οἱ ἐπιλαμβανόμενοι τοῦ φιλοσόφου, 5 οὐδὲ τὸν Ἀριστοτελικὸν λόγον, φημὶ δὴ τὸν λέγοντα 'τὸ ἀπροσδιόριστον ἰσοδυναμεῖ τινι μεριχῷ'.

p. 9,10 Τῶν δὲ ἀχωρίστων αἱ μὲν ὑπάρχουσι καθ' ἑαυτάς, αἱ δὲ κατὰ συμβεβηκός.

Τὸ ἀχώριστον διαιρεῖ εἰς συμβεβηκὸς καὶ οὐσίαν, καὶ ἐν μὲν τῷ 10 λέγειν καθ' ἑαυτάς δηλοῖ τὰς οὐσιώδεις (οὕτω γὰρ καὶ ὁ Ἀριστοτέλης· τοῦτο γὰρ δηλοῖ τὸ αὐθυπόστατον), ἐν δὲ τῷ λέγειν κατὰ συμβεβηκός ῥᾷστα τὰ συμβεβηκότα δηλοῖ, ἅτινα καθ' ἑαυτὰ μὲν οὐκ εἰσιν, ἐν ἑτέρῳ δέ.

p. 9,12 Καὶ τὸ ἐπιστήμης εἶναι δεκτικόν.

Καλῶς εἶπε δεκτικόν· κἂν γὰρ ᾖ τις | ἐπιστήμων κἂν τε μή, 203r 15 ἄνθρωπος ἀκούσει ἔχων τὸ δεκτικόν.

p. 9,15 Αἱ δὲ κατὰ συμβεβηκὸς οὔτε ἐν τῷ τῆς οὐσίας λόγῳ λέγονται οὔτε ποιοῦσιν ἄλλο.

Σκόπει πῶς ἐξήνεγκεν ἀσφαλῶς τὸν λόγον· ἐπὶ μὲν γὰρ τῶν οὐσιωδῶν τῶν λαμβανομένων εἰς ὁρισμοὺς καὶ ὑπογραφὰς οὐκ ἐζήτησεν εἰπεῖν 20 ὅτι μόνῳ τῷ λόγῳ τῆς οὐσίας λαμβάνονται, ἵνα δείξῃ ὅτι καὶ ὑπογραφαῖς ἐπιτήδειοί εἰσι καὶ ὁρισμοῖς, ἐπὶ δὲ τῶν συμβεβηκυιῶν τῶν μὴ λαμβανομένων λόγῳ οὐσίας ἀλλὰ μόνης ὑπογραφῆς, ἵνα δείξῃ ὅτι μόναις ὑπογραφαῖς ἐπιτήδειοί εἰσιν, εἶπεν οὔτε ποιοῦσιν ἄλλο ἀλλὰ ἀλλοῖον, οὔτε οὐσίας λόγῳ λαμβάνονται.

25 p. 9,16 Καὶ αἱ μὲν καθ' ἑαυτὰς οὐκ ἐπιδέχονται τὸ μᾶλλον καὶ τὸ ἧττον.

Ὑπὲρ τούτου οὐκ ὀλίγα ἐν τῇ θεωρίᾳ κατεβαλόμεθα.

---

1 ἐμψυχ[α] ἐν ψυχῇ V 2 ἀσαφὲς Paris. 2089: σαφὲς KTV θρυλλομένου T παραστήσομεν V 4 ἔγνων KT ἐπιλαβόμενοι T 5 δὴ] δὲ V τὸ om. V 5. 6 ἰσοδυναμεῖν K 10 ὁ Ἀριστοτ.] cf. Anal. pr. A 4 p. 26a29 sq. 11 αὐθυπόστατα V 12 ἐν om. V 13 ἐπιστήμης δὲ K 14 τὸ δεκτ. V 16. 17 λέγονται] λαμβάνονται Porph. 20 μόνον KT καὶ om. V 20. 21 ὑπογραφαῖς—ὁρισμοῖς Paris. 2089: ὑπογραφαὶ ἐπιτηδείως λαμβάνονται (εἰσὶ V) καὶ ὁρισμοὶ KTV 22. 23 μόναις—ἐπιτήδειοι Paris. 2089: μόναι ἐπιγραφαὶ (ὑπογραφαὶ V) ἐπιτηδείως KTV 24 λαμβάνεται T 26 τὸ om. T 27 κατεβαλλόμεθα TV (cf. p. 179,10 sq.)

Digitized by Google

p. 9,17 Αἱ δὲ κατὰ συμβεβηκός, κἂν ἀχώριστοι ὦσιν.

Ἐκ τοῦ μᾶλλον ἐπεχείρησεν· εἰ γὰρ αἱ ἀχώριστοι τὸ μᾶλλον καὶ ἧττον ἐπιδέχονται, πολλῷ μᾶλλον καὶ αἱ χωρισταί.

p. 9,18 Ἐπίτασιν καὶ ἄνεσιν.

5 Καλῶς ἐχρήσατο τοῖς ὀνόμασιν· ἐν μὲν γὰρ τῷ ἐπίτασιν δηλοῖ τὸ μᾶλλον, ἐν δὲ τῷ ἄνεσιν τὸ ἧττον.

p. 9,18 Οὔτε γὰρ τὸ γένος μᾶλλον καὶ ἧττον κατηγορεῖται, οὗ ἂν ᾖ γένος, οὔθ' αἱ τοῦ γένους διαφοραί.

Φησὶν ὅτι τὸ ζῷον οὐκ ἔστι μᾶλλον ἵππου ἤπερ ἀνθρώπου οὔτε τὸ 10 λογικόν, ὃ λέγεται οὐσιῶδες, μᾶλλόν ἐστι Σωκράτους ἤπερ Πλάτωνος. διὰ τοῦτο τὸ μᾶλλον καὶ ἧττον οὐκ ἐπιδέχονται.

p. 9,20 Αἱ τὸν ἑκάστου λόγον συμπληροῦσαι.

Τοῦτ' ἔστι τὴν φύσιν καὶ τὸν ὁρισμόν.

p. 9,21 Τὸ δὲ εἶναι ἑκάστῳ ἓν καὶ τὸ αὐτὸ οὔτε ἐπίτασιν οὔτε ἄνεσιν ἐπιδεχόμενόν ἐστι.

15 Εἴπομεν ὅτι τούτῳ τῷ λόγῳ καὶ τὸ λευκόν, οὗ ἐστι λευκόν, καὶ μόνον εἶδος ὑπάρχον, οὐκ ὀφείλει τὸ μᾶλλον καὶ ἧττον ἐπιδέχεσθαι. τί δέ ἐστι τὸ αἴτιον; τὸ ἁπλατὲς καὶ τὸ ἐν πλάτει θεωρούμενον.

p. 9,22 Ἢ κεχρῶσθαί πως.

Τοῦτ' ἔστι χρῶμα ἐμφαίνειν ἢ τὸ ξανθὸν ἢ τὸ λευκὸν ἤ τι τοιοῦτον.

20 p. 10,2 Αἱ δὲ καθ' ἃς τὰ διαιρεθέντα εἰδοποιεῖται.

Τοῦτ' ἔστιν αἱ συστατικαί.

p. 10,5 Αἱ μὲν τοῦ ἐμψύχου καὶ αἰσθητικοῦ διαφοραὶ ὑποστατικαί εἰσι τῆς τοῦ ζῴου οὐσίας.

Ὧδε δεικνύει ὅτι οὐχ αἱ αὐταί εἰσι διαφοραὶ αἵ τε συστατικαὶ καὶ αἱ διαιρετικαὶ ἐπὶ τοῦ αὐτοῦ λαμβανόμεναι.

---

2 αἱ om. K 3 τὸ ἧττον K 3 πολλῷ—χωρισταί om. KT 4 ἐπίτασιν λαμβάνουσι Porph. 5 τῷ] τὸ T 7 τὸ γένος ex τὰ γένη corr. T 8 ᾖ] εἴη K 9 pr. τὸ om. V 10 ὃ om. V τὸ οὐσιῶδες V σωκρ. ἐστιν colloc. V 11 τὸ om. V καὶ ἧττον om. K 11. 12 τὸν ὁρ. καὶ τὴν φύσιν colloc. V 13 εἶναι om. K 15 καὶ τὸ λευκὸν om. T post τὸ λευκόν addas τὸ ἐν τῷ σώματι (cf. p. 180,8 sq.) 18 ἢ om. K 20 καθ' ἃς τὰ] καθ' ἕκαστα V 22 ἡ . . διάφορὰ συστατική ἐστι Porph. 24 αἱ (ante διαιρ.) om. K

Digitized by Google

p. 10,12 Ἀλλ' αἱ μὲν τοῦ λογικοῦ καὶ θνητοῦ διαφοραὶ συστατικαὶ γίνονται τοῦ ἀνθρώπου.

Ἐξ οὖν εἰσι συζυγίαι ἐπὶ ταύτης τῆς διαιρέσεως· λογικὸν ἄλογον, θνητὸν ἀθάνατον, λογικὸν θνητόν, λογικὸν ἀθάνατον, ἄλογον θνητόν, ἄλογον ἀθάνατον, ὧν κατὰ μέν τινας δύο εἰσὶν ἀσύστατοι τέσσαρες δὲ συνιστάμεναι, κατὰ δὲ ἄλλους τρεῖς ἀσύστατοι καὶ τρεῖς συνιστάμεναι. καὶ εἰ μὲν τρεῖς εἰσιν αἱ συνιστάμεναι, εὑρίσκονται δύο ὑπάλληλοι καὶ μία διαγώνιος· εἰ δὲ τέσσαρές εἰσιν αἱ συνιστάμεναι, εὑρίσκονται δύο ὑπάλληλοι καὶ δύο διαγώνιοι. | καὶ ὁ μὲν Πλάτων βούλεται εἶναι τέσσαρας, λογικὸν ἀθάνατον καὶ λογικὸν 203v θνητὸν καὶ ἄλογον θνητὸν καὶ ἄλογον ἀθάνατον, τὰς δὲ ἐναντίας φησὶν ἀσυστάτους, λογικὸν ἄλογον καὶ θνητὸν ἀθάνατον, καὶ προέφερε τὸν ποιητὴν λέγοντα ὅτι ἔστιν ἄλογον ἀθάνατον ἐν τῷ λέγειν

ἡ δ' ἀθάνατον κακόν ἐστιν.

ὁ Ἀριστοτέλης δὲ τρεῖς εἶναι βούλεται· οὐ δέχεται γὰρ τὸ ἄλογον ἀθάνατον. ᾧ καὶ ἀκολουθεῖ ὁ Πορφύριος· τρεῖς γὰρ εἶναι λέγει· οὕτω γὰρ καὶ κατ' ἀρχὴν ἐπηγγείλατο τοῖς Περιπατητικοῖς ἀκολουθεῖν.

p. 10,14 Οὕτω δὲ καὶ τῆς ἀνωτάτω οὐσίας.

Πάλιν οὕτως ἔχει καὶ ἡ οὐσία· ἔστι γὰρ διελεῖν αὐτὴν εἴς τε τὸ ἔμψυχον καὶ ἄψυχον καὶ αἰσθητικὸν καὶ ἀναίσθητον. ἐπὶ τούτων δὲ ἓξ εἰσι συζυγίαι· ἔμψυχον ἄψυχον, αἰσθητικὸν ἀναίσθητον, ἔμψυχον αἰσθητικόν, ἔμψυχον ἀναίσθητον, ἄψυχον αἰσθητικόν, ἄψυχον ἀναίσθητον. καὶ ἐπὶ τούτων δὲ ὁμοίως τρεῖς εἰσι συνιστάμεναι καὶ τρεῖς ἀσύστατοι. καὶ συνιστάμεναι μὲν αἱ δύο ὑπάλληλοι, ἔμψυχον αἰσθητικόν, ἄψυχον ἀναίσθητον, καὶ μία διαγώνιος ἔμψυχον ἀναίσθητον. οὐ συνίστανται δὲ αἱ δύο ἀντικείμεναι, ἔμψυχον ἄψυχον καὶ αἰσθητικὸν ἀναίσθητον, οὔτε ἡ μία τῶν διαγωνίων ἄψυχον αἰσθητικόν.

p. 10,19 Εἰδοποιοὶ πᾶσαι κέκληνται.

Ἀντὶ τοῦ συστατικαί. διὰ τί δέ; εἰρήκαμεν ὅτι τιμιώτεραί εἰσι τῶν

---

1 τοῦ θνητοῦ καὶ τοῦ λογικοῦ Porph. 2 post ἀνθρώπου add. αἱ δὲ τοῦ ἀλόγου καὶ θνητοῦ μέχρι (μέχρι om. T) τῶν ἀλόγων ζώων (ζώων om. K), αἱ δὲ τοῦ λογικοῦ καὶ ἀθανάτου τοῦ θεοῦ (τῶν ἀγγέλων T) KT 3 οὖν om. V ταύτης] τῆς αὐτῆς T 6. 7 καὶ εἰ—συνιστάμεναι om. V 7 ante ὑπάλλ. add. αἱ T καὶ μία—ὑπάλληλοι (8) om. K 8 διαγώνιοι καὶ δύο ὑπάλλ. colloc. V 9 ὁ μὲν Πλάτων] spectat Platonicos 11 λογικὸν καὶ ἄλογον, θνητὸν καὶ ἀθάν. V καὶ (ante θνητὸν) om. T τὸν ποιητὴν] Hom. μ 118 13 ἡ Urb. 35: εἰ KT: ἢ V: ἀλλ' Hom. 14 Ἀριστοτέλης] Peripateticos spectat δὲ om. V 15 alt. καὶ om. T 18 τε om. V 19 ante αἰσθητ. add. εἰς T 21 ante ἔμψ. add. καὶ V ante alt. ἄψυχ. add. καὶ TV 22 τρία εἶναι (sic) συνιστάμενα καὶ τρεῖς εἰσι ἀσύστ. V 25 καὶ om. V 28 εἰρήκαμεν] p. 183,1

Digitized by Google

διαιρετικῶν. τούτων δὲ χρεία ἐστὶν εἰς τὸ διαιρεῖν γένη καὶ ὁρίζειν εἴδη, τῶν δὲ κατὰ συμβεβηκὸς διαφορῶν οὐκ ἔστι χρεία.

Πρᾶξις κζ'.

Εἰ φῶς τῶν πραγμάτων οἱ ὁρισμοὶ καθεστήκασι, φέρε καὶ τὴν διαφορὰν ὁρισώμεθα εἰρηκότες τί ἐστιν ἡ κοινῶς καὶ ἰδίως καὶ ἰδιαίτατα, καὶ πῶς ἡ ἰδιαίτατα οὐσίαν καὶ οὐσιῶδες δηλοῖ συστατικῶς καὶ διαιρετικῶς λαμβανομένη. λέγεται τοίνυν διαφορὰ ᾗ περιττεύει τὸ εἶδος τοῦ γένους· ἐν μὲν γὰρ τῷ εἴδει περιττεύουσιν αἱ διαφοραί, ἐν δὲ τῷ γένει οὐκέτι· τὸ γὰρ γένος ὡς γένος ἀδιαίρετον ὑπάρχον οὐκ ἔχει διαφοράν. εἰ δὲ εἴποις 'ναὶ ἔχει· ἰδοὺ γάρ φαμεν· οὐσία ἔμψυχος αἰσθητική ἐστι τὸ ζῷον', λέξω ὡς οὐκ ἔχει ταύτας τὰς διαφορὰς ὡς γένος, ἀλλ' ὡς εἶδος. καὶ τοῦτο πρόδηλόν ἐστιν ἐκ τοῦ συστατικὰς εἶναι τὰς διαφοράς· συστατικαὶ δὲ διαφοραὶ γενῶν οὐκ εἰσιν ἀλλ' εἰδῶν, ὡς καὶ ἤδη λέλεκται. εἰ δὲ καὶ φιλονεικεῖς λέγων ὅτι πάντως ἔχει, λέξομεν ὅτι εἰ καὶ ἔχει διαφορὰς τὸ γένος, ἀλλ' οὖν οὐ τὰς ἴσας τῷ εἴδει· ἔχει γὰρ τὸ εἶδος καὶ τὰς τοῦ γένους καὶ τὰς ἑαυτοῦ· τὸ γὰρ οὐσία ἔμψυχος αἰσθητικὴ λέγεται καὶ ἐπὶ τοῦ ἀνθρώπου, ὁμοίως δὲ καὶ τὸ λογικὸν θνητόν. ἀλλὰ μὴν καὶ ἐνεργείᾳ εἰσὶν ἐν τῷ εἴδει, δυνάμει δὲ ἐν τῷ γένει, | ὅταν καὶ συγχωρηθῇ τὸ λογικὸν 204r εἶναι τοῦ γένους διαφορὰν ὡς γένους. τοῦτο δέ φημι, ἐπειδὴ ἀδιαίρετον ὑπάρχον τὸ γένος τὸ λογικὸν οὐκ ἔχει ἀπ' αὐτοῦ διαιρούμενον. μὴ νόμιζε δὲ ὅτι τὸ εἶδος πλείονας ἔχον διαφορὰς τοῦ γένους καθολικώτερόν ἐστιν· ὅπου γὰρ πλείονές εἰσι διαφοραί, ἐκεῖ βραχὺ καὶ ἔλαττον ὑπάρχει τὸ ὁριζόμενον· ἰδοὺ γὰρ τοῦ ἐπὶ τὰ ἄτομα ἐξαπλουμένου ἀνθρώπου * * * οὐ τοσαῦταί εἰσιν ὅσαι καὶ ἐπὶ τοῦ ἀτόμου· λέγων γὰρ τὸν ἄνθρωπον ζῷον λογικὸν θνητὸν τὸν καθόλου ὁρίζεις, εἰ δὲ θελήσεις τὸν μερικὸν ἤτοι τὸν ἄτομον εἰπεῖν, προστιθεῖς καὶ ἄλλας διαφορὰς πρὸς τὸ ἀτομῶσαι τὸν καθόλου ἄνθρωπον· λέγομεν γὰρ 'Σωκράτης ἐστὶ ζῷον λογικὸν θνητὸν πλατυώνυχον προκοίλιον'. καὶ οὕτω διὰ τῶν πλειόνων διαφορῶν ἀτομοῦται ὁ καθόλου ἄνθρωπος.

Ζητοῦσι δέ τινες διὰ τί τὴν μὲν διαφορὰν ὁ Πορφύριος διὰ τοῦ γένους καὶ εἴδους ὡρίσατο, τὸ εἶδος δὲ καὶ τὸ γένος δι' ἀλλήλων παρέδωκε, καίτοι

---

2 οὐκ ἔστι] οὐκέτι T 3 πρᾶξις κς KV: om. T (cf. p. 183,16) 5 ἡ ἰδίως T ἡ ἰδιαίτ. TV 8 post γένους add. καλῶς δὲ εἴρηκεν ᾗ περιττεύει τὸ εἶδος τοῦ γένους V 10 τὸ om. V 11 ταύτας om. KT 13 ὡς ἤδη λέλεκται] cf. p. 181,24 14 λέξωμεν (ω ex ο corr.) T 19 διαφορὰ TV 21 δὲ om. T 22 πλεῖον V 23 post ἀνθρ. inseras πλείονές εἰσι διαφοραὶ ἢ τοῦ καθόλου ἀνθρώπου, τοῦ δὲ καθόλου ἀνθρώπου 24 λέγων—ἄνθρωπον] λέγονται· τὸ (ex τὸν corr.) γὰρ ἄνθρωπος K 25 τὸν (ante καθόλου) om. V ὁρίζει KV 26 πρὸς] εἰς T τὸ] τῷ K 27 λέγεις K ἐστι om. TV 28. 29 ὁ ἄνθρ. ὁ καθόλου K 31 παρέδωκε om. K

Digitized by Google

p. 10,12 Ἀλλ' αἱ μὲν τοῦ λογικοῦ καὶ θνητοῦ διαφοραὶ συστατικαὶ γίνονται τοῦ ἀνθρώπου.

Ἓξ οὖν εἰσι συζυγίαι ἐπὶ ταύτης τῆς διαιρέσεως· λογικὸν ἄλογον, θνητὸν ἀθάνατον, λογικὸν θνητόν, λογικὸν ἀθάνατόν, ἄλογον θνητόν, ἄλογον ἀθάνατον, ὧν κατὰ μέν τινας δύο εἰσὶν ἀσύστατοι τέσσαρες δὲ συνιστάμεναι, κατὰ δὲ ἄλλους τρεῖς ἀσύστατοι καὶ τρεῖς συνιστάμεναι. καὶ εἰ μὲν τρεῖς εἰσιν αἱ συνιστάμεναι, εὑρίσκονται δύο ὑπάλληλοι καὶ μία διαγώνιος· εἰ δὲ τέσσαρές εἰσιν αἱ συνιστάμεναι, εὑρίσκονται δύο ὑπάλληλοι καὶ δύο διαγώνιοι. | καὶ ὁ μὲν Πλάτων βούλεται εἶναι τέσσαρας, λογικὸν ἀθάνατον καὶ λογικὸν 203v θνητὸν καὶ ἄλογον θνητὸν καὶ ἄλογον ἀθάνατον, τὰς δὲ ἐναντίας φησὶν ἀσυστάτους, λογικὸν ἄλογον καὶ θνητὸν ἀθάνατον, καὶ προέφερε τὸν ποιητὴν λέγοντα ὅτι ἔστιν ἄλογον ἀθάνατον ἐν τῷ λέγειν

ἡ δ' ἀθάνατον κακόν ἐστιν.

ὁ Ἀριστοτέλης δὲ τρεῖς εἶναι βούλεται· οὐ δέχεται γὰρ τὸ ἄλογον ἀθάνατον. ᾧ καὶ ἀκολουθεῖ ὁ Πορφύριος· τρεῖς γὰρ εἶναι λέγει· οὕτω γὰρ καὶ κατ' ἀρχὴν ἐπηγγείλατο τοῖς Περιπατητικοῖς ἀκολουθεῖν.

p. 10,14 Οὕτω δὲ καὶ τῆς ἀνωτάτω οὐσίας.

Πάλιν οὕτως ἔχει καὶ ἡ οὐσία· ἔστι γὰρ διελεῖν αὐτὴν εἴς τε τὸ ἔμψυχον καὶ ἄψυχον καὶ αἰσθητικὸν καὶ ἀναίσθητον. ἐπὶ τούτων δὲ ἕξ εἰσι συζυγίαι· ἔμψυχον ἄψυχον, αἰσθητικὸν ἀναίσθητον, ἔμψυχον αἰσθητικόν, ἔμψυχον ἀναίσθητον, ἄψυχον αἰσθητικόν, ἄψυχον ἀναίσθητον. καὶ ἐπὶ τούτων δὲ ὁμοίως τρεῖς εἰσι συνιστάμεναι καὶ τρεῖς ἀσύστατοι. καὶ συνιστάμεναι μὲν αἱ δύο ὑπάλληλοι, ἔμψυχον αἰσθητικόν, ἄψυχον ἀναίσθητον, καὶ μία διαγώνιος ἔμψυχον ἀναίσθητον. οὐ συνίστανται δὲ αἱ δύο ἀντικείμεναι, ἔμψυχον ἄψυχον καὶ αἰσθητικὸν ἀναίσθητον, οὔτε ἡ μία τῶν διαγωνίων ἄψυχον αἰσθητικόν.

p. 10,19 Εἰδοποιοὶ πᾶσαι κέκληνται.

Ἀντὶ τοῦ συστατικαί. διὰ τί δέ; εἰρήκαμεν ὅτι τιμιώτεραί εἰσι τῶν

---

1 τοῦ θνητοῦ καὶ τοῦ λογικοῦ Porph. 2 post ἀνθρώπου add. αἱ δὲ τοῦ ἀλόγου καὶ θνητοῦ μέχρι (μέχρι om. T) τῶν ἀλόγων ζώων (ζώων om. K), αἱ δὲ τοῦ λογικοῦ καὶ ἀθανάτου τοῦ θεοῦ (τῶν ἀγγέλων T) KT 3 οὖν om. V ταύτης] τῆς αὐτῆς T 6. 7 καὶ εἰ—συνιστάμεναι om. V 7 ante ὑπάλλ. add. αἱ T καὶ μία—ὑπάλληλοι (8) om. K 8 διαγώνιοι καὶ δύο ὑπάλλ. colloc. V 9 ὁ μὲν Πλάτων] spectat Platonicos 11 λογικὸν καὶ ἄλογον, θνητὸν καὶ ἀθάν. V καὶ (ante θνητὸν) om. T τὸν ποιητὴν] Hom. μ 118 13 ἡ Urb. 35: εἰ KT: ἢ V: ἀλλ' Hom. 14 Ἀριστοτέλης] Peripateticos spectat δὲ om. V 15 alt. καὶ om. T 18 τε om. V 19 ante αἰσθητ. add. εἰς T 21 ante ἔμψ. add. καὶ V ante alt. ἄψυχ. add. καὶ TV 22 τρία εἶναι (sic) συνιστάμενα καὶ τρεῖς εἰσι ἀσύστ. V 25 καὶ om. V 28 εἰρήκαμεν] p. 183,1

Digitized by Google

διαιρετικῶν. τούτων δὲ χρεία ἐστὶν εἰς τὸ διαιρεῖν γένη καὶ ὁρίζειν εἴδη, τῶν δὲ κατὰ συμβεβηκὸς διαφορῶν οὐκ ἔστι χρεία.

Πρᾶξις κζ'.

Εἰ φῶς τῶν πραγμάτων οἱ ὁρισμοὶ καθεστήκασι, φέρε καὶ τὴν διαφορὰν ὁρισώμεθα εἰρηκότες τί ἐστιν ἡ κοινῶς καὶ ἰδίως καὶ ἰδιαίτατα, καὶ πῶς ἡ ἰδιαίτατα οὐσίαν καὶ οὐσιῶδες δηλοῖ συστατικῶς καὶ διαιρετικῶς λαμβανομένη. λέγεται τοίνυν διαφορὰ ᾗ περιττεύει τὸ εἶδος τοῦ γένους· ἐν μὲν γὰρ τῷ εἴδει περιττεύουσιν αἱ διαφοραί, ἐν δὲ τῷ γένει οὐκέτι· τὸ γὰρ γένος ὡς γένος ἀδιαίρετον ὑπάρχον οὐκ ἔχει διαφοράν. εἰ δὲ εἴποις 'ναὶ ἔχει· ἰδοὺ γάρ φαμεν· οὐσία ἔμψυχος αἰσθητική ἐστι τὸ ζῷον', λέξω ὡς οὐκ ἔχει ταύτας τὰς διαφορὰς ὡς γένος, ἀλλ' ὡς εἶδος. καὶ τοῦτο πρόδηλόν ἐστιν ἐκ τοῦ συστατικὰς εἶναι τὰς διαφοράς· συστατικαὶ δὲ διαφοραὶ γενῶν οὐκ εἰσιν ἀλλ' εἰδῶν, ὡς καὶ ἤδη λέλεκται. εἰ δὲ καὶ φιλονεικεῖς λέγων ὅτι πάντως ἔχει, λέξομεν ὅτι εἰ καὶ ἔχει διαφορὰς τὸ γένος, ἀλλ' οὖν οὐ τὰς ἴσας τῷ εἴδει· ἔχει γὰρ τὸ εἶδος καὶ τὰς τοῦ γένους καὶ τὰς ἑαυτοῦ· τὸ γὰρ οὐσία ἔμψυχος αἰσθητικὴ λέγεται καὶ ἐπὶ τοῦ ἀνθρώπου, ὁμοίως δὲ καὶ τὸ λογικὸν θνητόν. ἀλλὰ μὴν καὶ ἐνεργείᾳ εἰσὶν ἐν τῷ εἴδει, δυνάμει δὲ ἐν τῷ γένει, | ὅταν καὶ συγχωρηθῇ τὸ λογικὸν 204r εἶναι τοῦ γένους διαφορὰν ὡς γένους. τοῦτο δέ φημι, ἐπειδὴ ἀδιαίρετον ὑπάρχον τὸ γένος τὸ λογικὸν οὐκ ἔχει ἀπ' αὐτοῦ διαιρούμενον. μὴ νόμιζε δὲ ὅτι τὸ εἶδος πλείονας ἔχον διαφορὰς τοῦ γένους καθολικώτερόν ἐστιν· ὅπου γὰρ πλείονές εἰσι διαφοραί, ἐκεῖ βραχὺ καὶ ἔλαττον ὑπάρχει τὸ ὁριζόμενον· ἰδοὺ γὰρ τοῦ ἐπὶ τὰ ἄτομα ἐξαπλουμένου ἀνθρώπου * * * οὐ τοσαῦταί εἰσιν ὅσαι καὶ ἐπὶ τοῦ ἀτόμου· λέγων γὰρ τὸν ἄνθρωπον ζῷον λογικὸν θνητὸν τὸν καθόλου ὁρίζεις, εἰ δὲ θελήσεις τὸν μεριχὸν ἤτοι τὸν ἄτομον εἰπεῖν, προστιθεῖς καὶ ἄλλας διαφορὰς πρὸς τὸ ἀτομῶσαι τὸν καθόλου ἄνθρωπον· λέγομεν γὰρ 'Σωκράτης ἐστὶ ζῷον λογικὸν θνητὸν πλατυώνυχον προκοίλιον'. καὶ οὕτω διὰ τῶν πλειόνων διαφορῶν ἀτομοῦται ὁ καθόλου ἄνθρωπος.

Ζητοῦσι δέ τινες διὰ τί τὴν μὲν διαφορὰν ὁ Πορφύριος διὰ τοῦ γένους καὶ εἴδους ὡρίσατο, τὸ εἶδος δὲ καὶ τὸ γένος δι' ἀλλήλων παρέδωκε, καίτοι

---

2 οὐκ ἔστι] οὐκέτι T 3 πρᾶξις κς KV: om. T (cf. p. 183,16) 5 ἡ ἰδίως T ἡ ἰδιαίτ. TV 8 post γένους add. καλῶς δὲ εἴρηκεν ἡ περιττεύει τὸ εἶδος τοῦ γένους V 10 τὸ om. V 11 ταύτας om. KT 13 ὡς ἤδη λέλεκται] cf. p. 181,24 14 λέξωμεν (ω ex ο corr.) T 19 διαφορὰ TV 21 δὲ om. T 22 πλεῖον V 23 post ἀνθρ. inseras πλείονές εἰσι διαφοραὶ ἢ τοῦ καθόλου ἀνθρώπου, τοῦ δὲ καθόλου ἀνθρώπου 24 λέγων—ἄνθρωπον] λέγονται· τὸ (ex τὸν corr.) γὰρ ἄνθρωπος K 25 τὸν (ante καθόλου) om. V ὁρίζει KV 26 πρὸς] εἰς T τὸ] τῷ K 27 λέγεις K ἐστι om. TV 28. 29 ὁ ἄνθρ. ὁ καθόλου K 31 παρέδωκε om. K

Digitized by Google

δυναμένου τοῦ εἴδους διὰ τῆς διαφορᾶς καὶ τοῦ γένους ὁρίζεσθαι, ὡς ἵνα εἴπῃς 'εἶδός ἐστι τὸ πλείονας ἔχον διαφορὰς τοῦ γένους', ὁμοίως δὲ καὶ τοῦ γένους δυναμένου παραδίδοσθαι διὰ τοῦ εἴδους καὶ τῆς διαφορᾶς, ὡς ἵνα εἴπῃς 'γένος ἐστὶ τὸ ἐν τῷ εἴδει θεωρούμενον, οὐκέτι δὲ καὶ ἐν τῇ διαφορᾷ'· τὸν μὲν γὰρ ἄνθρωπον ζῷόν φαμεν, τὴν δὲ λογικότητα οὔ φαμεν ζωότητα. ἔστι δ' οὕτως πρὸς ταῦτα ἀπολογήσασθαι· τέσσαρά ἐστι τὰ κατασκευάζοντα, τρία μὲν ἀσύστατα, ἓν δὲ συνιστάμενον· ὁμολογούμενον ἐξ ὁμολογουμένου, ἀμφίβολον ἐξ ἀμφιβόλου, ὁμολογούμενον ἐξ ἀμφιβόλου, ἀμφίβολον ἐξ ὁμολογουμένου. καὶ τὰ μὲν τρία ἀσύστατα, ἓν δὲ ὡς ἔφαμεν τὸ συνιστάμενον. ποῖα δὲ οὐ συνίσταται, λέξωμεν· τὸ ὁμολογούμενον ἐξ ὁμολογουμένου (οὐδεὶς γὰρ κατασκευὴν τοῦ ὁμολογουμένου ποιεῖται), οὐδὲ τὸ ἀμφίβολον ἐξ ἀμφιβόλου (ὁ τοιοῦτος γὰρ λόγος διάλληλος ὑπάρχει), οὔτε μὴν τὸ ὁμολογούμενον ἐξ ἀμφιβόλου· εἰ γὰρ τὸ ὁμολογούμενον ἐξ ὁμολογουμένου οὐ κατασκευάζεται, πολλῷ μᾶλλον οὐδὲ ἐξ ἀμφιβόλου. συνίσταται δὲ τὸ λέγον τὸ ἀμφίβολον ἐξ ὁμολογουμένου κατασκευάζεσθαι. τούτου οὕτως ἔχοντος ὁ Πορφύριος λογικῇ μεθόδῳ χρησάμενος οὐχ ὁρίζει τὰ ἀμφιβαλλόμενα ἐξ ἀμφιβαλλομένων· τὸ γένος γὰρ ὁρίζων οὐκ ἠδύνατο διὰ τῆς διαφορᾶς καὶ τοῦ εἴδους αὐτὸ παραδοῦναι ἅτε τῆς διαφορᾶς καὶ τοῦ εἴδους ὑπ' ἀμφιβολίαν ὄντων, οὔτε μὴν τὸ εἶδος διὰ τῆς διαφορᾶς καὶ τοῦ γένους· ἔτι γὰρ ἠγνοεῖτο ἡ διαφορά. τὴν μέντοι διαφορὰν διὰ τοῦ εἴδους καὶ τοῦ γένους παραδέδωκε τὸ ἀμφίβολον διὰ τῶν ὁμολογουμένων κατασκευάζων.

Ἐπειδὴ δέ τινες κατασκευάζουσι μὴ εἶναι τὰς διαφοράς, φέρε τὴν κατασκευὴν πρῶτον εἰσόμεθα, εἶθ' ὕστερον τῶν ὄντων αὐτὰς ἀποδείξωμεν. κατασκευάζουσι δὲ τὸ τοιοῦτον δύο λήμμασιν, ὧν τὸ πρῶτον ἐπέχει | τοι- 204v
οῦτον λόγον· οὐδέποτε τἀναντία ἀμιγῆ καὶ ἄκρατα ὄντα ἐν τῷ αὐτῷ κατ' ἀριθμὸν καὶ κατὰ τὸ αὐτὸ μέρος καὶ κατὰ τὸν αὐτὸν χρόνον θεωρεῖται, οἷον τὸ λευκὸν καὶ τὸ μέλαν ἐν τῷ αὐτῷ οὐδέποτε θεωρεῖται. ἐπειδὴ δὲ δύναται ἐν τῷ αὐτῷ κατ' εἶδος εἶναι (ἐν μὲν Σωκράτει τὸ μέλαν, ἐν δὲ τῷ Πλάτωνι τὸ λευκόν), προσέθηκαν 'κατ' ἀριθμόν', ἵνα ἕνα δηλώσωσιν. ἐπειδὴ δὲ καὶ ἐν ἑνὶ δύναται εἶναι τὸ θερμὸν καὶ τὸ ψυχρόν, ἐν μὲν τοῖς ποσὶ τὸ θερμόν, ἐν δὲ τῇ κεφαλῇ τὸ ψυχρόν, προσέθηκαν 'κατὰ τὸ αὐτὸ

---

1 γένους] εἴδους V 5 λογικώτατα V 8. 9 ἀμφίβολον—ὁμολογουμένου suppl. K² ἀμφίβ. ἐξ ὁμολ. ὁμολ. ἐξ ἀμφιβ. colloc. KT 9 ἀμφίβολον] ἀμφιβαλλόμενον V 9. 10 ἓν δέ φαμεν τὸ συνιστ. K: ἓν δὲ τὸ συνιστ. ὡς ἔφαμεν T 10 ποῖον KT λέξομεν KV 13. 14 εἰ γὰρ—ἀμφιβόλου om. K 14 οὐδὲ om. V 15 λέγον] ζῶον T: λεγόμενον V ἀμφίβολον] ἀμφιβαλλόμενον TV 16 οὐ χωρίζει V 17 ἀμφιβαλλομένου K ὁρίζων] ἀορίζων V ἐδύνατο V 18 ἅτε] ἔτι KT 19 μὴν] δὲ K 20 ἠγνοεῖτο ἡ διαφορά om. V 21 παρέδωκε K 22 κατασκ. post διαφορᾶς colloc. K 23 εἰσώμεθα T εἶθ'] εἶτ' εἰς V 24 δύο διλήμμασιν V alt. τὸ om. V 25 καὶ ἄκρατα ὄντα om. V 26 καὶ (post μέρος) om. V 27 ἐν τῷ αὐτῷ] ἐν αὐτῶ T: τὸ αὐτὸ V δὲ om. V 28 δύναται καὶ K μὲν om. T 30 δὲ om. T 30. 31 τοῖς ποσὶ τὸ ψυχρὸν μόνον, ἐν δὲ τῇ κεφ. τὸ θερμόν V

Digitized by Google

μέρος'. ἔτι δὲ προσέθηκαν καὶ 'κατὰ τὸν αὐτὸν χρόνον' διὰ τὸν διάφορον χρόνον· ὁ γὰρ διάφορος χρόνος καὶ τἀναντία δύναται ἐν τῷ αὐτῷ καὶ κατὰ τὸ αὐτὸ μέρος δεῖξαι θεωρούμενα· τὴν γὰρ θερμὴν κεφαλὴν καὶ ψυχρὰν μετέπειτα ποιεῖ. τὸ δεύτερον δὲ τοιοῦτον ὑπάρχει· οὐδέποτε εὑρίσκεταί τι
5 ἐκ τῶν μηδαμῇ μηδαμῶς· πάντα γὰρ τὰ ὄντα ἐξ ὄντων ἔχουσι τὸ εἶναι. ἰστέον δὲ ὡς ἄλλο μέν φησιν ὁ Πλάτων τὸ μηδαμῇ μηδαμῶς, ἄλλο δὲ ὁ Ἀριστοτέλης· ὁ μὲν γὰρ Πλάτων ἔλεγε τὸ μηδαμῇ τὸ μηδαμῶς μήτε ἐπινοίᾳ μήτε ἐνεργείᾳ ὑπάρχον (ἀμέλει τὸν τραγέλαφον οὔ φησι μηδαμῇ μηδαμῶς, ἐπειδὴ ἔχει τὸ εἶναι ἐν ἐπινοίᾳ), Ἀριστοτέλης δὲ μηδαμῇ μηδαμῶς ἔλεγε
10 τὸ τῇ μὲν ἐπινοίᾳ ὑφιστάμενον, ἐνεργείᾳ δὲ οὐκέτι, οἷον τὸν τραγέλαφον καὶ τὰ τοιαῦτα. τούτου δὲ οὕτως ἔχοντός φασι τὰς διαφορὰς μὴ εἶναι· ποῦ γάρ εἰσιν; ἐὰν γὰρ εἴπῃς 'ἐν γένεσίν εἰσιν', ψεύσῃ· τοῦτο γὰρ κατασκευάζει τὸ πρῶτον λῆμμα, τὸ μὴ θεωρεῖσθαι τἀναντία ἐν τῷ αὐτῷ κατ' ἀριθμὸν καὶ κατὰ τὸ αὐτὸ μέρος καὶ κατὰ τὸν αὐτὸν χρόνον. εἰ οὖν τὸ
15 ζῷον ἕν τί ἐστι κατ' ἀριθμόν, ἀμερὲς δὲ κατὰ τὸ γένος, τὰ γένη δὲ καθόλου εἰσί, τὰ καθόλου δὲ ἀσώματά εἰσι, τὰ δὲ ἀσώματα ἀμερῆ, πῶς δύναται κατὰ τὸν αὐτὸν χρόνον δέχεσθαι τἀναντία, φημὶ δὲ τὸ λογικὸν καὶ τὸ ἄλογον καὶ τὸ θνητὸν καὶ τὸ ἀθάνατον; ἀλλὰ μὴν εἴ εἰσι διαφοραὶ ἐν γένει πάντως, καὶ ἐν τῷ αὐτῷ χρόνῳ εἰσίν· οὔτε γὰρ ἔστιν ἐπινοῆσαι σήμερον
20 μὲν τὰ ζῷα λογικά, αὔριον δὲ ἄλογα. εἰ οὖν οὐκ εἰσιν αἱ διαφοραὶ ἐν τοῖς γένεσιν, ἐκ τοῦ μηδαμῇ μηδαμῶς ἐγένοντο. τὸ δεύτερον δὲ λῆμμα κωλύει εἶναί τι ἐκ τοῦ μηδαμῇ μηδαμῶς· κἂν γὰρ εἴπῃς ὕδωρ ἐκ πυρὸς γενέσθαι, ἀλλ' οὖν προϋπῆρχε τὸ πῦρ, κἂν εἴπῃς ἐξ ὕδατος ἀέρα γενέσθαι, προϋπῆρχε τὸ ὕδωρ. ἔστι δὲ ὑπὲρ τούτου οὕτως ἀπολογήσασθαι· ἔστι
25 τινὰ μέσα, ἅπερ οὔτε μηδαμῇ μηδαμῶς εἰσιν οὔτε τὸ εἶναι ἔχουσιν, ἀλλὰ μέσον χωρεῖ τῶν δύο ἄκρων μεταλαμβάνοντα | καὶ στερούμενα. τὸ τοιοῦτον 205r δὲ δυνάμει λέγεται, οἷον τὸ παιδίον δυνάμει γραμματικόν ἐστι καὶ οὐκ ἔστι μὲν τῶν ὄντων, καθὸ οὐκ ἔστιν ὡς λέγεται, ἀλλ' οὐδὲ τῶν μηδαμῇ μηδαμῶς ἐστι, καθὸ δυνάμει ἔχει τὸ εἶναι. τὸ τοιοῦτον δὲ τὰ ἀντικείμενα
30 ἡμῖν δύο ἄπορα ἐπιλύσεται· ἔστι γὰρ εἰπεῖν ὅτι αἱ διαφοραὶ ἐν τοῖς γένεσίν

---

1 καὶ om. V 2 χρόνος om. V τοὐναντία V καὶ (ante κατὰ) om. V
3 θεωρούμενα Par. 2089: χωρούμενα KTV²: χωρούμενον V¹ 6 μέν om. V
ὁ (ante Πλάτ.) om. K ὁ (ante Ἀριστ.) om. V 7 μὲν om. T
Πλάτων] cf. Sophist. p. 238 C μηδαμῶς] ὡς KT 8 ὑπάρχειν T
φήσει V 9 ἐν om. K Ἀριστοτ.] cf. De interpr. c. 1 p. 16ª16 Anal. pr. A 38
p. 49ª24 10 οἷον om. V 12 γὰρ (post ἐὰν) Paris. 2089: om. KTV
γενέσει TV 13 τἀναντία om. T 14 καὶ κατὰ τὸ αὐτὸ μέρος—ἀριθμόν (15) om. V
αὐτὸν om. T 15 post γένος add. ἐστί V alt. δὲ om. T 16 δὲ (post
καθόλ.) superscr. K: om. TV 17 δὲ] δὴ T 18 ἄλλογον T τὸ (ante
ἀθάν.) om. V τῷ γένει K 19. 20 ἐπινοῆσαι σήμερον μὲν iter. T
20 μὲν om. V αἱ om. V 21 ἐκ τοῦ om. T 22 τι om. V
23 ἀέρα] ἄρα V 24 ὕδωρ.] εἶδος V 25 τινὰ μέσα] τἀναμέσα V
27 δὲ om. K 28 λέγετε ex λέγεται corr. T ἀλλ' οὐδὲ] οὐκέτι δὲ V
29 ἐστί om. V 30 ἐπιλύσεται ex ἐπιλύονται corr. T

Digitized by Google

εἰσι δυνάμει, καὶ οὐχ ἐνεργείᾳ, οἷον ἐν τῇ ποιότητι δύναται θεωρεῖσθαι δυνάμει τὸ θερμὸν καὶ τὸ ψυχρόν· τὸ γὰρ ἄρτι θερμὸν δυνάμει ψυχρόν ἐστιν, ὡς ἐπὶ τοῦ ἐλαίου· τοῦτο γὰρ δυνάμει ἔχει τὸ θερμὸν καὶ τὸ ψυχρόν, καὶ ὅσον μὲν αὐτὸ καθ' ἑαυτὸ μένει, ἄμφω ἔχει, θάτερον δὲ μεταβάλλει εἰς τὸ ἕτερον πρὸς τὴν ποιότητα τῶν μιγνυμένων· ῥόδων γὰρ ἐπιβαλλομένων τῷ ἐλαίῳ ἐπαύξεται τὸ ψυχρὸν τοῦ θερμοῦ τὴν ποιότητα καθ' αὑτὸ μεταβάλλοντος, χαμαιμήλου δὲ ἐπιβαλλομένου ἐπαύξεται μὲν τὸ θερμόν, μεταβάλλει δὲ τὸ ψυχρὸν εἰς ἑαυτό. τούτου οὕτως ἔχοντος δείκνυται τὰ γένη δυνάμει ἔχειν τὰ ἐναντία· τὸ γὰρ χρῶμα ἔχει τὸ λευκὸν καὶ τὸ μέλαν δυνάμει, ἡ ποιότης τὸ θερμὸν καὶ τὸ ψυχρόν, τὸ ζῷον τὸ λογικὸν καὶ τὸ ἄλογον. ἔχομεν ἐντεῦθεν ὡς δύνανται αἱ διαφοραὶ ἐναντίως ἔχουσαι δυνάμει θεωρεῖσθαι ἐν τοῖς γένεσι. τὸ ὕστερον δὲ ἄπορον ἐκ τοῦ πρώτου ἐπιλύεται· εἰ γὰρ αἱ διαφοραὶ ἐν τοῖς γένεσι θεωροῦνται, δῆλον ὡς οὐκ εἰσιν ἐκ τῶν μηδαμῇ μηδαμῶς. τῆς γοῦν τοιαύτης δόξης οἱ ἐκ τοῦ Περιπάτου ἑαυτοὺς ἀποφαίνονται.

Πρᾶξις κη'.

Τῶν Περιπατητικῶν οἱ Πλατωνικοὶ κατευτελίζοντες τὴν δόξαν ἀποδεῖξαι ἐνεργείᾳ ὑπάρχειν ἐν τοῖς γένεσι τὰς διαφορὰς πειρῶνται, τὸ δυνάμει παραιτούμενοι. φασὶ γὰρ τὰ τοιαῦτα· εἰ δυνάμει λέγετε, ὦ Περιπατητικοί, τὰς διαφορὰς εἶναι ἐν τοῖς γένεσιν, ἐνεργείᾳ δὲ ἐν τοῖς εἴδεσιν, ἔσται τὰ εἴδη κρείττονα τῶν γενῶν ἅτε δὴ τοῦ ἐνεργείᾳ κρείττονος τοῦ δυνάμει ὑπάρχοντος. δεύτερον οὐδὲ ἐναντία εἰσὶ τὰ τοιαῦτα· τὸ γὰρ ἄλογον καὶ λογικὸν ἐναντιότητα οὐκ ἔχει· οὐσίαι γάρ εἰσιν, αἱ δὲ οὐσίαι ἐναντιότητα οὐκ ἔχουσιν ἐν ὑποκειμένῳ μὴ οὖσαι, ὑποκείμενον δὲ ὑπάρχουσαι. εἰ ἦσαν δὲ τὰ τοιαῦτα ἐναντία, οὐδὲ ὤφειλον ἐνεργείᾳ ἐν τῷ αὐτῷ θεωρεῖσθαι (νυνὶ δὲ τὸ ἄλογον καὶ τὸ λογικὸν ἐν τῷ ζῴῳ ὑπάρχει), ὤφειλον δὲ καὶ φθείρειν ἄλληλα (οὐ φθείρει δέ· δείκνυται γὰρ καὶ αὐτῷ τῷ Ἀριστοτέλει τὸ ἄλογον καὶ τὸ λογικὸν εἶναι ἐν τῷ ζῴῳ), ὤφειλον δὲ καὶ μεταβάλλειν εἰς ἄλληλα· εἰ δὲ λογικὸν εἰς ἄλογον οὐ μεταβάλλει, σαφὲς ὡς οὐκ εἰσιν ἐναντία. τρίτον εἰ ἦσαν ἐναντία, ὤφειλον καὶ ἐν τῷ αὐτῷ θεωρεῖσθαι· καὶ γὰρ ἔστιν εὑρεῖν ἐναντία θεωρούμενα ἐν τῷ αὐτῷ, ὥσπερ ἐν τῇ ἀνειδέῳ ὕλῃ· τὸ γὰρ ψυχρὸν καὶ θερ- 205v

---

2 τὸ ψυχρὸν καὶ τὸ θερμόν colloc. K τὸ γὰρ ἄρτι—ψυχρόν (3) om. V 2. 3 post ψυχρόν ἐστιν addas καὶ τὸ ἄρτι ψυχρὸν δυνάμει θερμόν ἐστιν 4 μὲν om. V 7 χαμαιμήλου] μήλου T 8 δείκνυνται K 10 τὸ ψυχρὸν καὶ τὸ θερμὸν colloc. V 11 super ἐντεῦθεν add. προσπόρισμα V² ἐναντίως Paris. 2089: ἐναντία KTV 16 πρᾶξις κζ' K: om. TV (cf. p. 187,3) 18 πειρ. τὰς διαφ. coll. KTV; correxi sec. Par. 2089 19 τὰ om. T 21 τῶν γενῶν κρείττονα colloc. V κρείττονος] κρείττω (ex κρεῖττον corr.) K: κρεῖττον V 25 ἐναντία] ἐνεργεία T ἐνεργείᾳ] requiras δυνάμει aut deleas τῷ om. T νυνὶ] νῦν V 25. 26 τὸ ἄλογον καὶ τὸ λογικὸν colloc. V 26 ὤφειλε T φθείρειν et φθείρει Par. 2089: μεταφέρειν et μεταφέρει KTV 27 καὶ αὐτῷ] καὐτῷ TV 28 ζῴῳ] ἀνθρώπῳ V 29 τρίτον—ἐναντία om. V 29. 30 τρίτον—θεωρεῖσθαι sana non sunt; scribas τρίτον εἰ καὶ ἦσαν ἐναντία, οὐδὲν ἄτοπον ταῦτα ἐν τῷ αὐτῷ θεωρ. 30. 31 ἔστιν εὑρεῖν ἐν. θεωρ.] θεωρεῖται ἐν. V

Digitized by Google

μὸν καὶ λευκὸν καὶ μέλαν ὅλα τε τὰ εἴδη ἐν τῇ ἀνειδέῳ ὕλῃ θεωρεῖται. τέταρτον ὅτι καὶ τὰ ἐναντία ἐν τῷ αὐτῷ θεωρεῖται, ἐξ αὐτῶν τῶν αἰσθήσεων τὸν λόγον πιστούμεθα· ἰδοὺ γὰρ ἡ ὅρασις ἅμα τῶν ἐναντίων ἀντιλαμβάνεται, λευκοῦ τε καὶ μέλανος. καὶ σαφὲς ἐκ τοῦ διαχωρίζειν αὐτὴν τὰ στοιχεῖα ἐκ τοῦ χάρτου. εἰ δὲ εἴποις ὅτι κατ' ἄλλο μὲν τοῦ μέλανος κατ' ἄλλο δὲ τοῦ λευκοῦ ἀντιλαμβάνεται, ἐπὶ σοῦ ἁρμόσει τὸ πάλαι εἰρημένον, ὡς εἰ σὺ τούτου μὲν αἴσθοιο, ἐγὼ δὲ τούτου. τοῦτο δὲ εἴρηται, ὡς ἵνα ἑνὸς δύο ἀκούοντες ἑκάτερος διάφορα αἴσθοιτο.

Ἔστι δὲ ὑπὲρ τῶν Περιπατητικῶν οὕτως ἀπολογήσασθαι. πρὸς τὸ πρῶτον δεῖ οὕτως λέγειν· μὴ ἐκ τῶν δοκούντων τοῖς Ἀριστοτελικοῖς ἀνατρέπειν νομίσητε, ὦ Πλατωνικοί· αὐτοῖς γὰρ δοκεῖ κρείττονα τὰ εἴδη τῶν γενῶν ὑπάρχειν. ἀνθρώπου δὲ λέγοντος ὅτι λογικὸς ὑπάρχει ὁ ἄνθρωπος, οὐκ ὤφειλες μέμφεσθαι αὐτοῦ καὶ λέγειν ἄτοπα αὐτὸν φθέγγεσθαι, εἰ φαίη λογικὸν εἶναι τὸν ἄνθρωπον, ἀλλὰ δι' ἑτέρου δεῖ κατασκευάζειν ὡς οὐ λογικὸς ὁ ἄνθρωπος. εἰ δοκεῖ οὖν τοῖς Ἀριστοτελικοῖς τὰ εἴδη τῶν γενῶν κρείττονα ὑπάρχειν ἀλλὰ καὶ τὰ ἄτομα τῶν γενῶν καὶ τῶν εἰδῶν (οὕτω γὰρ ὁ Ἀριστοτέλης ἐν ταῖς Κατηγορίαις ἔφη τὸν Σωκράτην εἶναι κυρίαν καὶ πρώτην οὐσίαν), οὐκ ὤφειλον οἱ Πλατωνικοὶ ἐκ τῶν δοκούντων αὐτοῖς, φημὶ δὴ τοῖς Ἀριστοτελικοῖς, ἄτοπα συνάγειν καὶ λέγειν ὅτι τὰ εἴδη κρείττονα ἔσται τῶν γενῶν ἐνεργείᾳ ἔχοντα τὰς διαφοράς· τοῦτο γὰρ αὐτὸ βούλονται οἱ Ἀριστοτελικοί. πρὸς τὸ δεύτερον· κἂν μή εἰσιν αἱ οὐσιώδεις διαφοραὶ ἐναντίαι λογικὸν καὶ ἄλογον, ἀλλ' οὖν αἱ συμβεβηκυῖαι ἐναντίαι εἰσί· τὸ γὰρ θερμὸν καὶ ψυχρὸν ἐναντία εἰσί, θεωρεῖσθαι δὲ ἐν τῷ γένει ἐνεργείᾳ τὸ θερμὸν ἅμα καὶ τὸ ψυχρὸν ἀδύνατον, φημὶ δὴ ἐν τῇ ποιότητι. εἰ οὖν ὁμολογεῖται τὰ τοιαῦτα δυνάμει ἐν τοῖς γένεσι θεωρεῖσθαι, τὸ λευκὸν καὶ τὸ μέλαν, τὸ θερμὸν καὶ τὸ ψυχρόν, ἀμφιβάλλεται δὲ τὸ λογικὸν καὶ ἄλογον εἰ δυνάμει ἐστὶν ἐν τοῖς γένεσιν ἢ ἐνεργείᾳ, σαφὲς ὡς τὸ ἀμφιβαλλόμενον τῷ ὁμολογουμένῳ παρακολουθεῖ. πρὸς τὸ τρίτον· τὰ ἐναντία, ὥς φατε, ἐν τῇ ἀνειδέῳ ὕλῃ θεωρεῖται, ἀλλ' οὐκ ἐνεργείᾳ, δυνάμει δέ· τί γὰρ λέγετε; τὴν ἐν τῷ Σωκράτει ὕλην ἢ τὴν ἐν πᾶσιν; εἰ μὲν τὴν ἐν τῷ Σωκράτει, οὐκ ἔστιν αὕτη ἵππου καὶ κυνὸς ὕλη ἐνεργείᾳ· δυνάμει γὰρ κυνὸς καὶ ἵππου ἐστίν, ἐνεργείᾳ δὲ Σωκράτους. εἰ δὲ τὴν ἐν πᾶσι λέγετε, ἀδύνατον αὐτὴν ἐνεργείᾳ ἔχειν ἅμα Σωκράτην καὶ κύνα, δυνάμει δέ. πρὸς τὸ

---

1 τε om. KV 2 post ὅτι add. δὲ T καὶ om. KT 3 τῷ ἐναντίῳ V
5 ἐκ om. V εἴπης K ὅτι om. KT 6 τοῦ λευκοῦ ἀντιλαμβ. κατ' ἄλλο δὲ τοῦ μέλ. colloc. V ἐπὶ σοῦ] ἐπ' ἴσου T εἰ σὺ K: σὺ T: εἰ V
7 τούτου μὲν K: τοῦ μὲν TV 11 κρείττω V 13 ὤφειλες Paris. 2089: ὤφειλον KTV αὐτοῦ] αὐτὸν V καὶ om. V αὐτὸν om. K 14 δεῖ κατασκευάζειν scripsi: εἰ κατασκευάζει KT: κατασκευάζει V 15 post οὖν add. καὶ T 16 τῶν τε γενῶν T 17 ἐν ταῖς Κατηγ.] cf. p. 2ª 11 19 δὴ] δὲ V 20 ἐστι T 21 post πρὸς add. δὲ T αἱ om. V 23 ἐν. εἰσί] ἐναντίον ὑπάρχει V 24 ἅμα om. V ἀδύνατον] δυνατὸν V δὴ] δὲ TV
25 ὡμολόγηται V 30 pr. τῷ om. V alt. τῷ om. K 33 αὐτὴν om. K

Digitized by Google

τέταρτον· οὐ δεῖ τῷ ἀπόρῳ τὸ ἄπορον ἐπιλύεσθαι· εἰ γὰρ ἀπορήσω διὰ τί λογικὸς ὁ ἄνθρωπος, οὐ δεῖ σε λέγειν ὅτι καὶ τὰ θεῖα λογικά εἰσιν. ἀπορεῖτε δὲ ὑμεῖς αὐτοὶ πῶς ἐπὶ τῆς ὁράσεως τἀναντία ἐνεργείᾳ ὑπάρχει· (ἐπὶ γὰρ τῶν ἀσωμάτων | λέγετε τἀναντία ἐνεργείᾳ θεωρεῖσθαι, ἐπὶ δὲ τῶν 206r
5 σωμάτων οὐκέτι), ἠπορήθη δὲ ὑμῖν καὶ πῶς τῶν ἐναντίων ἡ ὅρασις ἅμα ἀντιλαμβάνεται σῶμα ὑπάρχουσα, τοῦτο δὲ τὸ ἀπορούμενον οὐκ ἔδει παρενέγκαι εἰς λύσιν. διὰ τί δὲ τῶν ἐναντίων ἅμα ἡ ὅρασις ἀντιλαμβάνεται, ἐν τελείαις πραγματείαις εἰσόμεθα.

p. 10,22 Ἃς δὴ καὶ ὁριζόμενοί φασι· διαφορά ἐστιν ᾗ περιττεύει
10 τὸ εἶδος τοῦ γένους.

Ὁρισμὸς οὐκ ἔστι Πορφυρίου· διὰ τοῦτο λέγει ἃς καὶ ὁριζόμενοι καὶ οὐ λέγει 'ὁρίζομαι', ἵνα δείξῃ ὅτι τῶν Περιπατητικῶν ἐστι. δεικνύει δὲ καὶ ὁ ὁρισμὸς ὅτι τῶν Περιπατητικῶν ἐστιν, ἐπειδὴ ἐνεργείᾳ οὐ βούλεται τὰς διαφορὰς εἶναι ἐν τῷ γένει, ἀλλὰ δυνάμει. ἰστέον δὲ ὡς δείκνυται
15 ἔνθεν δεῖν τοῦ γένους ὁρισμὸν λέγειν καὶ ὑπογραφήν· ἠβούλοντο γάρ τινες μὴ εἶναι ὁρισμὸν ἀλλ' ὑπογραφὴν ἐκ τοῦ λέγειν τὸν Πορφύριον ὃ καὶ ὑπογράφοντες. οὐκ ἔστι δὲ μόνον ὑπογραφὴ ἀλλὰ καὶ ὁρισμός· ἀμέλει οὐδὲ αὐτοῦ λέγοντος ὁρίζεσθαι τὴν διαφορὰν ὁρισμὸν μόνον αὐτῆς λέγομεν, ἀλλὰ καὶ ὑπογραφήν. οὐ δεῖ οὖν λέγειν μόνον ὑπογραφὴν τοῦ γένους εἶναι,
20 ἐπειδή φησιν ὃ καὶ ὑπογράφοντες· προσέχων γὰρ ποτὲ μὲν τοῖς πράγμασί φησιν ὃ καὶ ὑπογράφοντες, ποτὲ δὲ τῇ σχέσει λέγει ὁριζόμενοι· εἰ γὰρ καὶ ἐπὶ τῆς διαφορᾶς ὁρισμὸν ἀποδίδωσι, σαφὲς ὅτι καὶ ἐπὶ τοῦ γένους καὶ τοῦ εἴδους καὶ καθόλου ἐπὶ τῶν πέντε φωνῶν ὁρισμὸν καὶ ὑπογραφὴν ἔξεστί σοι λέγειν, ἀλλὰ τὸν μὲν ὁρισμὸν πρὸς τὴν σχέσιν τὴν
25 δὲ ὑπογραφὴν πρὸς τὰ πράγματα.

p. 11,1 Ὁ γὰρ ἄνθρωπος τοῦ ζῴου πλέον ἔχει τὸ λογικόν.

Φησὶν ὅτι ἐκ τούτων τὸ εἶδος περιττεύει τῇ διαφορᾷ τοῦ γένους, ὅτι τὸ λογικὸν ἐνεργείᾳ ἐστὶν ἐν τῷ ἀνθρώπῳ, δυνάμει δὲ ἐν τῷ ζῴῳ· πλέον οὖν ἔχει ὁ ἄνθρωπος τὸ λογικὸν τοῦ ζῴου. προσέχοντες δὲ τῇ ἐνεργείᾳ

---

1 τῷ Paris. 1938: om. KTV τὸ] τὸν V 2 ἐστιν V 2. 3 ἀπορεῖται V¹ 4 λέγεται V 5 μηκέτι K ἠπορήμην V 6 τὸ om. KV 6. 7 εἰς λύσιν παρενέγκ. οὐκ ἔδει colloc. V 10 τὸ γένος τοῦ εἴδους KT 12 οὐ λέγει] οὐκέτι V 15 ἔνθεν i. e. inde τοῦ γένους ὁρισμὸν] cf. p. 142,10 15. 16 ἠβούλοντο — ὑπογραφὴν om. V 15 post τινες add. λέγειν T 16 ἐκ τοῦ λέγειν τὸν Πορφ.] p. 2,15 17 οὐκ ἔστι] οὐκέτι V 18 αὐτοῦ λέγοντος Paris. 2089: αὐτοὶ λέγοντες KTV αὐτῆς] αὐτὴν KV 19 μόνον λέγειν colloc. K 20 ποτὲ μὲν γὰρ colloc. K 20. 21 τοῖς πρ. ποτὲ μὲν colloc. T 22 ὁρισμοὺς K 23 καὶ (ante καθόλου) om. V 24 μὲν Paris. 2089: om. KTV 26 ὁ γὰρ] ὁ KT: ὅτι γὰρ V 29 ὁ om. V

Digitized by Google

φασὶ τὴν διαφορὰν ἐν τῷ εἴδει πλέον εἶναι ἤπερ ἐν τῷ γένει, ἐπεὶ εἰ μὴ τοῦτο ἦν, οὐκ ἂν τῷ εἴδει ἔλεγον περιττεύειν τὴν διαφορὰν ἤπερ τῷ γένει· τοὐναντίον γὰρ ἐν τῷ γένει πλείονές εἰσιν, ἀλλὰ δυνάμει, λογικὸν καὶ ἄλογον, θνητὸν καὶ ἀθάνατον.

5 p. 11,2 Τὸ γὰρ ζῷον οὔτε οὐδὲν τούτων ἐστίν.

Ἀντὶ τοῦ 'τὸ γένος οὐκέτι οὐκ ἔχει τὰς διαφοράς, ἀλλ' ἔχει'· αἱ δύο γὰρ ἀποφάσεις κατάφασιν ποιοῦσιν. αἰνίττεται δὲ πρὸς τὰ δύο ἐπιχειρήματα ἐκεῖνα· φησὶ γὰρ ὅτι ἔχει αὐτὰ τὸ ζῷον, ἐπεὶ ἐκ τῶν μηδαμῇ μηδαμῶς εὑρίσκονται, ἐνεργείᾳ δὲ οὐκέτι, ἀλλὰ δυνάμει.

10 p. 11,3 Οὔτε πάσας τὰς ἀντικειμένας.

Λέγουσιν ὅτι κακῶς εἶπεν οὔτε πάσας τὰς ἀντικειμένας· ὡς αὐτοῦ γὰρ ἔχοντός τινας λέγει οὔτε πάσας. κακῶς δὲ ἂν ἔλεγεν, εἰ μὴ ἐν πολλοῖς ἔδειξεν ὁ Ἀριστοτέλης ἰσοδυναμεῖν τὰ τοιαῦτα τοῖς μεριχοῖς· ταὐτὸν γάρ ἐστι λέγειν 'οἱ ἄνθρωποι οὐ λούονται' καὶ 'οὐδεὶς ἀνθρώπων | 206v
15 λούεται'. εἰπὼν οὖν καὶ ὧδε ὁ Πορφύριος τὸ οὔτε πάσας εἶπεν οὐδεμίαν.

p. 11,4 Ἀλλ' ὡς ἀξιοῦσι.

Βούλεται δεῖξαι ὅτι οὐκ ἔστι τῆς δόξης τῶν Περιπατητικῶν, ἀλλὰ τῶν Πλατωνικῶν, καὶ διὰ τοῦτο εἶπεν ὡς ἀξιοῦσιν.

p. 11,6 Οὔτε τὰ ἀντικείμενα εἴδη περὶ τὸ αὐτὸ ἔσται.

20 Βούλονταί τινες εἰς συμφωνίαν ἀγαγεῖν Ἀριστοτέλην καὶ Πλάτωνα τοιούτοις κεχρημένοι ἐπιχειρήμασιν· ἔστι τι πρῶτον δυνάμει καὶ δεύτερον δυνάμει, ὅπερ διὰ μέσου λέγομεν, ἔστι δὲ καὶ πρῶτον ἐνεργείᾳ καὶ δεύτερον. πρῶτον μὲν δυνάμει φαμὲν ὡς ἵνα εἴπῃς 'ὁ παῖς δυνάμει γραμματικός ἐστι', τοῦτ' ἔστι κατ' ἐπιτηδειότητα· εἰ μὴ γὰρ ἐπιλίπῃ ὁ χρόνος, γραμ-
25 ματικὸς ὁ παῖς γίνεται, καὶ ἑκάστην ἐπιστήμην δέχεται τοῦ χρόνου μὴ ἐπιλιμπάνοντος. δεύτερον δὲ δυνάμει φασὶ τὸν ἤδη ἐν ἕξει ἔχοντα τὸ γραμματικεύεσθαι, μηκέτι δὲ ἐνεργοῦντα, τοῦτ' ἔστι κατὰ τὸ παύεσθαι τῆς ἐνερ-

---

1. 2 ἐπεὶ—γένει om. TV 6 ἀντὶ τοῦ Paris. 2089: ἐπεὶ οὖν KTV δύο om. V
10 οὔτε δὲ Porph. 11 οὔτε ex ὅτι corr. T: om. V τὰς ἀντικειμένας om. V
12 γὰρ om. K οὔτε πάσας] οὐ πάσας δέ V δὲ Paris. 2089: γὰρ KTV
ἂν om. T 14 λέγειν] εἰπεῖν K οὐδεὶς Paris. 2089: οὐ πᾶς KTV
15 οὔτε om. V εἶπεν οὐδεμίαν scripsi: ἐπεὶ οὐδὲ μίαν KT: ἐπὶ μιᾶς V
19 εἴδη] ἅμα Porph. ἐστιν V 23 μὲν] δὲ V 23. 24 ἐστι γραμ. coll. T 26 τὸ ἤδη ἐν ἕξει ἔχον τοῦ γρ. V 27 μηκέτι—γραμματικεύεσθαι (194,1) in mrg. suppl. K ἐνεργοῦντα] ἐνεργείᾳ K: ἐνεργοῦν V κατὰ τὸ παύεσθαι] καταπαύεσθαι KV

Digitized by Google

γείας. πρῶτον δὲ ἐνεργείᾳ φασὶ τὸν δυνάμενον γραμματικεύεσθαι καθεύδοντα δὲ ἢ ἐξηγεῖσθαι μὴ βουλόμενον, τοῦτ' ἔστι καθ' ἕξιν. δεύτερον δὲ ἐνεργείᾳ φασὶ τὸν γραμματικὸν τὸν ἐξηγούμενον καὶ ἐνεργοῦντα, τοῦτ' ἔστι κατὰ προχείρησιν. σκόπει δὲ ὅτι ταὐτόν ἐστι τὸ δεύτερον δυνάμει καὶ πρῶτον
5 ἐνεργείᾳ· τὸ γὰρ δεύτερον δυνάμει τὸν γραμματικόν φησι τὸν ἕξιν ἔχοντα γραμματικεύεσθαι, μὴ ἐνεργοῦντα δέ. ταὐτὸν δὲ καὶ τὸ πρῶτον ἐνεργείᾳ ἐστίν. εἰ οὖν τὰ αὐτά ἐστι, συμφωνεῖ Ἀριστοτέλης καὶ Πλάτων· ὁ μὲν γὰρ λέγει τὸ ὕστερον δυνάμει ὁ δὲ τὸ πρῶτον ἐνεργείᾳ, εἰς ταὐτὸν δὲ ἄμφω συνάγονται. τινὲς δὲ καλῶς ἐναντιούμενοί φασιν ὅτι ταὐτόν ἐστι τὸ ἐν ἕξει
10 ἔχειν τὸ γραμματικεύεσθαι καὶ τὸ ἐνεργεῖν τὸν γραμματικόν, εἴ γε καὶ ἐν πολλοῖς τὸ αὐτὸ δεικνύει ὁ Ἀριστοτέλης λέγων ὅτι ὁ ἐν ἕξει ἔχων καὶ ἀμέσως ἐνεργεῖ· οὔτε γὰρ ἄλλον λαμβάνω τὸν ἐν ἕξει γραμματικὸν καὶ ἄλλον τὸν ἐνεργοῦντα· ὁ αὐτὸς γάρ ἐστιν. εἰ οὖν ταῦτα οὕτως ἔχει, ἄλλο μέν ἐστι τὸ ἐνεργείᾳ καὶ ἄλλο τὸ δυνάμει. δυνάμει δὲ ὁ Ἀριστοτέλης φησὶ τὸ
15 μὴ ἐν ἕξει ὑπάρχον, ἐπεὶ εὐθέως ἐνεργήσει, ἓν δὲ ὁ Πλάτων τὸ ἐν ἕξει καὶ ἐνεργείᾳ. ἰστέον δὲ ὅτι τὸ δυνάμει ἐν ἕξει γινόμενον οὐ τὸ αὐτὸ μένει· τὸ γὰρ παιδίον δυνάμει ὂν γραμματικόν, ὅταν ἐν ἕξει λάβῃ τὸ γραμματικεύεσθαι, οὐ τὸ αὐτὸ μένει.

Πρᾶξις κθ'.

20 Πάρεστιν ὁ Πορφύριος ἑτέρως ἡμῖν ὁριζόμενος τὴν διαφοράν· φησὶ γὰρ διαφορά ἐστι τὸ κατὰ πλειόνων καὶ διαφερόντων τῷ εἴδει ἐν τῷ ὁποῖόν τί ἐστι κατηγορούμενον. ἐπειδὴ δὲ περὶ τοῦ ὁποῖόν τί ἐστι μόνον διδάσκει τὰ ἄλλα ὡς ἐγνωσμένα καταλείψας, φέρε συνήθως τὰ ἐν τοῖς καταλειφθεῖσιν ἀπορούμενα ἐπιλυσώμεθα· τινὲς γάρ φασιν ὅτι
25 κακῶς εἶπε τὸ κατὰ πλειόνων· εἰ γὰρ τὸ κατὰ πλειόνων φερόμενον κοινωνίαν δηλοῖ, οὐχὶ διαφοράν, ὁμολογουμένως κακῶς ἔχει ὁ ὁρισμός. ἔστι δὲ πρὸς τοῦτο οὕτως ἀπολογήσασθαι· τῶν δια|φορῶν αἱ μὲν μεριχαί εἰσιν αἱ 207r
δὲ καθολικαί, καὶ μεριχαὶ μὲν ὡς ἵνα εἴπῃς τὸ ἐν τῷ σώματι φαλακρόν, καθολικαὶ δὲ ὡς ἵνα εἴπῃς τὸ ἐν τῷ ἀνθρώπῳ λογικὸν καὶ ἐν ἀγγέλῳ. καὶ περὶ μὲν
30 τῶν μεριχῶν οὐδεὶς λόγος τοῖς φιλοσόφοις, περὶ δὲ τῶν καθολικῶν. ὁρίζεται

---

1 φασὶ] ἐστι T τὸν] τὸ K δυνάμενον Paris. 2089: δυνάμει KTV
2 ἢ om. V 4 προχείρισιν T δυνάμει τὸ δεύτ. colloc. T ante πρῶτον add. τὸ V 5 φασὶ T 7 εἰσι (alt. l.) TV συμφωνὴν V¹: συμφωνεῖν V² ἀριστοτέλην ἀνάγκη καὶ πλάτωνα V 8 alt. δὲ om. V 10 τῷ γραμ. καὶ τῷ ἐνεργ. V γε Paris. 2089: δὲ KTV 11 ὁ Ἀριστοτ.] cf. Phys. Θ 4 p. 255ª34 sq. ὁ .. ἔχων] Paris. 2089: τὸ .. ἔχον KTV 12 ἄλλο V τὸν ἐν ἕξει γραμμ. καὶ ἄλλον τὸν ἐνεργ. Paris. 2089: τὸν ἐξηγούμενον γραμμ. καὶ τὸν (ἐν pro τὸν V) ἕξει ἐνεργ. KTV
14 τὸ (ante δυνάμει) om. KT 15 ἐπειδὴ V ἓν δὲ om. V 16 ἐνεργείᾳ] potius δυνάμει ἰστέον—μένει (18) eicias 19 πρᾶξις κη' KV: om. T (cf. p. 190,16)
20 ὁρισόμενος K: ὁρισάμενος V 22 δὲ Paris 2089: γὰρ KTV 25 τὸ (post γὰρ) om. T 28 τὸ ἐν τῷ σώματι—εἴπῃς (29) Paris. 2089: om. KTV σώματι] an Σωκράτει? 29 τῷ (ante ἀνθρ.) om. V ἀγγέλῳ Par. 2089: ἑκάστῳ KTV

Digitized by Google

τοίνυν ὁ Πορφύριος οὐ τὴν μερικὴν διαφοράν, ἀλλὰ τὴν καθόλου. ἐπειδὴ οὖν καθολική ἐστι, κατὰ πλειόνων κατηγορεῖται· ἀμέλει οὐδ' ὡς διαφορὰ λαμβάνεται κατὰ πλειόνων, ἀλλ' ὡς καθόλου, ἐπεὶ εἰ ὡς διαφορὰ κατὰ πλειόνων ἐλαμβάνετο, ὀφείλει καὶ ἑκάστη διαφορὰ κατὰ πλειόνων λαμβάνε-
5 σθαι. εἰ δὲ οὐ λαμβάνεται (ἡ γὰρ μερικὴ μόνον Σωκράτους ἐστί), σαφὲς ὅτι οὐ τῆς διαφορᾶς ἐστι τὸ κατὰ πλειόνων κατηγορεῖσθαι, ἀλλὰ τὸ καθόλου ἐστὶ τὸ αἴτιον. ἔτι πάλιν τοῦ ὁρισμοῦ ἐπιλαμβάνονται καί φασιν ὅτι κακῶς εἶπε τὸ κατὰ πλειόνων καὶ διαφερόντων τῷ εἴδει· κατηγορεῖται γὰρ οὐ μόνον διαφερόντων τῷ εἴδει, ἀλλὰ καὶ τῷ ἀριθμῷ· τὸ γὰρ νοῦ καὶ ἐπι-
10 στήμης δεκτικὸν οὐκ ἔστι πλειόνων διαφερόντων τῷ εἴδει ἀλλὰ τῷ ἀριθμῷ· ἀνθρώπων γάρ ἐστι μόνων· οἱ ἄνθρωποι δὲ οὐ τῷ εἴδει διαφέρουσιν, ἀλλὰ τῷ ἀριθμῷ· οὔτε γὰρ τῆς ὑπερτέρας οὐσίας ἐστὶ τὸ νοῦ καὶ ἐπιστήμης δεκτικὸν διὰ τὸ μὴ δέεσθαι οὔτε τῆς χείρονος διὰ τὸ μὴ δύνασθαι. καλῶς δὲ οὗτοι λέγουσιν, ἀλλ' εὑρίσκεται ἐν πολλοῖς τῶν βιβλίων καὶ ὁ καί σύν-
15 δεσμος· τὸ κατὰ πλειόνων καὶ διαφερόντων καὶ τῷ εἴδει, ὥστε οὖν συνυπακούεται τῷ ἀριθμῷ.

Ἔλθωμεν δὲ ἐπὶ τὴν ἐξήγησιν τοῦ φιλοσόφου. διὰ δύο ἐπιχειρημάτων δεικνύει ὅτι ἐν τῷ ὁποῖόν τί ἐστι κατηγορεῖται ἡ διαφορά, ὧν τὸ πρῶτόν ἐστι τοιοῦτον· ἡμῶν ἐρωτώντων 'ποῖόν τί ἐστιν;' οὐκ ἀποκρίνεταί τις λέγων
20 ζῷον, ἀλλὰ τοιόνδε ζῷον, λογικὸν ἢ ἄλογον, ὥστε οὖν ἐκ τῆς ἐρωτήσεως ἡ ἀπόκρισις καὶ ἐκ τῆς ἀποκρίσεως ἡ κατηγορία δηλοῦται. τὸ δεύτερον δὲ τοιοῦτον· τὰ πράγματα ἐξ ὕλης καὶ μορφῆς συνίσταται ἢ ἐκ τῶν ἀναλογούντων τῇ ὕλῃ καὶ τῇ μορφῇ· ἀναλογεῖ δὲ τῇ μὲν ὕλῃ τὸ γένος, τῇ δὲ μορφῇ ἡ διαφορά· ὃν γὰρ τρόπον ἐξηπλωμένη ἐστὶν ἡ ὕλη, τοῦτον τὸν τρόπον καὶ
25 τὸ γένος, καὶ ὃν τρόπον προσερχόμεναι αἱ μορφαὶ ἀτομοῦσι τὴν ὕλην καὶ εἰς ἄπειρον ἐξαπλοῦσι, τοῦτον τὸν τρόπον καὶ αἱ διαφοραὶ ἀτομοῦσι τὸ γένος ἐξαπλούμενον. εἰ δὲ ἀναλογεῖ τῇ μορφῇ ἡ διαφορά, ἡ μορφὴ δὲ ποῖόν τί ἐστιν, ὥς φησιν ὁ Ἀριστοτέλης ἐν ταῖς Κατηγορίαις, σαφὲς ὅτι καὶ ἡ διαφορὰ ποῖόν τί ἐστιν.

30 p. 11,7 Ὁρίζονται δὲ αὐτὴν καὶ οὕτως.

Ἐδείξαμεν πλειστάκις ὅτι ποτὲ μὲν ὑπογράφεσθαι λέγει τὰς τοιαύτας φωνάς, ποτὲ δὲ ὁρίζεσθαι, καὶ διά τί ἐγνώκαμεν.

---

3 λαμβάνεται—διαφορὰ om. V εἰ om. T 6 τὸ καθόλου scripsi: τοῦ καθόλου libri 10 οὐκ ἔστι] οὐκέτι T 12 ἐστιν οὐσίας colloc. T 14 καὶ (ante συνδ.) corr. ex ἕκτος V 15 τὸ om. V 17 post δὲ add. καὶ T post δύο add. δὲ T 19 οὐκ om. K τις om. V 22 συνίστανται T 23 ἀναλογεῖ μὲν τῇ ὕλῃ V 24 ante ἐξηπλ. addas οὐκέτι 25 προσερχ. Paris. 1973: προερχ. KTV 26 ante ἐξαπλ. add. αὐτὴν V 27 ἐξαπλούμεναι K²V εἰ] ἡ V τῇ διαφορᾷ ἡ μορφή V 28 ὥς φησιν—ποῖόν τί ἐστιν (29) om. V ὁ Ἀριστ. ἐν ταῖς Κατηγ.] p. 10a11 30 ὁρίζεται V καὶ om. V 31 post ἐδείξαμεν add. δὲ KTV: om. Paris. 2089 (cf. p. 192,14 sq.)

Digitized by Google

γείας. πρῶτον δὲ ἐνεργείᾳ φασὶ τὸν δυνάμενον γραμματικεύεσθαι καθεύδοντα δὲ ἢ ἐξηγεῖσθαι μὴ βουλόμενον, τοῦτ' ἔστι καθ' ἕξιν. δεύτερον δὲ ἐνεργείᾳ φασὶ τὸν γραμματικὸν τὸν ἐξηγούμενον καὶ ἐνεργοῦντα, τοῦτ' ἔστι κατὰ προχείρησιν. σκόπει δὲ ὅτι ταὐτόν ἐστι τὸ δεύτερον δυνάμει καὶ πρῶτον ἐνεργείᾳ· τὸ γὰρ δεύτερον δυνάμει τὸν γραμματικόν φησι τὸν ἕξιν ἔχοντα γραμματικεύεσθαι, μὴ ἐνεργοῦντα δέ. ταὐτὸν δὲ καὶ τὸ πρῶτον ἐνεργείᾳ ἐστίν. εἰ οὖν τὰ αὐτά ἐστι, συμφωνεῖ Ἀριστοτέλης καὶ Πλάτων· ὁ μὲν γὰρ λέγει τὸ ὕστερον δυνάμει ὁ δὲ τὸ πρῶτον ἐνεργείᾳ, εἰς ταὐτὸν δὲ ἄμφω συνάγονται. τινὲς δὲ καλῶς ἐναντιούμενοί φασιν ὅτι ταὐτόν ἐστι τὸ ἐν ἕξει ἔχειν τὸ γραμματικεύεσθαι καὶ τὸ ἐνεργεῖν τὸν γραμματικόν, εἴ γε καὶ ἐν πολλοῖς τὸ αὐτὸ δεικνύει ὁ Ἀριστοτέλης λέγων ὅτι ὁ ἐν ἕξει ἔχων καὶ ἀμέσως ἐνεργεῖ· οὔτε γὰρ ἄλλον λαμβάνω τὸν ἐν ἕξει γραμματικὸν καὶ ἄλλον τὸν ἐνεργοῦντα· ὁ αὐτὸς γάρ ἐστιν. εἰ οὖν ταῦτα οὕτως ἔχει, ἄλλο μέν ἐστι τὸ ἐνεργείᾳ καὶ ἄλλο τὸ δυνάμει. δυνάμει δὲ ὁ Ἀριστοτέλης φησὶ τὸ μὴ ἐν ἕξει ὑπάρχον, ἐπεὶ εὐθέως ἐνεργήσει, ἓν δὲ ὁ Πλάτων τὸ ἐν ἕξει καὶ ἐνεργείᾳ. ἰστέον δὲ ὅτι τὸ δυνάμει ἐν ἕξει γινόμενον οὐ τὸ αὐτὸ μένει· τὸ γὰρ παιδίον δυνάμει ὂν γραμματικόν, ὅταν ἐν ἕξει λάβῃ τὸ γραμματικεύεσθαι, οὐ τὸ αὐτὸ μένει.

Πρᾶξις κθ'.

Πάρεστιν ὁ Πορφύριος ἑτέρως ἡμῖν ὁριζόμενος τὴν διαφοράν· φησὶ γὰρ διαφορά ἐστι τὸ κατὰ πλειόνων καὶ διαφερόντων τῷ εἴδει ἐν τῷ ὁποῖόν τί ἐστι κατηγορούμενον. ἐπειδὴ δὲ περὶ τοῦ ὁποῖόν τί ἐστι μόνον διδάσκει τὰ ἄλλα ὡς ἐγνωσμένα καταλείψας, φέρε συνήθως τὰ ἐν τοῖς καταλειφθεῖσιν ἀπορούμενα ἐπιλυσώμεθα· τινὲς γάρ φασιν ὅτι κακῶς εἶπε τὸ κατὰ πλειόνων· εἰ γὰρ τὸ κατὰ πλειόνων φερόμενον κοινωνίαν δηλοῖ, οὐχὶ διαφοράν, ὁμολογουμένως κακῶς ἔχει ὁ ὁρισμός. ἔστι δὲ πρὸς τοῦτο οὕτως ἀπολογήσασθαι· τῶν δια|φορῶν αἱ μὲν μεριχαί εἰσιν αἱ 207r δὲ καθολικαί, καὶ μεριχαὶ μὲν ὡς ἵνα εἴπῃς τὸ ἐν τῷ σώματι φαλακρόν, καθολικαὶ δὲ ὡς ἵνα εἴπῃς τὸ ἐν τῷ ἀνθρώπῳ λογικὸν καὶ ἐν ἀγγέλῳ. καὶ περὶ μὲν τῶν μεριχῶν οὐδεὶς λόγος τοῖς φιλοσόφοις, περὶ δὲ τῶν καθολικῶν. ὁρίζεται

---

1 φασὶ] ἐστι T τὸν] τὸ K δυνάμενον Paris. 2089: δυνάμει KTV
2 ἢ om. V 4 προχείρισιν T δυνάμει τὸ δεύτ. colloc. T ante πρῶτον add. τὸ V 5 φασὶ T 7 εἰσι (alt. l.) TV συμφωνῆν V¹: συμφωνεῖν V² ἀριστοτέλην ἀνάγκη καὶ πλάτωνα V 8 alt. δὲ om. V 10 τῷ γραμ. καὶ τῷ ἐνεργ. V γε Paris. 2089: δὲ KTV 11 ὁ Ἀριστοτ.] cf. Phys. Θ 4 p. 255a34 sq. ὁ .. ἔχων] Paris. 2089: τὸ .. ἔχον KTV 12 ἄλλο V τὸν ἐν ἕξει γραμμ. καὶ ἄλλον τὸν ἐνεργ. Paris. 2089: τὸν ἐξηγούμενον γραμμ. καὶ τὸν (ἐν pro τὸν V) ἕξει ἐνεργ. KTV
14 τὸ (ante δυνάμει) om. KT 15 ἐπειδὴ V ἓν δὲ om. V 16 ἐνεργείᾳ] potius δυνάμει ἰστέον—μένει (18) eicias 19 πρᾶξις κη' KV: om. T (cf. p. 190,16)
20 ὁρισόμενος K: ὁρισάμενος V 22 δὲ Paris 2089: γὰρ KTV 25 τὸ (post γὰρ) om. T 28 τὸ ἐν τῷ σώματι—εἴπῃς (29) Paris. 2089: om. KTV σώματι] an Σωκράτει? 29 τῷ (ante ἀνθρ.) om. V ἀγγέλω Par. 2089: ἑκάστω KTV

Digitized by Google

τοίνυν ὁ Πορφύριος οὐ τὴν μερικὴν διαφοράν, ἀλλὰ τὴν καθόλου. ἐπειδὴ οὖν καθολική ἐστι, κατὰ πλειόνων κατηγορεῖται· ἀμέλει οὐδ' ὡς διαφορὰ λαμβάνεται κατὰ πλειόνων, ἀλλ' ὡς καθόλου, ἐπεὶ εἰ ὡς διαφορὰ κατὰ πλειόνων ἐλαμβάνετο, ὀφείλει καὶ ἑκάστη διαφορὰ κατὰ πλειόνων λαμβάνε-
5 σθαι. εἰ δὲ οὐ λαμβάνεται (ἡ γὰρ μερικὴ μόνον Σωκράτους ἐστί), σαφὲς ὅτι οὐ τῆς διαφορᾶς ἐστι τὸ κατὰ πλειόνων κατηγορεῖσθαι, ἀλλὰ τὸ καθόλου ἐστὶ τὸ αἴτιον. ἔτι πάλιν τοῦ ὁρισμοῦ ἐπιλαμβάνονται καί φασιν ὅτι κακῶς εἶπε τὸ κατὰ πλειόνων καὶ διαφερόντων τῷ εἴδει· κατηγορεῖται γὰρ οὐ μόνον διαφερόντων τῷ εἴδει, ἀλλὰ καὶ τῷ ἀριθμῷ· τὸ γὰρ νοῦ καὶ ἐπι-
10 στήμης δεκτικὸν οὐκ ἔστι πλειόνων διαφερόντων τῷ εἴδει ἀλλὰ τῷ ἀριθμῷ· ἀνθρώπων γάρ ἐστι μόνων· οἱ ἄνθρωποι δὲ οὐ τῷ εἴδει διαφέρουσιν, ἀλλὰ τῷ ἀριθμῷ· οὔτε γὰρ τῆς ὑπερτέρας οὐσίας ἐστὶ τὸ νοῦ καὶ ἐπιστήμης δεκτικὸν διὰ τὸ μὴ δέεσθαι οὔτε τῆς χείρονος διὰ τὸ μὴ δύνασθαι. καλῶς δὲ οὗτοι λέγουσιν, ἀλλ' εὑρίσκεται ἐν πολλοῖς τῶν βιβλίων καὶ ὁ καί σύν-
15 δεσμος· τὸ κατὰ πλειόνων καὶ διαφερόντων καὶ τῷ εἴδει, ὥστε οὖν συνυπακούεται τῷ ἀριθμῷ.

Ἔλθωμεν δὲ ἐπὶ τὴν ἐξήγησιν τοῦ φιλοσόφου. διὰ δύο ἐπιχειρημάτων δεικνύει ὅτι ἐν τῷ ὁποῖόν τί ἐστι κατηγορεῖται ἡ διαφορά, ὧν τὸ πρῶτόν ἐστι τοιοῦτον· ἡμῶν ἐρωτώντων 'ποῖόν τί ἐστιν;' οὐκ ἀποκρίνεταί τις λέγων
20 ζῷον, ἀλλὰ τοιόνδε ζῷον, λογικὸν ἢ ἄλογον, ὥστε οὖν ἐκ τῆς ἐρωτήσεως ἡ ἀπόκρισις καὶ ἐκ τῆς ἀποκρίσεως ἡ κατηγορία δηλοῦται. τὸ δεύτερον δὲ τοιοῦτον· τὰ πράγματα ἐξ ὕλης καὶ μορφῆς συνίσταται ἢ ἐκ τῶν ἀναλογούντων τῇ ὕλῃ καὶ τῇ μορφῇ· ἀναλογεῖ δὲ τῇ μὲν ὕλῃ τὸ γένος, τῇ δὲ μορφῇ ἡ διαφορά· ὃν γὰρ τρόπον ἐξηπλωμένη ἐστὶν ἡ ὕλη, τοῦτον τὸν τρόπον καὶ
25 τὸ γένος, καὶ ὃν τρόπον προσερχόμεναι αἱ μορφαὶ ἀτομοῦσι τὴν ὕλην καὶ εἰς ἄπειρον ἐξαπλοῦσι, τοῦτον τὸν τρόπον καὶ αἱ διαφοραὶ ἀτομοῦσι τὸ γένος ἐξαπλούμενον. εἰ δὲ ἀναλογεῖ τῇ μορφῇ ἡ διαφορά, ἡ μορφὴ δὲ ποῖόν τί ἐστιν, ὥς φησιν ὁ Ἀριστοτέλης ἐν ταῖς Κατηγορίαις, σαφὲς ὅτι καὶ ἡ διαφορὰ ποῖόν τί ἐστιν.

30 p. 11,7 Ὁρίζονται δὲ αὐτὴν καὶ οὕτως.

Ἐδείξαμεν πλειστάκις ὅτι ποτὲ μὲν ὑπογράφεσθαι λέγει τὰς τοιαύτας φωνάς, ποτὲ δὲ ὁρίζεσθαι, καὶ διὰ τί ἐγνώκαμεν.

---

3 λαμβάνεται—διαφορὰ om. V εἰ om. T 6 τὸ καθόλου scripsi: τοῦ καθόλου libri 10 οὐκ ἔστι] οὐκέτι T 12 ἐστιν οὐσίας colloc. T 14 καὶ (ante συνδ.) corr. ex ἕκτος V 15 τὸ om. V 17 post δὲ add. καὶ T post δύο add. δὲ T 19 οὐκ om. K τις om. V 22 συνίστανται T 23 ἀναλογεῖ μὲν τῇ ὕλῃ V 24 ante ἐξηπλ. addas οὐκέτι 25 προσερχ. Paris. 1973: προερχ. KTV 26 ante ἐξαπλ. add. αὐτὴν V 27 ἐξαπλούμεναι K²V εἰ] ἡ V τῇ διαφορᾷ ἡ μορφή V 28 ὥς φησιν—ποῖόν τί ἐστιν (29) om. V ὁ Ἀριστ. ἐν ταῖς Κατηγ.] p. 10 n 11 30 ὁρίζεται V καὶ om. V 31 post ἐδείξαμεν add. δὲ KTV: om. Paris. 2089 (cf. p. 192,14 sq.)

Digitized by Google

p. 11,13 Ἢ ἀνάλογόν γε ὕλῃ καὶ εἴδει τὴν σύστασιν ἐχόντων. |

Εἴδει λέγει τῇ μορφῇ. ἀναλογεῖ δὲ τούτοις δύο, τῇ μὲν ὕλῃ τὸ 207v γένος, τῷ δὲ εἴδει ἡ διαφορά.

p. 11,14 Εἴδους δὲ τοῦ σχήματος.

Καλῶς εἶπε· τὸ γὰρ σχῆμα ἐκ τῆς μορφῆς γίνεται· ἀμέλει ἐκτὸς τῆς μορφῆς χαλκὸς μόνον εὑρίσκεται.

p. 11,14 Οὕτω καὶ ὁ ἄνθρωπος ὁ κοινός τε καὶ εἰδικός.

Αἰνίττεται ὧδε τὰς διττὰς διαφοράς, φημὶ δὲ τὰς μερικὰς καὶ καθολικάς· ὁ γὰρ κοινὸς ἄνθρωπος δηλοῖ τὴν καθολικήν (ὁ γὰρ καθόλου τὸ λογικὸν ἔχει καὶ τὸ ζῷον, ἅπερ εἰς πολλοὺς συντείνει), ὁ δὲ εἰδικὸς ἔχει καὶ τὴν μερικήν, οἷον Σωκράτης τὸ προκείλιον.

p. 11,16 Τὸ δὲ ὅλον τοῦτο, ζῷον λογικὸν θνητόν, ὁ ἄνθρωπος, ὡς ἐκεῖ ὁ ἀνδριάς.

Φησὶν ὅτι τὸ συνίστασθαι ἐκ γένους καὶ διαφορῶν δηλοῖ τὸν ἄνθρωπον, ὡς ἡ ὕλη καὶ ἡ μορφὴ τὸν ἀνδριάντα.

Πρᾶξις λ'.

Πάρεστιν ὁ Πορφύριος ὁμοίως ἀποδώσων τὴν διαφορὰν καί φησιν ὅτι διαφορά ἐστι τὸ χωρίζειν πεφυκὸς τὰ ὑπὸ τὸ αὐτὸ γένος, προστίθησι δὲ τὸ οὐσιωδῶς. καλῶς ἔχει ὁ ὁρισμός· δηλοῖ γὰρ ὅτι ἡ διαφορὰ τὰ ὑπὸ τὸ αὐτὸ γένος χωρίζει, τὸ θνητὸν τοῦ ἀθανάτου, τὸ λογικὸν τοῦ ἀλόγου. ἄλλως δὲ ἀποδίδωσιν αὐτὴν διαφορά ἐστιν ᾧ διαφέρει ἕκαστα. ζητοῦσι δέ τινες διὰ τί μόνην τὴν διαφορὰν τετραχῶς ἀποδέδωκεν. ἔστι δὲ ἐπι-

---

1 εἴδει καὶ ὕλη colloc. K ἐχόντων] ἔχον T: ἔχοντα V post ἐχόντων add. ὥσπερ ὁ ἀνδριὰς ἐξ ὕλης μὲν τοῦ χαλκοῦ ὕλης (sic) δὲ τοῦ σχήματος K 2 εἴδει] ἤδη T τῇ μορφῇ] τὴν μορφήν TV ἀναλογεῖ] ἀναλογεῖν TV τῇ μὲν ὕλῃ — σχήματος (4) om. KT 4 εἴδους Paris. 2089: εἶδος V 5 ἐκτὸς] ἐκ KT 6 μόνον Paris 2089: μόνος KTV 7 κοινός τε καὶ ἰδικός (sic) V: κοινόν τε καὶ ἴδιον K: κοινός τε καὶ ἴδιος T 8 ante καθ. add. τὰς V 10 εἰδικὸς] ἰδικὸς V: ἴδιος KT alt. καὶ om. K 11 ὁ σωκρ. T 12 ὁ om. V 13 ἐκεῖ Paris. 2089: ἔχει KTV 14 τὸ] τοῦ V συστατικῶν διαφορῶν T 15 ἡ (ante μορφὴ) om. TV 16 πρᾶξις κθ' KV: om. T (cf. p. 194,19) 17 καί φησιν] p. 11,18 18 τὰ] τὸ T 18. 19 post προστίθησι δὲ τὸ οὐσιῶδες lacunam statuas; δεῖ προσθεῖναι τὸ οὐσιῶδες Urb. 35: δεῖ δὲ προσθεῖναι τὸ κατ' οὐσίαν Elias, conferas p. 197, 11. 20 199,8 19 δηλοῖ] δηλῶν T: δῆλον V 20 ἄλλως] ὡς V 21 ἀποδίδ. αὐτήν] p. 11,21 ᾧ] ὅτῳ Porph. 22 pr. δέ om. K τετραχῶς] τριχῶς T

Digitized by Google

λύσασθαι οὕτω τὸ ζητούμενον· οὐδεὶς τῶν ὁρισμῶν ἀδολεσχίας εὐθύνας δίδωσι· πάντες γὰρ ἀναγκαίως παρεδόθησαν· ὁ μὲν γὰρ πρῶτος περιέχει τὰς διαιρετικὰς καὶ συστατικάς, εἴ γε λέγει περισσεύειν τὸ εἶδος τοῦ γένους, καὶ ἐν μὲν τῷ δηλοῦν εἶναι ἐν τῷ γένει διαφορὰς τὰς διαιρετικὰς σημαίνει (αἱ γὰρ ἐν τῷ γένει διαφοραὶ διαιρετικαί εἰσιν), ἐν δὲ τῷ δηλοῦν εἶναι ἐν τῷ εἴδει διαφορὰς τὰς συστατικὰς σημαίνει· αἱ γὰρ συστατικαὶ εἰδῶν εἰσι. διεμερίσαντο δὲ τὸν πρῶτον ὅ τε δεύτερος καὶ ὁ τρίτος. καὶ ὁ μὲν δεύτερος τὰς συστατικὰς δηλοῖ· ἐν γὰρ τῷ λέγειν τὸ κατὰ πλειόνων καὶ διαφερόντων τῷ εἴδει δηλοῖ τὰς συστατικάς· αἱ γὰρ ἐν τοῖς εἴδεσι κατηγορούμεναι διαφοραὶ συστατικαί εἰσιν. ὁ δὲ τρίτος τὰς διαιρετικάς· φησὶ γὰρ διαφορά ἐστι τὸ χωρίζειν πεφυκὸς τὰ ὑπὸ τὸ αὐτὸ γένος οὐσιωδῶς. σαφὲς δὲ ὑπάρχει ὡς τὸ διαχωρίζον διαιρεῖ. ὁ τέταρτος δὲ τὴν ἁπλῶς διαφορὰν δηλοῖ. καὶ μὴ νόμιζε ὅτι κἂν ὕστερον παρεδόθη καὶ ἐκ τοῦ ὀνόματος εἴληφε τὴν σύστασιν, ἐλάχιστός ἐστι τῶν προειρημένων· κρείττων γάρ ἐστι τῶν ἄλλων τριῶν, ὡς καὶ αὐτῷ φαίνεται τῷ Πορφυρίῳ· οὔτε γὰρ δέχεται τὸν πρῶτον ὁρισμόν, εἴ γε τοῦτο δηλοῖ λέγων ὡς λέγουσι, καὶ τὸν δεύτερον κακῶς ἔχειν ἐδείξαμεν, κἂν τὸν καί ἀπολάβῃ σύνδεσμον· ποτὲ γὰρ σημαίνει τῷ ἀριθμῷ διαφερόντων κατηγορεῖσθαι τὴν διαφορὰν καὶ ποτὲ τῷ εἴδει. τὸ δὲ ἔχειν ὁρισμὸν ποτὲ μὲν τοῦτο ποτὲ δὲ | ἐκεῖνο κακίαν σημαίνει. ὁ τρίτος 208r δὲ ἐλλιπὴς ὑπάρχει· εἴπομεν γὰρ ὅτι προσθεῖναι τούτῳ τὸ οὐσιωδῶς χρή. ὁ τέταρτος δὲ τί ποτε τῶν τοιούτων; οὐκ ἔχει, ἀλλὰ πᾶσαν διαφορὰν δηλοῖ.

Εἰρηκότες οὖν τὰ οἰκεῖα τῶν τεσσάρων ὁρισμῶν, φέρε ἐπὶ ἑτέραν ζήτησιν χωρήσωμεν· ζητεῖται γὰρ διὰ τί προσέθηκε τῷ τρίτῳ ὁρισμῷ τὸ οὐσιωδῶς. αὐτὸς δὲ ὁ Πορφύριός φησιν ὅτι τὸ οὐσιωδῶς δεῖ προστεθῆναι, ἵνα τὰς οὐσιώδεις δηλώσωμεν, ἐπεὶ καὶ αἱ συμβεβηκυῖαι διαχωρίζουσι τὰ ὑπὸ τὸ αὐτὸ γένος· τὸ γὰρ πλεῖν διαχωρίζει τὸν ἄνθρωπον ἀπὸ τῶν ἄλλων ζῴων καὶ τὸ γελαστικὸν καὶ τὸ πλατυώνυχον. ταῦτα δὲ ἐπὶ τοῦ ἀνθρώπου λέγονται. ἐντεῦθεν δὲ δύο ἀπορίαι ἡμῖν ἀναφύονται ἤτοι ζητήσεις, ὧν ἡ πρώτη ἐστὶ τοιαύτη· ζητοῦσι πῶς μόνῳ τῷ ἀνθρώπῳ ὑπάρχει τὸ πλεῖν· ὁρῶμεν γάρ φασι καὶ ἄλλα ζῷα νήχεσθαι ἐπιστάμενα. πρὸς τοῦτο δὲ ἡμεῖς λέγομεν οὕτως· οὐ λέγει ὁ Πορφύριος τὸ πλεῖν τὸ νήχεσθαι, ἀλλὰ τὸ τεκταίνεσθαι· τὸ τεκταίνεσθαι δὲ μόνῳ τῷ ἀνθρώπῳ ὑπάρχει. ἐντεῦθεν δὲ δριμυτέρα ἀπορία ἡμᾶς διαδέχεται· φασὶ γὰρ ὅτι εἰ τὸ τεκταίνεσθαι

---

1 ἀδολεσχία TV 3 τὰς συστατικὰς καὶ διαιρετικὰ (sic) V 5 αἱ γὰρ—διαιρετικαί εἰσιν om. KT 8 λέγειν τὸ om. V 9 ἐν om. K εἴδεσι om. T 11 τὰ] τὸ TV ὑπ' αὐτὸ τὸ T 14 ἐλάχιστος V¹: ἐλαχίστη KTV² 15 καὶ αὐτῷ] καὐτῶ K 16 ὡς λέγουσι] potius φασίν (p. 10,22) 17 ἐδείξ.] p. 195,7 ἀπολάβῃς V τῷ] τὸ T 18 καὶ ποτὲ] ποτὲ δὲ T 20 εἴπομεν] cf. p. 196,18 δεῖ προθεῖναι (χρή om.) V τούτῳ om. V τὸ om. K οὐσιῶδες T 22 οὖν] δὲ KT 23 προσέθηκε] cf. p. 199,8 τὸ om. KT 24 φησιν] φήσας ἦν V τὸ Paris. 2089: om. KTV προστιθέναι V 25 τὰ] τὸ libri 26 τὸ (ante αὐτὸ) om. K 27 alt. τὸ om. K πλατυόνυχον T 28 δὲ om. K ἡ om. V 29 ζητοῦσι Paris. 2089: ζητοῦμεν KTV μόνω τῶ ἀνθρώπω Paris. 2089: μόνου τοῦ ἀνθρώπου KTV ὑπάρξει V 30 φησι KT 31 τὸ (ante πλεῖν) om. K 32 τὸ (alt.) Paris. 2089: om. KTV 33 εἰ superscr. K τεκταίνειν V

Digitized by Google

λέγετε φάσκειν αὐτὸν τὸ πλεῖν, ἔσται ἐντεῦθεν ἕτερον ἄπορον, διὰ τί τὸ τεκταίνεσθαι συμβεβηκὸς λέγει καὶ οὐκ οὐσιῶδες· ὅτι γὰρ τὸ τεκταίνεσθαι οὐσία τοῦ ἀνθρώπου ὑπάρχει, σαφὲς ἐκ τοῦ ὁρισμοῦ τοῦ ἀνθρώπου 'ζῷον λογικὸν θνητὸν νοῦ καὶ ἐπιστήμης δεκτικόν'. τὸ δὲ δύνασθαι τεκταίνεσθαι μέρος ἐστὶ
5 τοῦ δεκτικοῦ ⟨τῆς ἐπιστήμης⟩ (πάντες γὰρ οἱ ἄνθρωποι δεκτικοί εἰσι τοῦ τεκταίνεσθαι)· εἰ δὲ μέρος τοῦ δεκτικοῦ τῆς ἐπιστήμης ἐστὶ τὸ τεκταίνεσθαι, σαφὲς ὅτι οὐσία ἐστί· τὰ γὰρ μέρη τῶν οὐσιῶν οὐσίαι εἰσίν, ὥς φησιν ὁ Ἀριστοτέλης ἐν ταῖς Κατηγορίαις. πῶς οὖν τὸ πλεῖν συμβεβηκὸς λέγει ὁ Πορφύριος; ἔστι δὲ ἀπολογήσασθαι ὑπὲρ τούτου οὕτως· ἔστι τι πρῶτον καὶ δεύτερον,
10 πρῶτον μὲν ὁ ἄνθρωπος, δεύτερον δὲ ὁ τοιοῦτος ἄνθρωπος, γραμματικὸς ἢ κολοβὸς ἢ μακρός. ἔστι δέ τι καὶ καθ' ἑαυτὸ καὶ συμβεβηκός· καθ' ἑαυτὸ μὲν τὸ ζῷον, συμβεβηκὸς δέ τὸ λευκὸν τὸ γελαστικόν. εἰ οὖν ταῦτα οὕτως ἔχει, ὁ ἄνθρωπος δὲ πρῶτός ἐστι τὸ γραμματικεύεσθαι δὲ δεύτερον, ὁ Πορφύριος προσέχων τῷ δευτέρῳ | τὰ τοιαῦτα λέγει ἐπουσιώδη, ὥσπερ 208v
15 τὰ δευτερεύοντα τοῦ ζῴου ἐπουσιώδη εἰσίν. ἰστέον δὲ ὡς οὐχ ὁ ὁρισμὸς οὗτος δηλοῖ τὰς ἀνομοιογενεῖς ἀλλὰ τὰς ὁμοιογενεῖς· ἐν γὰρ τῷ λέγειν ὑπὸ τὸ αὐτὸ γένος τοῦτο δηλοῖ. ὥστε οὖν τὰς ὑπὸ τὴν οὐσίαν καὶ ποιότητα οὐ δηλοῖ· ἀνομοιογενεῖς γάρ εἰσιν αἱ τοιαῦται διαφοραί.

Δύο δέ τινα ἀπορήσαντες ἐπ' αὐτὰ καταπαύσωμεν τὸν λόγον. πρῶτον
20 εἰ τὰ συνωνυμοῦντα μεταδίδωσιν ὀνόματος καὶ πράγματος, πάντως δὲ λέγουσι συνωνύμως κατηγορεῖσθαι τὰς διαφορὰς τῶν εἰδῶν, τί δήποτε οὐ μεταδιδόασιν αἱ διαφοραὶ τοῖς εἴδεσιν ὀνόματος καὶ πράγματος, ἀλλὰ μόνου πράγματος; οὔτε γὰρ τὴν λογικότητα λογικόν φαμεν οὔτε τὴν θνητότητα θνητόν. τὸ δὲ μεταδιδόναι πράγματος ὁμολογεῖται. ἔστι δὲ πρὸς ταῦτα
25 οὕτως εἰπεῖν· τὰ συνωνυμοῦντα διττά ἐστι· τὰ μὲν γὰρ μεταδίδωσιν ὀνόματος καὶ πράγματος, ὥσπερ τὸ ζῷον τῷ ἀνθρώπῳ, τὰ δὲ μόνου τοῦ πράγματος, ὥσπερ αἱ διαφοραί. ἔχομεν δὲ ἐντεῦθεν προσπορίσματος μοῖραν, ὅτι ἄλλο μέν ἐστι διαφορὰ καὶ ἄλλο εἶδος· εἰ γὰρ τὸ χωρίζον ἄλλο τοῦ χωριζομένου καθέστηκε, διαχωρίζει δὲ ἡ διαφορὰ τὰ εἴδη, ὁμολογουμένως
30 ἄλλο ἐστὶ διαφορὰ καὶ ἄλλο εἶδος. ἐπαποροῦσι δὲ διὰ τί τὸ εἶδος μᾶλλον συνῳκείωται τῷ γένει ἤπερ τῇ διαφορᾷ, καίτοι ὤφειλε πρὸς τὴν διαφορὰν ἔχειν πολλὴν οἰκειότητα γειτνιάζον αὐτῇ· ἐν μέσῳ γὰρ τοῦ γένους καὶ τοῦ εἴδους ἵδρυται. ἔστι δὲ εἰπεῖν ὅτι δικαίως πρὸς τὸ γένος ἔχει τὴν σχέσιν

---

1 λέγεται V 2 οὐκ om. V 5 πάντες—τεκτ. om. KT τῆς ἐπιστ. inserui 6 post μέρος add. ἐστὶ K ante σαφὲς add. εἰ δὲ τῆς ἐπιστήμης KT 7 ἐστί om. V οὐσίαι] οὐσία K εἰσίν in ras. K ὁ om. V 8 ἐν ταῖς Κατ.] p. 3a29 11 ἢ μακρὸς ἢ κολοβός colloc. T καὶ (post τι) om. V 11. 12 ante συμβ. bis superscr. κατὰ K 13 πρῶτος—δεύτερον] πρῶτος οὗ ἐστι τὸ γραμματικεύεσθαι, ὅπερ δεύτερον K τὸ δὲ γραμ. colloc. T 14 προσέχων ὁ πορφ. colloc. V 15 οὐχ ὡς ὁρισμὸς (ὁ om.) V 17 ὥστε—δηλοῖ (18) om. V τὰς] τὰ K 19 δέ om. V καταπαύσομεν V 21. 22 μεταδίδωσιν TV 23 τοῦ πράγματος T 25 μεταδίδ.] δίδωσιν V 26 μόνον V 28 εἰ γὰρ—εἶδος (30) om. V 28. 29 καθέστ. τοῦ χωρ. colloc. T 30 δὲ om. K 31 τῇ διαφορᾷ Paris. 2089: ἡ διαφορὰ KTV ὤφελε V 32 οἰκειότητα γειτν.] οἰκειάζον V τοῦ (ante εἴδους) om. V

Digitized by Google

ἢ πρὸς τὴν διαφορὰν ἐκ τῶν τοιούτων ἐπιχειρημάτων· εἰ τὰ μεταδιδόντα ὀνόματος καὶ πράγματος πλείω ἔχει τὴν σχέσιν τῶν μόνου τοῦ πράγματος μεταδιδόντων, τὸ δὲ γένος τοῖς εἴδεσι μεταδίδωσιν ὀνόματος καὶ πράγματος, ἡ δὲ διαφορὰ μόνου πράγματος, δεόντως ἄρα τὰ εἴδη πρὸς τὰ γένη ἔχει τὴν σχέσιν ἥπερ πρὸς τὰς διαφοράς.

p. 11,18 Ὑπογράφουσι δὲ τὰς τοιαύτας διαφορὰς καὶ οὕτως· διαφορά ἐστι τὸ χωρίζειν πεφυκὸς τὰ ὑπὸ τὸ αὐτὸ γένος.

Τὸ ἐλλεῖπον τούτῳ τῷ ὁρισμῷ, λέγω δὲ τὸ οὐσιωδῶς, μετὰ τὴν ἀπόδοσιν τοῦ ἑξῆς ὁρισμοῦ ἀποδίδοται.

p. 12,1 Οἱ προσεργαζόμενοι δὲ τὰ περὶ τῆς διαφορᾶς μὴ τὸ τυχόν φασι τῶν χωριζόντων τὰ ὑπὸ τὸ αὐτὸ γένος εἶναι διαφοράν.

Ἡ σύνταξις τοιαύτη ἐστίν, ὁ δὲ νοῦς τοιοῦτος· φασὶ 'μὴ τὴν τυχοῦσαν διαφορὰν ἐπὶ τῶν χωριζόντων τὰ ὑπὸ τὸ αὐτὸ γένος λέγετε· δεῖ γὰρ λέγειν τὸ οὐσιωδῶς'. τοῦτο δὲ δηλοῖ διὰ τῶν ἑξῆς.

p. 12,3 Ἀλλ' ὅπερ εἰς τὸ εἶναι συμβάλλεται.

Ἀντὶ τοῦ οὐσιωδῶς.

p. 12,3 Τοῦ τί ἦν εἶναι.

Πρόσρημά ἐστιν Ἀριστοτελικὸν ἐπὶ τῶν οὐσιωδῶς λεγόμενον.

p. 12,4 Ὃ καὶ τοῦ πράγματός ἐστι μέρος καὶ εἰς ὁρισμοὺς συμβάλλεται. |

Καλῶς λέγει· τὸ γὰρ λογικὸν μέρος ἐστὶ τοῦ ἀνθρώπου, συμβάλλεται 209r δὲ καὶ τῷ ὁρισμῷ τοῦ ἀνθρώπου.

p. 12,4 Οὐ γὰρ τὸ πεφυκέναι πλεῖν διαφορὰ ἀνθρώπου, εἰ καὶ ἴδιον ἀνθρώπου.

Φησὶν ὅτι δεῖ προσθεῖναι τὸ οὐσιωδῶς· εἰ μὴ γὰρ προσθήσομεν τὸ οὐσιωδῶς, συμπεριλαμβάνομεν καὶ τὸ ἴδιον· τὸ γὰρ ἴδιον τοῦ ἀνθρώπου

---

2 πλεῖον V 4 τὰ γένη πρὸς τὰ εἴδη K 7 τὰ] τὸ TV 10 ὁ προσεργαζόμενος V: προσεξεργαζόμενοι (οἱ om.) Porph. τῆς om. KT 11 τὴν διαφ. Porph. 13 ante χωρ. add. μὴ V λέγετε· δεῖ γὰρ] λέγεσθαι· δεῖ γὰρ T: λέγεται δὲ δεῖ V 17 τοῦ τί] καὶ τὸ τί (καὶ τὸ in ras.) K: τουτὶ TV 18 ἐστιν] εἶναι V λεγόμενον Paris. 2089: λεγομένων KTV 19 ὃ καὶ om. Porph. καὶ εἰς ὁρ. συμβ. om. Porph. 22 καὶ om. K 23 διαφορά ἐστι τοῦ ἀνθρ. K 25 προσθῆναι T εἰ μὴ—οὐσιωδῶς (26) in marg. suppl. K 26 καὶ om. K

Digitized by Google

διαχωρίζει αὐτὸν ἀπὸ τῶν ἄλλων· εἰ γὰρ εἴπῃς τὸν ἄνθρωπον τὸ πεφυκὸς γραμματικεύεσθαι, διαχωρίζεις αὐτὸν ἀπὸ τῶν ἄλλων ζῴων, κἂν εἴπῃς τὸν ἵππον τὸ πεφυκὸς χρεμετίζειν, διαχωρίζεις αὐτὸν ἀπὸ τῶν ἄλλων ζῴων. τὰ τοιαῦτα δ' οὐκ ἔστι συμπληρωτικὰ τῶν τοιούτων εἰδῶν. εἰρήκαμεν δὲ ἐν τῇ θεωρίᾳ περὶ τοῦ πλεῖν, ὡς ἐπουσιωδῶς αὐτὸ λαμβάνει.

p. 12,9 Καὶ ὅσαι ἐν τῷ τι ἦν εἶναι παραλαμβάνονται.

Ἀντὶ τοῦ οὐσιωδῶς.

Πρᾶξις λα'.

Περὶ ἰδίου.

Αἱ ἀθρόαι μεταβολαὶ οὐ μόνον ἐν πράγμασιν ἀλλὰ καὶ ἐν ταῖς φωναῖς ὀφάλλειν γινώσκουσαι τὸν Πορφύριον ἐπὶ τὰ συμβεβηκότα χωρεῖν ἀπέτρεψαν· τὰ γὰρ συμβεβηκότα ἐπουσιώδη ὑπάρχοντα ἀθρόως ἀπὸ τῶν οὐσιωδῶν πρόσφατον τὴν διδασκαλίαν οὐκ ἠδύναντο δέξασθαι. εὐλόγως ἄρα ἐπὶ τὸ ἴδιον ἐχώρησεν, ἐπεὶ ὅσον γε ἐν τοῖς ἐπουσιώδεσιν οὐσιῶδες ὑπάρχει. καὶ αὕτη μὲν ἡ πρώτη αἰτία τοῦ μετὰ τὴν διαφορὰν ἐπὶ τὸ ἴδιον χωρεῖν τὸν Πορφύριον. δευτέρα δὲ ἡ τοιαύτη· τὸ ἴδιον ἐν μέσῳ τῆς διαφορᾶς καὶ τοῦ συμβεβηκότος ἵδρυται· ἔστι γὰρ ὅτε οὐσιωδῶς λαμβάνεται, ἔστι δὲ ὅτε καὶ ἐπουσιωδῶς· οὐσιωδῶς μέν, ὡς ἵνα εἴπῃς τὸ νοῦ καὶ ἐπιστήμης δεκτικὸν ἴδιον ὑπάρχειν τοῦ ἀνθρώπου (ἴδιον γὰρ τοῦ ἀνθρώπου ἐστί, καθὸ οὔτε τῆς ὑπερτέρας οὐσίας ἐστὶ διὰ τὸ μὴ δέεσθαι οὔτε τῆς χείρονος διὰ τὸ μὴ δύνασθαι), ἐπουσιωδῶς δὲ λαμβάνεται, ὡς ἵνα εἴπῃς τὸ γελαστικὸν εἶναι ἴδιον ἀνθρώπου· τοῦτο γὰρ ἐπισυμβεβηκός ἐστιν. εἰ οὖν ταῦτα οὕτως ἔχει, ὁμολογουμένως ὀφείλει τὸ ἴδιον τοῦ συμβεβηκότος προτάσσεσθαι. τρίτη δὲ αἰτία ἐστὶ τοιαύτη· τὸ ἴδιον ὀφείλει καὶ τῶν πέντε φωνῶν προτάσσεσθαι· εἰ γὰρ δι' ὑπογραφῶν διδάσκεται τὸ γένος καὶ τὸ εἶδος, ἡ δὲ ὑπογραφὴ ἰδιόν ἐστιν ἀντιστρέφον, ὁμολογουμένως ὤφειλε περὶ τῶν ἰδίων τοῦ γένους

---

1 διαχωρίζει αὐτὸν] δυνάμει διαχωρίζει αὐτὸν K: χωρίζει αὐτὸν δυνάμει T: δυνάμει χωρίζει αὐτὸν V ἀπὸ τῶν ἄλλων K: ἀπὸ τοῦ ἵππου, καὶ τὸ ἴδιον τοῦ ἵππου δυνάμει χωρίζει αὐτὸν ἀπὸ τοῦ ἀνθρώπου T: ἀπὸ τοῦ ἀλόγου V εἴποις T 2 διαχωρ.] χωρίζεις V κἂν—ζῴων (3) om. V 3 χρεμετίζειν T ἀπὸ om. T 4 εἰρήκ.] p. 197,29 8 πρᾶξις λ' K: om. TV (cf. p. 196,16) 9 Περὶ ἰδίου om. K 10 ταῖς om. V 11 ἐπέτρεψαν K 13 δέξασθαι ante τὴν διδασκ. colloc. T: post τὴν διδασκ. V ἐδύναντο V ἄρα] γὰρ V 14 οὐσιῶδες] καὶ οὐσιώδεσιν V 15 χωρεῖν—ἴδιον (16)] ἐπουσιῶδες ὑπάρχει V 16 ἡ τοιαύτη] αὕτη T τὸ ἴδιον om. T 17 λαμβάνεται—ἐπουσ. (18) om. V καὶ om. T 19 ὑπάρχει KT τῷ ἀνθρώπῳ (pr. l.) V 21 δύνασθαι] δέεσθαι K (cf. p. 195,13) 22 τοῦ ἀνθρ. T οὕτως] αὐτοῦ V 23 τοῦ συμβ. ὀφείλει τὸ ἰδ. colloc. V 24 πρὸ τῶν π. φ. προτάσσ. T: πρὸ τῶν π. φ. τάσσ. V 25 ὑπογραφῆς T ἡ δὲ ὑπογραφὴ scripsi: αἱ δὲ ὑπογραφαὶ libri 26 ὤφειλε] ὤφελον V

Digitized by Google

πρότερον διαλαβεῖν, εἶθ' ὕστερον περὶ τοῦ γένους. ἀλλὰ τοῖς μὲν οὐσιώδεσι παρεχώρησε διὰ τὸ τίμιον τοῖς δὲ ἐπουσιώδεσι τοῖς τὰ ἴσα φέρουσι τοῦ ἰδίου τόπου οὐ παρεχώρησε.

Μαθόντες οὖν περὶ τῆς τάξεως τοῦ ἰδίου, φέρε καὶ ἐπὶ τὴν αὐτοῦ διδασκαλίαν χωρήσωμεν. ἀλλὰ τοῖς διηγορευμένοις κανόσι χρησάμενοι φέρε πρῶτον τὴν ὁμωνυμίαν διαστειλώμεθα καὶ περὶ ποίου σημαινομένου ὁ λόγος ἡμῖν ὑπάρχει λέξωμεν, εἶθ' ὕστερον ἐπὶ τὴν διδασκαλίαν χωρήσωμεν. λέγεται τοίνυν τὸ ἴδιον τετραχῶς· | ἢ γὰρ παντί ἐστι τῷ εἴδει καὶ οὐ μόνῳ 209v ὡς τὸ δίπουν, ἢ μόνῳ καὶ οὐ παντὶ τῷ εἴδει ὡς τὸ φαλακρόν (τῷ γὰρ ἀνθρώπῳ μόνῳ ὑπάρχει τὸ φαλακρόν), ἢ παντὶ καὶ μόνῳ οὐκ ἀεὶ δὲ ὡς τὸ πολιοῦσθαι (μόνῳ γὰρ καὶ παντὶ ἀνθρώπῳ ὑπάρχει τὸ πολιοῦσθαι τοῦ χρόνου συνόντος· τοῦτο δὲ φημι, ὅτι οὐ πάντες πολιοῦνται τοῦ χρόνου μὴ συνόντος εἰς τοῦτο ἐπιτηδείου· διὰ τοῦτο γὰρ καὶ τὸ 'οὐκ ἀεὶ δέ' προσεθήκαμεν), ἢ μόνῳ καὶ παντὶ καὶ ἀεὶ ὡς τὸ γελαστικόν· μόνῳ γὰρ καὶ παντὶ ἀνθρώπῳ ἴδιον ὑπάρχει καὶ ἀεὶ τὸ γελαστικόν. εἴπομεν δὲ παντὶ τῷ εἴδει ὑπάρχειν τὸ δίπουν πρὸς ἀντιδιαστολὴν τῶν ἀνομοιοειδῶν, ἵνα μὴ λάβῃς δίπουν τὸν ἄνθρωπον τὸ δὲ ὄρνεον οὔ. εἴπομεν δὲ ἐν τῷ δευτέρῳ τὸ μόνῳ διὰ τὰ ὁμοιογενῆ· μόνῳ γὰρ τῷ ἀνθρώπῳ τῶν ἄλλων ζῴων ὑπάρχει τὸ φαλακρόν. τὰ δὲ ἄλλα πρόδηλά ἐστι· μόνῳ γὰρ τῷ ἀνθρώπῳ καὶ παντὶ ὑπάρχει τὸ πολιοῦσθαι καὶ τὸ γελαστικόν, ἀλλὰ τὸ μὲν οὐκ ἀεὶ διὰ τὸ μὴ φθάνειν ἡμᾶς τὸν εἰς τοῦτο ἐπιτήδειον χρόνον, τὸ δὲ ἀεί, λέγω δὲ τὸ γελαστικόν. σκόπει δὲ πῶς ἀπὸ τοῦ ἀμυδροτέρου ἐπὶ τὸ ἐμφανέστερον ἴδιον χωρεῖ ἡ τάξις· τὸ παντὶ καὶ οὐ μόνῳ εἶναί τι ἴδιον σχεδὸν οὐκ ἔστιν ἴδιον· κοινωνίαν γάρ τινα ἐμφαίνει τὸ τοιοῦτον. διὰ τοῦτο ὡς ἀμυδρὸν αὐτὸ προέταξε. δεύτερον δὲ ἴδιον φαμὲν τὸ μόνῳ ὑπάρχον καὶ οὐ παντί. τοῦτο δικαίως ἐπιφανέστερόν ἐστι τοῦ πρώτου· ἔχει γάρ τι τοῦ ἰδίου τὸ μόνῳ· τοῦτο γὰρ οἰκεῖον ἰδίου τὸ μόνῳ τινὶ ὑπάρχειν. τὸ τρίτον τοῦ δευτέρου ἐπιφανέστερον ὑπάρχει, ὅτι ἔχει καὶ τὰ δύο τὸ παντὶ καὶ μόνῳ. τὸ τέταρτον δὲ τοῦ τρίτου ἐμφανέστερόν ἐστιν, ὅτι ἔχει τὸ ἀεί· τὸ γὰρ γελαστικὸν ἀεὶ ἡμῖν ὑπάρχει. περὶ ποίου δὲ τούτων ποιούμεθα τὸν λόγον; περὶ τοῦ ἐσχάτου· αὐτὸ γάρ ἐστι καθολικὸν καὶ ἀεὶ ὑπάρχον

---

2 τὰ om. V 3 τόπου Paris. 2089: om. KTV οὐ om. V 4 οὖν] δὲ K
7 ὑπάρξει V χωρήσομεν K 8 οὐ om. K 9 οὐ supra scr. K
alt. τῷ] τὸ T 11 γὰρ scripsi: δὲ libri ante καὶ παντὶ add. τῶ ἀνθρώπω V
τὸ ἐν γήρα πολ. (alt. l.) V 11. 12 τοῦ χρ. συνόντος om. V 12 συνόντος] ὄντος V
13 γὰρ om. V καὶ προσεθήκ. τὸ οὐκ colloc. V 14. 15 γὰρ καὶ παντὶ ἀνθρ.]
τῶ ἀνθρώπω καὶ παντὶ V 15 καὶ ἀεὶ τὸ γελ.] τὸ γελαστικόν K: τὸ γελᾶν T: καὶ
ἀεὶ V ante alt. παντὶ add. οὐ μόνον T; an παντὶ τῷ εἴδει ὑπ. ⟨καὶ οὐ μόνῳ⟩?
16 ὑπάρχει K ἀνομοιοειδῶν] ὁμοειδῶν V 17 ἄνθρωπον τὸ δὲ ὄρνεον οὔ T:
σωκράτην καὶ τὸν πλάτωνα KV εἴπωμεν K 18 ἀνομοιογενῆ KT
τῶν ἄλλων ζ. post φαλ. transp. KV 20 ὑπάρχει καὶ παντὶ colloc. K γελαστικόν]
γελᾶν T 21. 22 λέγω δέ Paris. 2089: λέγει διὰ KTV 23 τὸ] τῶ V
καὶ οὐ μόνῳ] εἴδει V εἶναι om. K τι om. V 24 τοῦτο] τὸ V
26 γάρ τι ἔχει colloc. V 27 ὑπάρχον KT 28 περιφανέστερον T
29 ἐστιν om. K

Digitized by Google

καὶ ἑνὸς εἴδους κατηγορούμενον· τὰ μὲν γὰρ ἄλλα κἄν ἐστι καθολικὰ καὶ ἀεί, ἀλλ' οὐ μόνου τοῦ εἴδους ἐστίν, ὡς τὸ δίπουν, κἄν εἰσι μόνου καὶ ἀεί, ἀλλ' οὐ παντός, ὡς τὸ φαλακρόν, κἄν ἐστι παντὸς καὶ μόνου, ἀλλ' οὐκ ἀεί, ὡς τὸ πολιοῦσθαι· τοῦτο δὲ καὶ τοῦ παντός ἐστι καὶ μόνου καὶ
5 ἀεί. ἄλλως τε δὲ οὔτε ἀντιστρέφουσι κατὰ ἄμφω τὰ σκέλη, τοῦτο δὲ ἀντιστρέφει· εἴ τι μὲν γὰρ ἄνθρωπος, τοῦτο καὶ δίπουν, οὐκ εἴ τι δὲ δίπουν, τοῦτο καὶ ἄνθρωπος. πάλιν εἴ τι φαλακρόν, τοῦτο καὶ ἄνθρωπος, οὐκ εἴ τι δ' ἄνθρωπος, τοῦτο καὶ φαλακρόν. πάλιν εἴ τι πολιόν, τοῦτο καὶ ἄνθρωπος, οὐκ εἴ τι δὲ ἄνθρωπος, τοῦτο καὶ πολιόν. τοῦτο δὲ ἄμφω τὰ
10 σκέλη ἔχει ἀντιστρέφοντα· εἴ τι μὲν γὰρ ἄνθρωπος, τοῦτο καὶ γελαστικόν, καὶ εἴ τι γελαστικόν, τοῦτο καὶ ἄνθρωπος.

Χωρήσωμεν οὖν ἐπὶ τὴν τούτου διδασκαλίαν. τινὲς μὲν οὖν οὕτως αὐτὸ ὁρίζουσι 'τὸ παντὶ καὶ μόνῳ καὶ ἀεὶ ὑπάρχον'. κακῶς δέ· δι' οὗ γὰρ ἐξηγήσαντο αὐτό, | δι' αὐτοῦ βούλονται αὐτὸ ὁρίζειν. τινὲς δὲ οὕτως 210r
15 αὐτὸ ἀποδιδόασιν 'ἴδιόν ἐστιν ἡ οὐσία ἡ συμβεβηκὸς ἀντιστρέφον'. δυσὶ δὲ ἁμαρτήμασι περιπίπτει ὁ τοιοῦτος ὁρισμός· πρότερον ὅτι οὐδέποτε οὐσίαν ἐλέγομεν τὸ ἴδιον ἀλλὰ συμβεβηκός. τοῦτο δὲ πᾶσιν ὁμολογεῖται. ὥστε οὖν ὅτε ἐλέγομεν οὐσίαν αὐτὸ δηλοῦν ἐν τῷ νοῦ καὶ ἐπιστήμης δεκτικόν, εὐανάτρεπτος ὑπῆρχεν ὁ λόγος. καταχρηστικῶς δὲ ἐλέγομεν αὐτὸ καὶ ἐπὶ οὐσίας.
20 δεύτερον δὲ οὐδέποτε ὁρισμὸς ὑγιῶς ἔχων ποτὲ μὲν τοῦτο ποτὲ δὲ ἐκεῖνο δηλοῖ. ὁ ἀποδοθεὶς δὲ τοιοῦτός ἐστιν. ἔστιν οὖν αὐτὸ ἀποδοῦναι οὕτως· ἴδιόν ἐστι συμβεβηκὸς ἀντιστρέφον. καλῶς δὲ ὁ ὁρισμὸς ἔχει· οἱ γὰρ μήτε πλέον μήτε ἔλαττον ἔχοντες ὁρισμοὶ ἐξισάζουσι τῷ ὁριζομένῳ, τὰ δὲ ἐξισάζοντα ἀντιστρέφει· οὐκοῦν τὸ παντὶ καὶ μόνῳ καὶ ἀεὶ ὑπάρχον ἴδιον ἐξι-
25 σάζει, ἐπειδὴ οὔτε πλέον ἔχει οὔτε ἔλαττον, ἔλαττον μέν, καθὸ παντί ἐστι, πλέον δέ, καθὸ μόνῳ ἐστίν· ἐξισάζον δὲ ἀντιστρέφει. καλῶς ἄρα ἔχει ὁ ἀποδοθεὶς ὁρισμός.

p. 12,13 Τὸ δὲ ἴδιον διαιροῦσι τετραχῶς.

Οὐ φυλάττει τὴν τάξιν τοῦ ἰδίου ὁ Πορφύριος, ὡς ἐφυλάξαμεν ἐν
30 τῇ θεωρίᾳ.

p. 12,13 Καὶ γὰρ ὃ μόνῳ τινὶ εἴδει συμβέβηκεν, εἰ καὶ μὴ παντί.

Φησὶν ὅτι καὶ ἐκεῖνο ἴδιον λέγω εἶναι ἀνθρώπῳ, ὃ μόνῳ ὑπάρχει,

---

1 ἑνὸς εἴδους Paris. 2089: ἐν εἴδει KTV εἰσὶ T 2 μόνον V εἰσὶν (pr. l.) TV κἄν εἰσι] καὶ εἰ K 3 εἰσὶ TV 4 pr. καὶ om. K τοῦ supra scr. V 5 δὲ om. K τοῦτο δὲ] τοῦ δ' K: τὸ δὲ V 6 μὲν om. KV καὶ om. T 7 καὶ (ante ἄνθρ.) om. V 8 τοῦτο φαλακρόν—ἄνθρ. (9) om. K καὶ (ante φαλ.) Par. 2089: om. TV 8. 9 καὶ (ante ἄνθρ.) om. V: (ante πολιόν) om. T 15 δύο T δὲ] γὰρ K 17. 18. 19 λέγομεν V 17 ὡμολόγηται V 18 ante ὅτε add. εἰ V δηλοῦμεν V ἐν τῷ] an οἷον τὸ? καὶ om. T 18. 19 εὐανάστρεπτος T: ἀνάτρεπτος K 20 δὲ om. TV 23. 25 πλεῖον V 25 πάντα K 26 καθὸ μόνῳ] καθόλου V ἐξισάζων T ἔχει ἄρα colloc. K 27 ὁρισμός om. V 32 καί φησιν V ἀνθρώπου KT

Digitized by Google

καὶ οὐ παντί· ἰδοὺ γὰρ τὸ ἰατρεύειν μόνου ἀνθρώπου ἐστὶν ἴδιον, εἰ καὶ μὴ ἑκάστου ἀνθρώπου ὑπάρχει. καὶ ἐκ τοῦ ἐναντίου πάλιν ἴδιον λέγω, ὃ παντὶ ἀνθρώπῳ ὑπάρχει, εἰ καὶ μὴ μόνῳ· ὑπάρχει γὰρ ἑκάστῳ ἀνθρώπῳ τὸ δίπουν, οὐ μόνῳ δέ· ἔστι γὰρ καὶ ἄλλοις εἴδεσι. τὸ δὲ γελαστικὸν μόνῳ καὶ παντὶ καὶ ἀεί.

p. 12,18 Κἂν γὰρ μὴ γελᾷ ἀεί, ἀλλὰ γελαστικὸν λέγεται οὐ τῷ ἤδη γελᾶν ἀλλὰ τῷ πεφυκέναι· τοῦτο δὲ ἀεὶ αὐτῷ σύμφυτον.

Τινὲς ἐντεῦθεν κινούμενοι λέγουσι τὸ γελαστικὸν εἶναι οὐσίαν ἡμῶν σύμφυτον, ὥσπερ τὸ λογικόν· κἂν γὰρ μὴ ἀεὶ γελῶμεν, φασίν, ἀλλ' οὖν ὅμως δυνάμει ἔχομεν τὸ γελᾶν. τοιαύτης δὲ προφάσεως δοθείσης εἴπωμεν πῶς οὐκ ἔστιν οὐσιῶδες ἀλλ' ἐπουσιῶδες καὶ πῶς γίνεται. ⟨ὅτι⟩ τὸ γελαστικὸν οὐκ ἔστιν οὐσιῶδες, πρῶτον μὲν ἐντεῦθεν ἀποδεικτέον· τὰ οὐσιώδη τελειωτικὰ ἡμῶν εἰσι καὶ ὅσον αὔξονται, τοσοῦτον τελειωτικὰ γίνεται· τὸ γὰρ πλέον λογικεύεσθαι οὐσιῶδες ἀνθρώπῳ ὑποφαίνεται. εἰ οὖν τὸ γελαστικὸν οὐσιῶδες, ὀφείλει τελειωτικὸν ἡμῶν εἶναι, εἰ δὲ οὐκ ἔστι, τοὐναντίον. * * γὰρ ἀποτρέπεται ὡς ἔχει τὸ 'μήτε προπετῆ γέλωτα στέργε', σαφὲς ὡς οὐκ ἔστιν οὐσιῶδες. δεύτερον δὲ οὐδέποτε τἀναντία τοῦ αὐτοῦ συστατικὰ γίνεται, οἷον τὸ θνητὸν καὶ τὸ ἀθάνατον, τὸ λογικὸν καὶ τὸ ἄλογον. εἰ οὖν ἐστι τὸ γελαστικὸν οὐσιῶδες ἡμῶν καὶ συστατικόν, οὐκοῦν καὶ τὸ κλαυστικὸν ἐπειδὴ καὶ μόνου ἀνθρώπου ἐστίν, οὐσιῶδες καὶ αὐτὸ λεχθείη, ὥσπερ τὸ γελαστικόν· ὡς γὰρ ἔχει θάτερον τῶν ἀντικειμένων, οὕτω καὶ τὸ ἕτερον. | εἶναι δὲ τὰ δύο ἐναντία συστατικὰ ἡμῶν, ἀδύνατον. ἀλλ' ἐνίοτε ἐρεῖ τις 210v ὡς οὐκ εἰσι τὰ τοιαῦτα ἐναντία· οὐσίαι γάρ εἰσιν· ὑμεῖς δὲ ὡς ὁμολογουμένων αὐτῶν ἐπουσιωδῶν τὸ τοιοῦτον κατασκευάζετε. πρὸς τούτους δέ φαμεν ὅτι εἰ καὶ μὴ ἦσαν ἐναντία, ἀδύνατον τὰ δύο εἶναι ἡμῶν συστατικά· ἰδοὺ γὰρ καὶ ἡ λογικὴ καὶ ἡ ἄλογος ⟨ψυχὴ⟩ ἀντιδιαιρούμεναί εἰσιν. ὅμως δὲ τὸ λογικὸν ἡμῶν συστατικὸν ὑπάρχει, καίτοι ἐχόντων ἡμῶν καὶ τὴν ἄλογον ψυχήν. ἔπειτα ἐναντία εἰσὶ τὸ γελαστικὸν καὶ τὸ κλαυστικόν· μεταβάλλει γὰρ εἰς ἄλληλα. εἰ οὖν ταῦτα οὕτως ἔχει, σαφὲς ὡς οὐκ ἔστι τὸ γελαστικὸν ἡμῶν συστατικόν, ἐπεὶ ἔσται καὶ τὸ ἐναντίον αὐτῷ, λέγω δὲ τὸ κλαυστικόν, ἡμῶν συστατικόν. τρίτον οὐδέποτε τὰ οὐσιώδη αὐξανόμενα

---

1 ante pr. καὶ add. εἰ T ἐστὶν ἴδιον—ἀνθρώπου (2) om. V ἐστὶν ἴδιον Paris. 2089: ἰδίως ἐστίν KT 4 alt. δὲ om. V 5 καὶ ἀεὶ καὶ παντί colloc. T 7 ἤδη KT idemque apud Porph. pro ἀεί restituas: εἴδει V τοῦτο—σύμφυτον om. V 8 ἡμῶν οὐσίαν colloc. K 9 γὰρ supra scr. V ἀεὶ om. V φησιν KT 10 τὸ γελᾶν] αὐτό V 11 καὶ πῶς—οὐσιῶδες (12) om. KT ὅτι inserui 12 μὲν] δὲ KT 14 an ⟨πλέον⟩ οὐσιῶδες? post οὖν add. ἦν T 15 defectum signavi, suppleveris ἐπειδὴ οὖν οὐ τελειωτικὸν ἡμῶν ἐστι· τοὐναντίον 16 ἔχη V² στέργειν KT ὡς om. V 17 δὲ om. V 18 ἐστι om. T 20 καὶ (ante μόνου) om. T οὐσιῶδες δὲ V 21 τὸ om. K 24 κατασκευάζεται V 25 μὴ om. V 26 ψυχὴ addidi 27 συστ. ἡμῶν colloc. T 29 σαφὲς ὡς] σαφῶς V 30 ἐπεὶ ἔσται—συστ. (31) om. KV 31 τὰ οὐσιώδη—οὐδέποτε (204,1) om. T αὐξόμεν. (const.) V

Digitized by Google

ἀναιρεῖ ἐκεῖνα ὧν κατηγορεῖται, οἷον τὸ λογικὸν οὐδέποτε αὐξανόμενον ἀναιρεῖ τὸν ἄνθρωπον, τοὐναντίον δὲ συνιστᾷ· τὸ δὲ γελαστικὸν ἀναιρετικόν ἐστι τοῦ ἀνθρώπου αὐξανόμενον· καὶ γὰρ ἀπὸ γέλωτος κολάσεις παρὰ Πέρσαις ἐφευρέθησαν. τέταρτον οὐδὲ δυνάμει ἔχομεν τὸ γελαστικόν, εἴ γέ τινες διὰ
5 τοῦ Τροφωνίου παριόντες εἰς τὸν ἀεὶ χρόνον τοῦ γελᾶν ἐστερήθησαν· εἰ δὲ εἶχον δύναμιν τοῦ γελᾶν, πάντως τοῦ χρόνου προκόπτοντος ἐγέλων ἄν.

Λεκτέον δὲ κατὰ τὴν ἡμετέραν ἐπαγγελίαν διὰ τίνος γίνεται. φασί τινες ὅτι διὰ τῆς ἀλόγου ψυχῆς, οἷς καὶ συγκατατιθέμεθα· ὁ γὰρ τοιοῦτος τρόπος διὰ μυῶν καὶ νεύρων γίνεται· ταῦτα δὲ τῆς ἀλόγου ψυχῆς ὑπάρχει.
10 ὅτι δ' οὐ γίνεται διὰ τῆς λογικῆς, σαφὲς ἐκ τοῦ μὴ εἶναι αὐτὸ ἐν ὑποκειμένῳ. ἀποροῦσι δέ τινες λέγοντες 'εἰ διὰ τῆς ἀλόγου ψυχῆς τὸ γελαστικὸν γίνεται, ἐπειδὴ οἱ μύες καὶ τὰ νεῦρα αὐτῆς εἰσιν, ἃ συνεργόμενα ποιεῖ τὸν τοιοῦτον τρόπον, ὀφείλει τὸ γελαστικὸν καὶ ἐπὶ τῶν ἀλόγων θεωρεῖσθαι· ἔχουσι γὰρ καὶ ταῦτα νεῦρα καὶ μύας'. φαμὲν δὲ πρὸς τοῦτο ὅτι πρῶτον
15 μὲν ἔστι καὶ ἄλλα ζῷα γελαστικά, ὥσπερ ἱστορεῖ ὁ Ἀριστοτέλης ἐν τῇ Περὶ ζῴων περὶ τοῦ ἐρωδιοῦ. δεύτερον δὲ οὐκ ἐν πᾶσι τοῖς ζῴοις ὁμοίως ἐνεργεῖ ἡ ἄλογος ψυχή, ἐπεὶ ὀφείλει ἡ ὑλακὴ τοῦ κυνὸς ἐπὶ πάντων τῶν ζῴων διήκειν, ἐπειδὴ ἔχει ὁ ἄνθρωπος μύας καὶ νεῦρα ὥσπερ καὶ ὁ κύων, ὁμοίως δὲ καὶ ὁ μυκηθμὸς τοῦ βοὸς καὶ ὁ χρεμετισμὸς τοῦ ἵππου. ἰδιό-
20 τητες οὖν ὑπάρχουσι τῆς ἀλόγου ψυχῆς ἐν ἑκάστῳ εἴδει. ὅτι δὲ τῆς φυτικῆς οὐκ ἔστι τὸ γελαστικόν, τοῦτο ὁμολογεῖται· τρεῖς γάρ εἰσιν αἱ δυνάμεις αὐτῆς, θρεπτικὴ αὐξητικὴ γεννητική. μία δὲ τούτων τὸ γελαστικὸν οὐκ ἐργάζεται· συγκαταθετέον οὖν τοῖς προειρημένοις.

Πρᾶξις λβ'.

25 ### Περὶ συμβεβηκότος.

Οἱ ὁρισμοὶ τοῦ συμβεβηκότος ἀποδιδόασι τὴν ὀφειλομένην αὐτῷ τάξιν· δηλοῦσι γὰρ ὅτι ἔσχατόν ἐστι καὶ ἀβληχρὸν καὶ ἀμενηνόν· τί γάρ ἐστι συμβεβηκός; ὃ γίνεται καὶ ἀπογίνεται χωρὶς τῆς τοῦ ὑποκειμένου φθορᾶς. | ἀποροῦσι δέ τινες λέγοντες διὰ τί ἐπὶ τοῦ συμβεβηκότος 211r
30 παρέβη τοὺς διηγορευμένους κανόνας· ὁμωνύμου γὰρ ὄντος αὐτοῦ οὐκ εἶπε

---

3 καὶ] εἰ V παρὰ] περὶ T 4 ἐφευρέθησαν] νενομοθέτηνται K 4. 5 διὰ τοῦ Τροφωνίου παρ.] cf. Athen. XIV p. 614 A 6 προκόπτοντος] προιόντος K ἄν om. TV 9 μυῶν TV 10 τῆς λογικῆς Paris. 2089: τοῦ λογινοῦ KTV 10 λέγοντες ὅτι K 12 τὰ νεῦρα καὶ οἱ μ. colloc. T μυῖς (const.) TV αὐτῆς om. K 13 ὀφείλει δὲ V τῶν ἀλόγων Paris. 2089: τοῦ ἀλόγου KTV 14 ταῦτα om. TV 15 γελαστικά om. V ὁ om. KT τῇ] τῷ K 16 Περὶ ζῴων] testimonium est fictum, cf. Hist. an. Θ 3 p. 593b1 De part. an. Γ 10 p. 673a8. 28 ἐροδιοῦ V 18 ἐπειδὴ δὲ V καὶ om. KT 19 δὲ om. T μυκησμὸς V χρεμμετισμὸς T 20 ἀλόγου] ἑκάστου KT 20. 21 τῆς φυτικῆς Urb. 35: ἡ τῆς φυτικῆς in mrg. K: τῆς φυσικῆς KTV 21 ὡμολόγηται V 24 πρᾶξις λα' K: om. TV (p. 200,8) 28 τὸ συμβ. V

Digitized by Google

ποσαχῶς λαμβάνεται, οὔτε περὶ ποίου σημαινομένου ἐστὶν ὁ λόγος, ἀλλ' εὐθέως τῆς διδασκαλίας αὐτοῦ τὸν τρόπον ἐπήγαγεν. ἔστι δὲ εἰπεῖν πρὸς τούτους ὅτι τὸ ποσαχῶς παρῆκε διδάξας τοῦτο ἐν τοῖς φθάσασι· διττὸν γὰρ αὐτὸ εἶναι εἶπε, χωριστὸν καὶ ἀχώριστον. περὶ ποίου δὲ σημαινομένου λέγει, οὐκ ἐξέθετο βουλόμενος περὶ πάντων τῶν συμβεβηκότων διαλαβεῖν· τότε δὲ λέγομεν περὶ ποίου σημαινομένου βουλόμεθα διαλαβεῖν, ὅταν οὐ διδάσκωμεν περὶ ὅλων τῶν φωνῶν.

Τριχῶς οὖν αὐτὸ ἀποδίδωσι· φησὶ γὰρ ὅτι συμβεβηκός ἐστιν ὃ γίνεται καὶ ἀπογίνεται χωρὶς τῆς τοῦ ὑποκειμένου φθορᾶς, ἑτέρως δὲ ὃ ἐνδέχεται τῷ αὐτῷ ὑπάρχειν ἢ μὴ ὑπάρχειν, ἐξ ἀποφάσεως δὲ ὃ οὔτε γένος οὔτε εἶδος οὔτε διαφορὰ οὔτε ἴδιον δύναται εἶναι. ἐπειδὴ δέ τινες πειρῶνται κακίζειν τοὺς ἀποδεδομένους ὁρισμούς, φέρε τὰ ἐξ αὐτῶν λεγόμενα παραθησόμεθα, εἶθ' ὕστερον τοῖς ἐξ αὐτῶν ῥηθεῖσι πρέπουσαν ἀπολογίαν ἀποδώσομεν. φασὶ δὲ τὸν πρῶτον ὁρισμὸν ἐλλείπειν καὶ περισσεύειν. ἐλλείπειν δὲ οὕτως· εἰ ὁ ὁρισμὸς οὗτος τὰ γινόμενα καὶ ἀπογινόμενα συμβεβηκότα δηλοῖ, μόνα τὰ χωριστὰ σημαίνει οἷον τὸ λευκόν· δύναται γὰρ ἐν ἐμοὶ γενέσθαι καὶ ἀπογενέσθαι χωρὶς τῆς τοῦ ὑποκειμένου φθορᾶς, τὸ ἀχώριστον δὲ οὐ γίνεται καὶ ἀπογίνεται χωρὶς τῆς τοῦ ὑποκειμένου φθορᾶς· οὔτε γὰρ ἀπογίνεται τὸ μέλαν τοῦ Αἰθίοπος περιόντος τοῦ Αἰθίοπος, ὁμοίως οὐδὲ τοῦ κόρακος. ἔστι δὲ πρὸς τοῦτο εἰπεῖν ὅτι τῶν συμβεβηκότων τὰ μὲν ἐπινοίᾳ καὶ ἐνεργείᾳ χωρίζεται, τὰ δὲ μόνῃ ἐπινοίᾳ· ἐνεργείᾳ μὲν καὶ ἐπινοίᾳ τὰ χωριστά (δύνασαι γὰρ καὶ ἐνεργείᾳ ἀποχωρίσαι τὸ λευκὸν τὸ ἐν ἐμοί, δύνασαι καὶ ἐπινοίᾳ), ἐπινοίᾳ δὲ μόνῃ τὰ ἀχώριστα· τὸ γὰρ μέλαν τοῦ Αἰθίοπος δύνασαι ἐπινοίᾳ νοῆσαι ἀπογινόμενον χωρὶς τῆς τοῦ ὑποκειμένου φθορᾶς· εἰ γὰρ νοήσεις λευκὸν Αἰθίοπα ἐπινοίᾳ, οὐδὲν λυμαίνῃ τῷ ὑποκειμένῳ. προστίθεσο οὖν τῷ ὁρισμῷ τὸ ἐνεργείᾳ καὶ ἐπινοίᾳ, καὶ οὐδὲν εὑρίσκεται ἐλλεῖπον· συμβεβηκός ἐστιν ὃ γίνεται καὶ ἀπογίνεται χωρὶς τῆς τοῦ ὑποκειμένου φθορᾶς ἐνεργείᾳ ἢ ἐπινοίᾳ. περισσεύειν δέ φασιν αὐτὸν οὕτως· εἰ ἐκεῖνό φαμεν συμβεβηκὸς ὃ γίνεται καὶ ἀπογίνεται χωρὶς τῆς τοῦ ὑποκειμένου φθορᾶς, οὐκοῦν οὐ μόνον τὰ συμβεβηκότα συμπεριέλαβεν ὁ ὁρισμός, ἀλλὰ καί τινας οὐσίας· ἰδοὺ γὰρ ἡ θερμότης τοῦ πυρὸς γίνεται καὶ ἀπογίνεται χωρὶς τῆς τοῦ ὑποκειμένου φθορᾶς, οὐσία δὲ αὐτοῦ ἡ θερμότης. εἰ δέ τις εἴποι 'ἐὰν ἀπογίνηται ἡ θερμότης τοῦ πυρός, οὐ φθείρεται τὸ ὑποκείμενον;' φαμὲν οὐχί· ἄποιον γὰρ τὸ σῶμα αὐτοῦ ἐστι, τὰ δὲ ἄποια σώματα οὐ φθείρεται. ὁμοίως καὶ τὸ ψυχρὸν τοῦ ὕδατος γίνεται 211v

---

3 τούτους] αὐτοὺς V ante διδάξας add. ὡς T διδάξας] p. 1,10 4 εἶναι om. V 8 οὖν] δὲ K: τε V φησὶ] p. 12,24 10 δὲ om. V τὸ αὐτὸ KV 11 οὔτε διαφ. post εἶναι colloc. KT 12 ἀποδιδομένους T 13 ἐξ] παρ' T 14 δὲ om. V τὸν ὁρ. τὸν πρῶτον T 15 ὁ om. V 16 δηλοῖ συμβ. colloc. TV 18 τὸ ἀχώριστον—φθορᾶς (19) om. KV 19 παριόντος K alt. τοῦ αἰθίοπος om. KT 20 ἔστι] ἔτι V 21 ἐνεργ. καὶ ἐπιν. colloc. T χωρίζονται T 22 ante καὶ ἐνεργείᾳ add. καὶ ἐπινοίᾳ (δύνασαι καὶ ἐπινοίᾳ v. 23 om.) V 25 τῇ ἐπινοίᾳ T λυμαίνει T 26 προστίθεσο scripsi: προστίθεται libri 27 ἐλλείπων T 28 ante ἐνεργ. add. ἢ V 29 εἰ Paris. 2089: om. KTV 33 εἰ—θερμότης om. V οὐ om. T

Digitized by Google

καὶ ἀπογίνεται χωρὶς τῆς τοῦ ὑποκειμένον φθορᾶς, συμβεβηκὸς δὲ οὐκ ἔστιν, ἀλλ' οὐσία τοῦ ὕδατος. λέγομεν δὲ πρὸς τούτους ὅτι οὔτε ὅλως ἀπορίας ἥψαντο· φανερὰ γάρ ἐστιν ἡ ἐπίλυσις· ἔστι γὰρ τὸ ψυχρὸν οὐσία καὶ συμβεβηκός, ἀλλ' οὐ κατὰ τὸ αὐτό· πρὸς μὲν γὰρ τὸ ὕδωρ οὐσία ἐστίν (οὐκ ἔστι γὰρ ἐπινοῆσαι ὕδωρ χωρὶς ψυχροῦ), πρὸς δὲ τὸ σῶμα τοῦ ὕδατος συμβεβηκός ἐστιν. ὁμοίως δὲ καὶ ἡ θερμότης τοῦ πυρὸς πρὸς μὲν τὸ πῦρ οὐσία ἐστίν (ἄνευ γὰρ θερμότητος οὐκ ἔστι τὸ πῦρ), πρὸς δὲ τὸ σῶμα τοῦ πυρὸς συμβεβηκός ἐστιν. ἄλλως τε οὐ συμπεριέλαβε τὰ τοιαῦτα ὁ ὁρισμός· ἐν γὰρ τῷ λέγειν χωρὶς τῆς τοῦ ὑποκειμένου φθορᾶς δηλοῖ ὅτι φθείρεται τούτων τὸ ὑποκείμενον· ἐξ οὗ γὰρ ἔχει φθορὰν ὅλως τὸ ὑποκείμενον, πάντως φθείρεται, κἂν μή, ὅτε ἀπογίνεται τὸ συμβεβηκός. εἰ οὖν ταῦτα οὕτως ἔχει, τὸ δὲ ὑποκείμενον τοῦ πυρὸς καὶ τοῦ ὕδατος ἄφθαρτον ὑπάρχει (ἄποιον γὰρ αὐτῶν ἐστι τὸ σῶμα, καὶ τὰ ἄποια οὐ φθείρεται), σαφὲς ὅτι οὐ συμπεριέλαβεν ὁ ὁρισμὸς τὰ τοιαῦτα· λέγει γὰρ τὸ ὑποκείμενον φθειρόμενον, τούτων δὲ ἄφθαρτόν ἐστι τὸ ὑποκείμενον.

Τῶν τοιούτων ὑπονοιῶν τὸν ὁρισμὸν ἐλευθερώσαντες φέρε καὶ ἐπὶ ἑτέραν ἀπορίαν χωρήσωμεν· λέγουσι γάρ τινες· εἰ οὐδέποτέ τι τῶν ὄντων τῆς ἑαυτοῦ ἀπωλείας ἐφίεται (κἂν γὰρ εἴπῃς τὰ ἄλογα ἑαυτὰ ἀπόλλυσιν ἀπὸ κρημνοῦ πηδῶντα ἢ εἰς ὕδωρ ῥιπτούμενα, οὐ τῆς ἀπωλείας ἐφιέμενα τὰ τοιαῦτα ποιοῦσιν, ἀλλ' ἢ διὰ διωγμὸν ἑτέρων ἀλόγων ἢ διὰ θυμόν· κατὰ συμβεβηκὸς γὰρ ἑαυτὰ ἀπόλλυσι), πῶς τὰ συμβεβηκότα ἑαυτὰ ἐφίεται ἀπολλύειν; ὅτι δὲ ἑαυτὰ ἀπολλύει, σαφὲς ἐντεῦθεν· εἰ ἐν ὑποκειμένῳ ἐστὶ τὰ συμβεβηκότα, ἀπόλλυσι δὲ τὸ ὑποκείμενον, ὁμολογουμένως καὶ ἑαυτὰ ἀπολλύει. πῶς δὲ ἀπόλλυται τὸ ὑποκείμενον, λέξομεν· ὁ ἑκτικὸς πυρετὸς ἀπόλλυσι τὸ ὑποκείμενον· ἀμήχανον γὰρ αὐτὸν ἀπογενέσθαι χωρὶς τῆς φθορᾶς τοῦ ὑποκειμένου· εἰ οὖν τὸ ὑποκείμενον αὐτῷ ἀπολλύει, ἑαυτὸν ἀπολλύει. ἔστι δὲ εἰπεῖν πρὸς τούτους· ὅτι οὐδὲν τῶν συμβεβηκότων ἑαυτὸ ἥδεται φθεῖραι, ἀλλὰ μὴν οὐδὲ τὸ ὑποκείμενον φθεῖραι (κατὰ συμβεβηκὸς γὰρ αὐτὸ ἀπολλύει, οὐχ ἑκόντως), καὶ σαφὲς ἔνθεν, ὅτι ὁ ἑκτικὸς πυρετὸς ἀμετρία ἐστίν, ἡ δὲ ὑγιὴς κρᾶσις συμμετρία· ταῦτα δὲ ἐναντία εἰσίν. ἡ οὖν ἀμετρία σπεύδει τὴν συμμετρίαν φθεῖραι, φθείρουσα δὲ αὐτὴν κατὰ συμβεβηκὸς φθείρει καὶ τὸ ὑποκείμενον, φθείρουσα δὲ τὸ ὑποκείμενον καὶ ἑαυτὴν φθείρει. οὕτω καὶ ἡ φαλάκρα οὐ τὸ ἴδιον ὑποκείμενον φθείρει, λέγω δὴ τὴν κεφαλήν, ἀλλὰ τὴν ἀντικειμένην αὐτῇ δασύτητα τῶν τριχῶν.

Ὁ δεύτερος ὁρισμὸς | πάλιν ἀτελῶς ἔχει· φησὶ γὰρ συμβεβηκός 212r
ἐστιν ὃ ἐνδέχεται τῷ αὐτῷ ὑπάρχειν ἢ μὴ ὑπάρχειν, τοῦτο δὲ οὐ συλλαμβάνει τὰ ἀχώριστα συμβεβηκότα· οὔτε γὰρ ἐνδέχεται μὴ ὑπάρχειν αὐτά· τὸ μέλαν γὰρ τοῦ Αἰθίοπος οὐκ ἐνδέχεται μὴ ὑπάρχειν τῷ

---

6 καὶ om. K 7 ἄνευ—πῦρ om. KT 11 κἂν] καὶ K² ἀπογίνηται V 13 αὐτῶν om. V τὸ σῶμα—φημὶ δὲ (p. 207,18) om. V 19 κρυμνοῦ T ῥιπτόμενα T 20 τὰ τοιαῦτα] ταῦτα T 21 συμβεβ.] συμβάντα T 21. 22 ἀπόλλειν et ἀπόλλει libri 22 ἐντεῦθεν Par. 2089: ἔνθεν KT 24 λέξωμεν T ἀπολλύει (alt. l.) T 29 ὅτι om. T 30 εἰ οὖν ἡ (ut videtur) K¹ 33 δὴ] δὲ T 34 αὐτῇ om. K 37 συλαμβάνει T

Digitized by Google

Αἰθίοπι. δεῖ οὖν προσθεῖναι ὅπερ καὶ τῷ πρώτῳ προσεθήκαμεν 'ἢ ἐνεργείᾳ ἢ ἐπινοίᾳ'. ὁ τρίτος δὲ σχεδὸν οὔτε ὁρισμός ἐστιν· οὔτε γὰρ οἱ ὁρισμοὶ τὰ μὴ ὄντα τινὶ δηλοῦν βούλονται, ἀλλὰ τὰ ὄντα· ἀμέλει ὁριζόμενον τὸν ἄνθρωπον οὐ φαμεν ὅτι ἄνθρωπός ἐστιν ὃ οὐ πέτεται οὔτε ὑλακτεῖ οὔτε χρεμετίζει, ἀλλὰ τὰ ὄντα αὐτῷ λέγομεν, ζῷον λογικὸν καὶ τὰ τοιαῦτα. ὁ οὖν ὁρισμὸς οὗτος ἃ ἔχει οὐ λέγει, ἀλλ' ἃ οὐκ ἔχει· συμβεβηκός ἐστιν ὃ οὔτε γένος οὔτε εἶδος οὔτε διαφορὰ οὔτε ἴδιον δύναται εἶναι * * τὸ γὰρ θεῖον διὰ τοῦτο ὁρίσασθαι οὐ δυνάμεθα, ἐπειδὴ τί ἐστιν οὐκ οἴδαμεν. λέγουσι δέ τινες 'διὰ τί μὴ πάσας τὰς φωνὰς οὕτως ὡρίσατο, ἀλλὰ μόνον τὸ συμβεβηκός;'. πρὸς οὓς ἐροῦμεν ὅτι εἰ ἥμαρτε προσάπαξ ὁ Πορφύριος, οὐκ ἔδει αὐτὸν καὶ πανταχοῦ ἁμαρτῆσαι. ἔπειτα καὶ εἰ οὐκ ἦν τὸ τοιοῦτον ὑφ' ἁμαρτίαν ἀγόμενον, ἀλλ' οὖν ὅμως ἐπὶ τῶν ἄλλων φωνῶν οὐκ ἠδύνατο οὕτως ὁρίσασθαι· εἴρηται γὰρ ἡμῖν ὅτι τὰ ἀμφίβολα ἐξ ἀμφιβίλων οὐ πιστούμεθα, ἀλλ' ἐξ ὁμολογουμένων· πρὸ τοῦ οὖν παραδοῦναι ἡμᾶς τὸ εἶδος καὶ τὰς ὑπολοίπους φωνὰς πῶς ἠδυνάμεθα εἰπεῖν ἐπὶ τοῦ γένους 'γένος ἐστὶν ὃ οὔτε εἶδος οὔτε διαφορὰ οὔτε ἴδιον οὔτε συμβεβηκὸς ὑπάρχει'; τὸ τοιοῦτον δὲ ποιοῦντες ἀμφίβολον ἐξ ἀμφιβόλου ἐμέλλομεν πιστοῦσθαι, ὅπερ ἄτοπον. ἐπὶ μόνου δὲ τοῦ ἐσχάτου, φημὶ δὲ τοῦ συμβεβηκότος, τὸ τοιοῦτον ποιῆσαι δυνάμεθα.

p. 13,1 Δύναται δὲ ἐπινοηθῆναι κόραξ λευκὸς καὶ Αἰθίοψ ἀποβαλὼν τὴν χροιὰν χωρὶς φθορᾶς τοῦ ὑποκειμένου.

Τοῦτο ἐπιλύει τὸ ἀπορούμενον· πρὸς γὰρ τοὺς λέγοντας μὴ ἀπογίνεσθαι τὰ ἀχώριστα χωρὶς τῆς τοῦ ὑποκειμένου φθορᾶς φησιν ὅτι δυνατὸν ἐπινοίᾳ.

Ἰστέον δὲ ὡς οὐδεὶς τῶν ὁρισμῶν ὑγιῶς ἔχει· σκόπει γὰρ τὸν πρῶτον τί λέγει· συμβεβηκός ἐστιν ὃ γίνεται καὶ ἀπογίνεται χωρὶς τῆς τοῦ ὑποκειμένου φθορᾶς ἢ ἐνεργείᾳ ἢ ἐπινοίᾳ. ὁ ἢ ὧδε σύνδεσμος ἢ συμπλεκτικὸς νοεῖται ἢ διαζευκτικός· καὶ εἰ μὲν συμπλεκτικός, ἵν' ᾖ οὕτως 'καὶ ἐνεργείᾳ καὶ ἐπινοίᾳ', ψεύδεται ὁ ὁρισμὸς οὗτος ἐπὶ τῶν ἀχωρίστων συμβεβηκότων (οὔτε γὰρ τὰ ἀχώριστα γίνεται καὶ ἀπογίνεται ἐνεργείᾳ καὶ ἐπινοίᾳ χωρὶς τῆς τοῦ ὑποκειμένου φθορᾶς, τὰ μέντοι χωριστὰ τοιαῦτά ἐστιν), εἰ δὲ διαζευκτικός, οὐχ εὑρίσκεται τὸ τοιοῦτον ὁρισμὸς ἀλλὰ διαίρεσις· ὁρισμοῦ γὰρ ἔργον ὑπάρχει τὸ συνάγειν τὰ πολλὰ εἰς ἕν τι, διαιρέσεως δὲ τὸ ἐξ ἑνὸς πολλὰ ποιεῖν. τοιοῦτον δὲ καὶ τὸ προκείμενον· | φησὶ γὰρ ἢ ἐνεργείᾳ ἢ ἐπινοίᾳ, ὅλαι δὲ αἱ φωναὶ τῶν ὁρισμῶν ἐπὶ 212v ἑνὸς θέλουσι λέγεσθαι, καὶ οὐκ ἐπὶ διαφόρων. ὁ αὐτὸς λόγος καὶ ἐπὶ τοῦ δευτέρου· ἔχει γὰρ τὸ ἐνεργείᾳ ἢ ἐπινοίᾳ. περὶ δὲ τοῦ τρίτου ὡς κακῶς ἔχει ἐν τῇ θεωρίᾳ ἡμῖν δέδεικται.

---

2 δὲ om. K 8 ante τὸ γὰρ θεῖον lacunam signavi τοῦτο] τοῦ T 8 et 13 ὁρίσθαι T 13 εἴρηται] p. 188,14 ἀμφίβολα] ἀμφιβαλλόμενα T 19 ante κόραξ add. καὶ Porph. 20 χρόαν V 22 φησὶν ὅτι δυνατὸν Paris. 2089: δύναται KTV 27 καὶ ἐν. καὶ ἐπιν. Paris. 2089: om. KTV 29 ἐπινοίᾳ καὶ ἐνεργείᾳ colloc. KT 31 ὁρισμὸς TV συνάγον TV 32 διαιρέσεως Paris. 2089: διαίρεσις KTV ποιοῦν T 34 οὐκ om. V 35 ἐπιν. ἢ ἐνεργ. colloc. V 36 δέδεικται] expl. V

Digitized by Google

Περὶ κοινωνιῶν καὶ διαφορῶν τῶν πέντε φωνῶν.

Κατὰ τὴν ἡμετέραν ἐπαγγελίαν μετὰ τὸ λόγῳ δημιουργῆσαι τὰς πέντε φωνὰς φέρε τὰς κοινωνίας αὐτῶν καὶ τὰς διαφορὰς παραθησόμεθα. καὶ ἔδει μὲν ὅσον γε πρὸς τὸ ἐντελῶς μαθεῖν ἡμᾶς τὰς πέντε φωνὰς τέλος λαβεῖν τὸ σύγγραμμα (ὁ γὰρ εἰδὼς τὰς πέντε φωνὰς καὶ τὰς τούτων ὑπογραφὰς αὐτόθεν οἶδε καὶ τὰς τούτων κοινωνίας καὶ διαφοράς), ἀλλ' ἐπειδὴ πρὸς εἰσαγομένους ἐποιεῖτο τὸν λόγον, ἀναγκαῖον ἡγήσατο καὶ ταύτας παραδοῦναι. ἰστέον δ' ὅτι τὰ πράγματα οὔτε πάντῃ κοινωνοῦσιν ἀλλήλοις οὔτε πάντῃ διαφέρουσιν, ἀλλὰ κατά τινα μὲν κοινωνοῦσι κατά τινα δὲ διαφέρουσι. καὶ κοινωνοῦσι μὲν καθὸ ἐκ μιᾶς ἀρχῆς ἤρτηνται, διαφέρουσι δὲ κατὰ τὴν ὕλην. δισσῶν δὲ οὐσῶν τῶν κοινωνιῶν καὶ τῶν διαφορῶν, καθολικῶν τε καὶ μερικῶν, τὴν πρώτην τάξιν εἰλήφασιν αἱ καθολικαί. ἀλλὰ τῆς διαφορᾶς ἀξία ἡ κοινωνία προτάττεσθαι· ἔοικε γὰρ τῇ ἀπορίᾳ· ἐν γὰρ τῷ δεικνύειν ὅτι πᾶσαι κοινωνοῦσι κατὰ ἕν τι συνάφειαν αὐτῶν καὶ ἕνωσιν ποιεῖται, τὸ δὲ ἕν τι εἰπεῖν τὰς πέντε φωνὰς ἀπορίας ἐστὶν ἔργον· ἀπορήσει γάρ τις διὰ τί αἱ πέντε φωναὶ ἕν τί εἰσιν. ἔοικε δὲ τῇ λύσει ἡ διαφορά· δείκνυσι γὰρ ὅτι ἕν τι οὔκ εἰσιν καὶ ἐν τῷ δεικνύειν ὅτι ἕν τι οὔκ εἰσι τὴν ἀπορίαν λύει. εἰ προηγεῖται οὖν ἡ ἀπορία τῆς λύσεως, προηγήσεται ἄρα ἡ κοινωνία τῆς διαφορᾶς.

Φησὶν οὖν ὁ Πορφύριος ὅτι καθολικὴ κοινωνία αὐτῶν ὑπάρχει τὸ κατὰ πλειόνων πάσας τὰς φωνὰς κατηγορεῖσθαι· κοινωνοῦσι γὰρ κατὰ τοῦτο, καθὸ πᾶσαι κατὰ πλειόνων κατηγοροῦνται. διαφέρουσι δὲ καθὸ οὐ πᾶσαι τοῦ αὐτοῦ ὑποκειμένου κατηγοροῦνται· αἱ μὲν γὰρ τῶν εἰδῶν κατηγοροῦνται ὡς τὸ γένος καὶ ἡ διαφορὰ καὶ τὸ συμβεβηκός, αἱ δὲ τῶν κατὰ μέρος ὥσπερ τὸ ἴδιον καὶ τὸ εἶδος. καὶ αὐτὸς μὲν ὁ Πορφύριος μίαν κοινωνίαν καὶ μίαν διαφορὰν παρέθετο, ἡμεῖς δὲ ἑκάστῳ σκέλει προσθήκην ποιησόμεθα· φέρε γὰρ καὶ ἑτέρας καθολικὰς κοινωνίας καὶ διαφορὰς παραδώσομεν καὶ πρῶτόν γε τὰς κοινωνίας. καθολικῶς πάλιν κοινωνοῦσιν, ὅτι πᾶσαι ὁμώνυμοί εἰσι. τρίτην κοινωνίαν πάλιν αὐτῶν ὁρῶμεν, ὅτι πᾶσαι ἐν μιᾷ καὶ ἑκάστῃ κατηγορίᾳ θεωροῦνται· εἰ γὰρ γένη εἰσὶν αἱ κατηγορίαι, πάντως καὶ τὰς ἄλλας φωνὰς συνεισφέρουσιν· | ὅπου γὰρ γένος, ἐκεῖ καὶ αἱ 213r ὑπόλοιποι φωναί. τετάρτην ἔτι ὁρῶμεν κοινωνίαν τὸ εἶναι πάσας ὅρους καὶ πέρατα τῶν κατὰ φιλοσοφίαν φωνῶν· πᾶσαι γὰρ αἱ κατὰ φιλοσοφίαν φωναὶ εἰς αὐτὰς περατοῦνται καὶ ἐκτὸς αὐτῶν οὐκ ἔστιν ἑτέρα. πέμπτη

---

1 ante titulum add. ἀρχὴ σὺν θεῷ τοῦ δευτέρου τμήματος K τῶν κοιν. καὶ τῶν διαφ. T 3 αὐτῶν post παραθησ. colloc. K τὰς (ante διαφορὰς) om. K 5 πέντε om. K 6 pr. καὶ om. K 11 τῶν διαφ. καὶ τῶν κοινων. colloc. K 13 ἀξιοῖ T 14 δεκνύειν T 15 ἐστὶν om. K 16 λύσει] ὅλη K 17 εἰσὶν] ἔστι (bis) K 18 προηγεῖται (alt. l.) T ἄρα om. K 23 τῶν scripsi: αὐτῶν KT 26 προέθετο T 26. 27 ποιησόμεθα Paris. 1973: ποιούμεθα KT 30 κατηγορίᾳ om. K θεωροῦνται Paris. 2089: κατηγοροῦνται KT

Digitized by Google

αὐτῶν κοινωνία ὁρᾶται τὸ συνεισάγειν καὶ συναναιρεῖν ἀλλήλας· ὅπου γάρ ἐστι μία φωνὴ τούτων, ἐκεῖ εἰσι καὶ αἱ λοιπαί, ὅπου δὲ μία ἐκλείπει, ἐκεῖ καὶ πᾶσαι ἐκλείπουσιν. εἰρηκότες τὰς κοινωνίας χωρήσωμεν καὶ ἐπὶ τὰς διαφοράς. δευτέρα διαφορὰ ὑπάρχει αὐτῶν ὁ τρόπος τῆς κατηγορίας· αἱ μὲν γὰρ ἐν τῷ τί ἐστι κατηγοροῦνται ὥσπερ τὸ γένος καὶ τὸ εἶδος, αἱ δὲ ἐν τῷ ὁποῖόν τί ἐστιν ὥσπερ ἡ διαφορὰ καὶ τὸ ἴδιον καὶ τὸ συμβεβηκός. τρίτη διαφορὰ αὐτῶν ἐστιν οἱ διάφοροι ὁρισμοί· ὧν γὰρ διάφοροι οἱ ὁρισμοί, τούτων διάφοροι καὶ αἱ οὐσίαι. τετάρτη δὲ διαφορὰ πάλιν ἐστὶ τὸ ἐκ διαιρέσεως αὐτὰς εἶναι· τὰ γὰρ ἐκ διαιρέσεως ὑπάρχοντα διάφορά ἐστιν· εἰς τὸ αὐτὸ γὰρ οὐ διαιρεῖταί τι. πέμπτη διαφορά ἐστι τὸ μὴ σημαίνειν αὐτὰς ἀλλήλας κατὰ τὸ αὐτό· τὸ γὰρ γένος οὐ σημαίνει καὶ εἶδος κατὰ τὸ αὐτό. τὰ μὴ δυνάμενα οὖν εἰς ἄλληλα λαμβάνεσθαι διάφορά ἐστιν ὁμολογουμένως.

p. 13,10 Κοινὸν μὲν δὴ πάντων τὸ κατὰ πλειόνων κατηγορεῖσθαι.

Ἐκ τῆς κοινωνίας καὶ τὴν διαφορὰν λεληθότως παραδίδωσιν ὁ Πορφύριος· φησὶ γὰρ ὅτι κατηγοροῦνται κατὰ πλειόνων, ἀλλ' οὐχ ὁμοίως· τὸ μὲν γὰρ γένος καὶ ἡ διαφορὰ καὶ τὸ συμβεβηκὸς εἰδῶν καὶ ἀτόμων κατηγοροῦνται, τὸ δὲ ἴδιον καὶ εἶδος ἀτόμων. κακῶς οὖν τινες λέγουσιν ὅτι εἰς τρία τμήματα διαιρεῖται τὸ βιβλίον, ἐν μὲν τῷ πρώτῳ τὰς οὐσίας αὐτῶν διδάσκον, ἐν δὲ τῷ δευτέρῳ τὰς κοινωνίας, ἐν δὲ τῷ τρίτῳ τὰς διαφοράς· ψεύδονται γάρ· ἅμα γὰρ τὰς κοινωνίας καὶ τὰς διαφορὰς παραδίδωσι.

p. 13,15 Τὸ δὲ ἄλογον.

Τοῦτ' ἔστιν ἡ διαφορά. καταχρηστικῶς ἄλογον αὐτὴν ἐκάλεσεν, ἔδει γὰρ ἀλογότητα ⟨εἰπεῖν⟩.

p. 13,20 Ἀλλὰ προηγουμένως μὲν τῶν ἀτόμων, κατὰ δεύτερον δὲ λόγον καὶ τῶν περιεχόντων τὰ ἄτομα.

Φησὶν ὅτι ἐν τοῖς ἀτόμοις πρῶτον θεωρεῖται τὸ συμβεβηκός, εἶθ' ὕστερον ἐν τοῖς εἴδεσι· πρῶτον γὰρ τὸ λευκὸν καὶ θερμὸν ὁρᾶται ἐν τῷ Σωκράτει, καὶ ἐκ τούτου τὸν ἄνθρωπον λέγομεν λευκὸν ἢ θερμόν.

Ἴσως δὲ ἀπορήσει τις λέγων ὅτι τὸ μὴ σημαίνειν αὐτὰς ἀλλήλας κοινωνία ὑπάρχει· ἰδοὺ γὰρ λέγω κατὰ τοῦτο κοινωνοῦσι, καθὸ εἰς ἀλλήλας οὐ λαμβάνονται. οὐκ ἔστι δὲ τὸ τοιοῦτον ἄπορον· ἐφ' ὅλων γὰρ τῶν ὁμολογουμένων διαφορῶν ταὐτὸν δύναταί τις λέγειν· ἰδοὺ γὰρ λέγω καθὸ διαφέρουσι πᾶσαι ἀλλήλων, κατὰ τοῦτο κοινωνοῦσιν. οὐκ ἔστι δὲ τὸ τοιοῦτον κοινωνία ἀλλὰ διαφορά τις. |

1 συνεισάγ. Par. 2089: συνάγειν KT 2 καὶ αἱ λοιπαί εἰσιν colloc. T ἐκλείπει Paris. 2089: ἐκκλείψει KT 3 πᾶσαι] αἱ λοιπαὶ T 7 αὐτῶν om. K 8 δὲ om. T 20 διδάσκων K 22 δὲ] γὰρ K 24 γὰρ Paris. 2089: δὲ KT εἰπεῖν Paris. 1973: om. KT 25 αὐτόμων K 28 θερμὸν καὶ λευκὸν colloc. T 34 τις om. T

Digitized by Google

Εἰρηκὼς ὁ Πορφύριος περὶ τῶν καθολικῶν κοινωνιῶν καὶ διαφορῶν 213v
χωρεῖ καὶ ἐπὶ τὰς μερικάς. καὶ πρῶτόν γε τὴν κοινωνίαν καὶ τὴν διαφορὰν
τοῦ γένους πρὸς τὴν διαφορὰν λέγει. σκόπει δέ, ὅτε μὲν περὶ τῶν καθο-
λικῶν ποιεῖται τὸν λόγον, τὴν διαφορὰν μετὰ τὸ γένος τάττει, ὅτε δὲ περὶ
5 οὐσίας θέλει διδάξαι, τότε τὸ εἶδος δεύτερον τοῦ γένους τάττει· τὰ γὰρ
πρός τι ἅμα θέλει διδάσκεσθαι. φησὶν οὖν ὅτι κοινωνεῖ τὸ γένος καὶ ἡ
διαφορά, καθὸ ἄμφω εἰδῶν κατηγοροῦνται. ἔτι δὲ κοινωνοῦσιν ὅτι τὰ
κατηγορούμενα τοῦ γένους ὡς γένους ταῦτα κατηγοροῦνται καὶ τῶν ὑπ'
αὐτὸ εἰδῶν, καὶ τὰ κατηγορούμενα τῆς διαφορᾶς ὡς διαφορᾶς ταῦτα κατη-
10 γορεῖται καὶ τῶν ὑπ' αὐτὴν εἰδῶν. καλῶς λέγει ὡς γένους· τοῦτο γὰρ
λέγει 'ἅτιν' ἂν κατηγορῆται τοῦ γένους οὐσιωδῶς, ταῦτα καὶ τῶν ὑπ' αὐτὸ
εἰδῶν κατηγορεῖται'· οἷον ἡ οὐσία τοῦ ζῴου οὐσιωδῶς κατηγορεῖται· τοῦτο δὲ
καὶ τοῦ ἀνθρώπου κατηγορεῖται. τὸ ἔμψυχον πάλιν καὶ τὸ αἰσθητικὸν τοῦ
ζῴου κατηγορεῖται· τοῦτο δὲ καὶ τοῦ εἴδους καὶ τοῦ ἀτόμου κατηγορεῖται·
15 εἰ μὴ γὰρ ταῦτα ἐπὶ τοῦ γένους λάβωμεν ἀλλὰ τὰ συμβεβηκότα αὐτῷ, τὸ
εἶναι αὐτὸ δισύλλαβον, τὸ καλεῖσθαι αὐτὸ γένος, τὸ καθολικῶς αὐτὸ λαμβά-
νεσθαι, οὐ συστήσεται ὁ λόγος· ταῦτα γὰρ τῇ οὐσία ἐμψύχῳ αἰσθητικῇ
ἐπισυμβέβηκε, τὸ καλεῖσθαι αὐτὴν γένος, τὸ δισύλλαβον εἶναι, οἷον τὸ ζῷον,
τὸ καθολικῶς λαμβάνεσθαι· ταῦτα δὲ τοῦ ἀνθρώπου οὐ κατηγορηθήσεται,
20 ἐπειδὴ οὐσιωδῶς τοῦ γένους, τοῦτ' ἔστι τῆς οὐσίας ἐμψύχου αἰσθητικῆς, οὐ
κατηγορεῖται. ὁ αὐτὸς λόγος καὶ ἐπὶ τῆς διαφορᾶς· τὸ γὰρ οὐσιωδῶς αὐτῆς
κατηγορούμενον τοῦτο καὶ τῶν ὑπ' αὐτὴν εἰδῶν κατηγορηθήσεται· * * οὐσίαν
γὰρ ἔχει τὸ λόγῳ χρῆσθαι, φημὶ δὲ τῷ ἐνδιαθέτῳ· τοῦτο δὲ καὶ τοῦ
ἀνθρώπου καὶ τῶν ἀτόμων κατηγορεῖται. ἐὰν οὖν εἴπῃς τὸ συμβεβηκὸς
25 αὐτῆς τὸ τετρασύλλαβον, τοῦτο οὐ κατηγορεῖται τοῦ ἀνθρώπου, ἐπειδὴ
οὐσία αὐτῆς οὐκ ἔστι τοῦτο. κοινωνοῦσι πάλιν ὅτι ὥσπερ ἀναιρουμένου
τοῦ γένους ἀναιρεῖται καὶ τὰ ὑπ' αὐτὸ εἴδη, οὕτως ἀναιρουμένης τῆς δια-
φορᾶς ἀναιρεῖται καὶ τὰ ὑπ' αὐτὴν εἴδη.

Εἰρηκὼς τὰς κοινωνίας χωρεῖ καὶ ἐπὶ τὰς διαφοράς. φησὶ δὲ ὅτι
30 διαφέρει τὸ γένος τῆς διαφορᾶς, ὅτι τὸ μὲν γένος φύσει πρῶτόν ἐστι τῆς
διαφορᾶς. ὅτι δὲ φύσει πρῶτόν ἐστι, σαφὲς ἐκ τῶν παρακολουθούντων
τοῖς φύσει πρώτοις· συναναιρεῖ καὶ οὐ συναναιρεῖται· ζῴου γὰρ ὄντος ἔστιν
ἄλογον καὶ λογικόν, ζῴου δὲ μὴ ὄντος οὐκ εἰσὶ τὰ τοιαῦτα· λογικοῦ δὲ καὶ
ἀλόγου μὴ ὄντων ἔσται γένος· δύναται γὰρ εἶναι τὸ ζῷον, οὐσία ἔμψυχος
35 αἰσθητική, τῶν τοιούτων μὴ ὄντων. ἔτι συνεισφέρεται καὶ οὐ συνεισφέρει·
εἴ τι μὲν γὰρ λογικόν, τοῦτο καὶ ζῷον, εἴ τι δὲ ζῷον, οὐ τοῦτο καὶ λογικόν.
ἔτι διαφέρει ὅτι τὸ μὲν γένος | πλειόνων εἰδῶν κατηγορεῖται, ἡ δὲ διαφορὰ 214r
οὐ πολλῶν ἴσον τοῦ γένους. ὥστε οὖν καθολικώτερόν ἐστι τὸ γένος τῆς

---

5 τὸ γένος δεύτερον τοῦ εἴδους K 6 φασὶν K 9 ὡς διαφορᾶς om. K
11 ἅτιν' ἂν scripsi: εἴ τι δ' ἂν libri κατηγορεῖται K 12 τοῦ ζῴου scripsi: τοῦ γένους KT τοῦτο — κατηγορεῖται (13) om. K 18 ἐπιβέβηκε T
22 ante οὐσίαν defectum signavi, addas οἷον τοῦ λογικοῦ τὸ λόγῳ χρῆσθαι κατηγορεῖται
23. 24 καὶ τοῦ ἀνθρ. καὶ τῶν ἀτόμων Paris. 2089: καὶ τῶν ἀτόμων τοῦ ἀνθρώπου (in ras.) K: καὶ τῶν ἀτ. καὶ τοῦ ἀνθρ. T 27 ὑπ' αὐτὸ] ὑπ' αὐτὴν K 38 τοῦ γένους] an τῷ γένει?

Digitized by Google

διαφορᾶς. ἔτι διαφέρουσιν ὅτι τὸ μὲν γένος δυνάμει περιέχει τὴν διαφοράν, ἡ δὲ διαφορὰ οὐ δυνάμει περιέχει τὸ γένος. ἔτι διαφέρουσιν ὅτι τὸ μὲν γένος ἐν τῷ τί ἐστι κατηγορεῖται, ἡ δὲ διαφορὰ ἐν τῷ ὁποῖόν τί ἐστιν. ἔτι διαφέρει τὸ γένος τῆς διαφορᾶς, ὅτι ἐν ἑκάστῳ εἴδει πάντως ἓν γένος θεωρεῖται, ἐν ἑκάστῳ δὲ εἴδει οὐ πάντως μία διαφορὰ ἀλλὰ πλείους· ἰδοὺ γὰρ ἐν τῷ ἀνθρώπῳ ἓν μὲν τὸ ζῷον θεωρεῖται, πολλαὶ δὲ αἱ διαφοραί, λογικὸν θνητὸν νοῦ καὶ ἐπιστήμης δεκτικόν.

Ἐπειδὴ δὲ εἰρήκαμεν τὰς τοῦ φιλοσόφου κοινωνίας καὶ διαφοράς, φέρε καὶ ἡμεῖς προσευπορεύσωμεν ἑτέρας κοινωνίας καὶ διαφοράς. κοινωνοῦσιν οὖν αἱ διαφοραὶ καὶ τὰ γένη, ὅτι ὥσπερ τὰ γένη συμβάλλεται τοῖς ὁρισμοῖς, οὕτω καὶ αἱ διαφοραί. ἔτι κοινωνοῦσιν ὅτι τὰ δύο ἁπλᾶ ἐστι. κοινωνοῦσι δὲ πάλιν ὅτι μέρη συνθέτων εἰσὶν ἁπλᾶ ὄντα· ὁ γὰρ ἄνθρωπος σύνθετος· μέρη δὲ τοῦ ἀνθρώπου τὸ ζῷον καὶ τὸ λογικόν. διαφέρουσι δὲ ὅτι δύναται τὸ γένος προκόψαι, ὅπου οὐ δύναται ἡ διαφορά· οἷον τὰ γενικώτατα ὑπερβεβηκὸς γένος οὐκ ἔχει, αἱ δὲ διαφοραὶ ὅπου δ᾽ἂν προκόψωσι πάντως ἔχουσι πρὸ αὐτῶν γένος. ἔτι διαφέρουσιν ὅτι τὸ μὲν γένος μεταδίδωσιν ὀνόματος καὶ πράγματος, αἱ δὲ διαφοραὶ μόνου πράγματος.

p. 14,8 Οὐ μόνον τοῦ λογικοῦ ἀλλὰ καὶ τῶν ὑπὸ τὸ λογικὸν εἰδῶν κατηγορεῖται τὸ χρῆσθαι λόγῳ.

Οὐ τῇ προφορικῷ φησιν, ἐπεὶ οὐκ ἔσται ὁ ἄγγελος λογικὸς μὴ προφέρων λόγον (προφορικοὶ δὲ οὔκ εἰσιν οἱ ἄγγελοι διὰ τὸ μὴ δεῖσθαι), τὸν ἐνδιάθετον οὖν λόγον λέγει.

p. 14,14 Ἴδιον δὲ τοῦ γένους τὸ ἐπὶ πλειόνων κατηγορεῖσθαι.

Ἰστέον ὡς ἀδολεσχίας τρόπον ὑπέστη ὁ Πορφύριος· λέγει γὰρ ὅτι διαφέρουσι καθὸ τὸ μὲν γένος καθολικόν ἐστιν, ἡ δὲ διαφορὰ οὐ τὸ ἴσον καθολική ἐστιν. ἐπιφέρει δὲ πάλιν ἑτέραν διαφορὰν λέγων ὅτι διαφέρει τὸ γένος τῆς διαφορᾶς, καθὸ φύσει πρῶτον ὑπάρχει. ἀδολεσχεῖ δὲ οὕτω τάξας τὰς διαφοράς· ἤδη γὰρ συμπεριέλαβε τὸ φύσει πρῶτον ἐν τῷ λέγειν καθολικώτερον εἶναι τὸ γένος τῆς διαφορᾶς· τὰ γὰρ καθολικὰ πάντα φύσει πρῶτά εἰσιν. ἔδει δὲ μᾶλλον τὸ φύσει πρῶτον τάξαι πρὸ τοῦ καθόλου· εἴ τι μὲν γὰρ καθολικόν, τοῦτο καὶ φύσει πρῶτον ὑπάρχει, οὐκ εἴ τι δὲ φύσει πρῶτον, τοῦτο καὶ καθολικόν· ἰδοὺ γὰρ ἡ μονὰς τῶν δύο φύσει πρώτη ἐστίν, οὐ καθολικωτέρα δὲ τῶν δύο καὶ τῶν τριῶν. ὅτι δὲ φύσει πρώτη ἐστί, σαφὲς ἐκ τοῦ δέχεσθαι τοὺς κανόνας τῶν φύσει πρώτων· συναναιρεῖ γὰρ καὶ οὐ συναναιρεῖται (μονάδος γὰρ μὴ οὔσης | οὐκ ἔσται δύο, 214v δύο δὲ μὴ ὄντων ἡ μονὰς ἔσται), συνεισφέρεται καὶ οὐ συνεισφέρει· ὅπου

1 διαφέρουσιν] τὸ μὲν γένος (sed del.) T 8 ἐπειδὴ] ἐπεὶ Brand. 12 γὰρ scripsi: δὲ libri 18 μόνον δὲ Porph. λογικὸν] λογικῶν K 19 κατηγορηθήσεται Porph. 29 πάντως T 33 καθολικωτέρα scripsi: καθολικὴ KT

Digitized by Google

γὰρ δύο, πάντως ἔστιν ἐκεῖ καὶ μονάς, οὐχ ὅπου δὲ μονάς, ἐκεῖ καὶ δυὰς ὑπάρχει.

p. 14,14 Ἴδιον δὲ τοῦ γένους τὸ ἐπὶ πλειόνων κατηγορεῖσθαι ἤπερ ἡ διαφορὰ καὶ τὸ εἶδος καὶ τὸ ἴδιον καὶ τὸ συμβεβηκός.

5 Ἐκ περιουσίας θέλει εἰπεῖν πῶς διαφέρει τῶν ἄλλων φωνῶν· οὐ προέκειτο γὰρ αὐτῷ εἰπεῖν, εἰ μὴ τὴν διαφορὰν αὐτοῦ καὶ τῆς διαφορᾶς.

p. 14,15 Τὸ μὲν γὰρ ζῷον ἐπ' ἀνθρώπου καὶ ἵππου καὶ ὀρνέου καὶ ὄφεως, τὸ δὲ τετράπουν ἐπὶ μόνων τῶν τέσσαρας πόδας ἐχόντων.

10 Τὸ δὲ τετράπουν ἀντὶ τοῦ ἡ διαφορά.

p. 14,18 Καὶ τὸ συμβεβηκὸς ὁμοίως ἐπ' ἐλαττόνων ἤπερ τὸ γένος.

Τινὲς ἀποροῦσι λέγοντες ὅτι πλειόνων κατηγορεῖται τὸ συμβεβηκὸς τοῦ γένους, καὶ τοσοῦτον ὅτι γενῶν κατηγορεῖται· πῶς οὖν ἄλλως λέγει ὁ Πορφύριος; καλῶς δὲ ἀποροῦσι. δεῖ οὖν προσθεῖναι ὅτι τὸ γένος πλειόνων
15 κατηγορεῖται τοῦ συμβεβηκότος τοῦ θεωρουμένου δὲ ἐν αὐτῷ· τὸ γὰρ ζῷον ὅλων τῶν ὑπ' αὐτὸ εἰδῶν κατηγορεῖται, τὸ φαλακρὸν δὲ οὐ κατηγορεῖται ὅλων τῶν ὑπὸ τὸ ζῷον εἰδῶν.

p. 14,19 Δεῖ δὲ διαφορὰς λαμβάνειν, αἷς τέμνεται τὸ γένος.

Φησὶν ὅτι πλειόνων κατηγορεῖται τὸ γένος τῆς διαφορᾶς, διαφορᾶς δὲ
20 λέγω τῆς διαιρετικῆς· αἱ γὰρ συμπληρωτικαὶ διαφοραὶ τοῦ ζῴου πλειόνων κατηγοροῦνται τοῦ ζῴου, τὸ ἔμψυχον καὶ τὸ αἰσθητικόν.

p. 14,21 Καὶ τὰ μὲν γένη πρότερα τῶν ὑπ' αὐτὰ διαφορῶν.

Εἴπομεν ὅτι ὀφείλει προτάξαι τοῦτο πρῶτον.

p. 15,4 Ἔτι τὸ γένος μὲν ἓν καθ' ἕκαστον εἶδος, οἷον ἀνθρώπου
25 τὸ ζῷον.

Τινὲς ἀποροῦσι λέγοντες ὅτι καὶ πολλὰ γένη καθ' ἕκαστον εἶδος θεωρεῖται· ἰδοὺ γὰρ ἐπὶ τοῦ ἀνθρώπου θεωρεῖται τὸ οὐσία τὸ ἔμψυχον καὶ τὸ ζῷον, ταῦτα δὲ γένη εἰσί· πῶς οὖν φησιν ἓν γένος εἶναι ἐν ἑκάστῳ εἴδει; καλῶς δὲ οἱ ἐξηγηταὶ πρὸς τούτους ἀπαντῶντές φασιν ὅτι ἓν ἐστι
30 τὸ γένος· μόνον γὰρ τὸ οὐσία ὑπάρχει γένος, τὰ δὲ λοιπὰ συστατικαὶ δια-

---

6 αὐτῷ] αὐτὸ K 7 lemma om. T 11 ἤπερ τὸ γένος om. Porph.
22 καὶ] ἔτι Porph. 23 εἴπομεν] p. 211,30 24 τὸ om. Porph.

Digitized by Google

φοραί εἰσιν ἀτομοῦσαι τὴν οὐσίαν μέχρι τοῦ ζῴου. τὸ αὐτὸ οὖν ἐστιν οὐσία ἔμψυχος αἰσθητικὴ καὶ τὸ ζῷον·

p. 15,6 Τὸ μὲν γένος ἔοικεν ὕλῃ, μορφῇ δὲ ἡ διαφορά.

Τοῦτο κατασκευαστικόν ἐστι τοῦ λέγοντος ἐν τῷ τί ἐστι κατηγορεῖσθαι τὸ γένος, τὴν δὲ διαφορὰν ἐν τῷ ὁποῖόν τί ἐστι· φησὶ γὰρ ὅτι τῇ μορφῇ ἔοικεν ἡ διαφορά, ἡ μορφὴ δὲ ποῖόν τί ἐστιν, ὡς εἴρηται Ἀριστοτέλει ἐν Κατηγορίαις· ἡ διαφορὰ δὲ ἐοικυῖα τῇ μορφῇ ἐν τῷ ὁποῖόν τί ἐστι κατηγορηθήσεται· εἴρηται δὲ καὶ περὶ τούτου ἐν τοῖς προλαβοῦσιν.

Τὴν διδασκαλίαν τῆς διαφορᾶς τὸ εἶδος διεδέξατο, ἤδη καὶ περὶ τῆς τάξεως μετ' αὐτῆς διαμφισβητῆσαν. παρατίθησιν οὖν ὁ Πορφύριος τοῦ γένους καὶ τοῦ εἴδους τρεῖς κοινωνίας καὶ τέσσαρας διαφοράς. ἐπειδὴ δὲ δεῖται προσδιορισμοῦ ἡ μία | τῶν διαφορῶν, φέρε πρὸ τῆς τῶν κοινωνιῶν 215r καὶ διαφορῶν διδασκαλίας ὀλίγα περὶ αὐτῆς καταβάλωμεν. φησὶν ὅτι διαφέρει τὸ γένος τοῦ εἴδους ὅτι φύσει προτερεύει τὸ γένος τοῦ εἴδους. τούτου οὕτως ἔχοντος ἐάν ἐστι τὸ γένος καὶ εἶδος, μὴ λάβῃς κατὰ τὸ αὐτὸ γένος καὶ εἶδος, ἐπεὶ ἔσται τὸ ἓν ἑαυτοῦ προτερεῦον, ἀλλὰ τὸ ἔμψυχον λάβε γένος καὶ τὸ ζῷον εἶδος· καὶ οὕτως εὑρίσκεται ὁ λόγος καλῶς ἔχων. δεύτερος προσδιορισμός· μὴ λάβῃς μοι τὸ γένος κατ' ἄλλο μὲν εἶδος καὶ πάλιν τὸ εἶδος κατ' ἄλλο γένος, ἀλλ' ὡσαύτως μένοι ὁ λόγος, ἐπεὶ ἐὰν λάβῃς τὸ ἔμψυχον ὡς εἶδος τὸ δὲ ζῷον ὡς γένος, εὑρίσκεται τὸ εἶδος φύσει προτερεῦον τοῦ γένους. διὰ τοῦτο οὖν εἴπομεν, ἵν' ὡσαύτως μείνῃ τὸ γένος καὶ τὸ εἶδος. τρίτος προσδιορισμός· προτερεύει τὸ γένος τοῦ εἴδους οὐ κατὰ τὰς γενικὰς καὶ εἰδικὰς διαφοράς (τοῦτο δέ φημι, οὐχ ὡς γένος τὸ γένος εἴδους προτερεύει· τὰ γὰρ πρός τι ἅμα θέλει εἶναι), ἀλλὰ κατὰ τὸ πρᾶγμα· ὥσπερ γὰρ ὁ πατὴρ τοῦ υἱοῦ οὐ προτερεύει ὡς πατήρ (εἰ γὰρ πατήρ, ἅμα καὶ υἱός), ἀλλ' ὡς ἄνθρωπος προτερεύει ὁ Σωφρονίσκος τοῦ Σωκράτους, οὕτω καὶ τὸ γένος οὐ προτερεύει τοῦ εἴδους ὡς γένος ἀλλ' ὡς πρᾶγμα· ἡ γὰρ οὐσία ἔμψυχος αἰσθητικὴ κατὰ τὸ πρᾶγμα τοῦ ἀνθρώπου προτερεύει· προϋπῆρχε γὰρ τοῦ ἀνθρώπου.

Εἰρηκότες τοὺς προσδιορισμοὺς τῆς τοιαύτης διαφορᾶς φέρε ἐπὶ τὰς κοινωνίας χωρήσωμεν, εἶθ' ὕστερον ἐπὶ τὰς διαφορὰς βαδίσωμεν. κοινωνεῖ τὸ γένος καὶ τὸ εἶδος, καθὸ κατὰ πλειόνων κατηγοροῦνται. ἔτι κοινωνοῦσι καθὸ προτερεύουσιν ὧν κατηγοροῦνται· τὸ γὰρ γένος καὶ τοῦ ἀνθρώπου προτερεύει καὶ τοῦ Σωκράτους, τὸ δὲ εἶδος προτερεύει ὅλων τῶν ὑπ' αὐτὸ ἀτόμων. ἔτι κοινωνοῦσιν ὅτι οἱονεὶ ὅλον εἰσί. διὰ τί δὲ 'οἱονεὶ ὅλον' εἴπομεν, καὶ οὐχ ὅλον; ὅτι τὸ μὲν ὅλον οὐχ ὥς ὅλον εἰς τὰ ἑαυτοῦ μέρη θεωρεῖται, ἐπεὶ ἔσται τῶν μερῶν ἓν καὶ ἕκαστον ὅλον, τὸ δὲ γένος, φημὶ δὲ τὸ ζῷον, ὅλον ὡς ὅλον θεωρεῖται ἐν τῷ ἁπλῶς ἀνθρώπῳ καὶ Σωκράτει,

---

6. 7 ἐν Κατηγορίαις] p. 10a11 10 διαμφισβ.] p. 172,23 12. 13 κοινωνιῶν καὶ Paris. 2089: om. KT 13 καταβάλλωμεν T 19 μένοι scripsi: μένει KT 21. 22 εἶδος καὶ τὸ γένος K¹ 23 ἰδικὰς T 24 θέλει T 25 οὐ om. K εἰ] ἅμα T 36 an ἐν τοῖς . μέρεσι ? (sed cf. p. 151,10)

Digitized by Google

αὐτός τε ὁ ἄνθρωπος ἐν τῷ Σωκράτει ὅλος ὡς ὅλος θεωρεῖται, ὅτι ἔχει τὸ ὅλον τὸ διαιρεθὲν εἰς πολλούς. διαφέρουσι δὲ ὅτι τὸ μὲν γένος φύσει προτερεύει, τὸ δὲ εἶδος οὐκέτι· πῶς δὲ φύσει προτερεύει εἰρήκαμεν. ἔτι δὲ διαφέρουσιν ὅτι τὸ μὲν γένος ὕλῃ ἔοικε, τὸ δὲ εἶδος μορφωθείσῃ ὕλῃ, ὡς ἵνα νοήσῃς μοι τὸν ἀνδριάντα ἐκ χαλκοῦ καὶ μορφῆς συνιστάμενον· τοιοῦτον γὰρ καὶ ὁ ἄνθρωπος· ὥστε οὖν ὁ μὲν ἄνθρωπος σύνθεσις εὑρίσκεται, τὸ δὲ γένος ἁπλοῦν. πιστοῦται δὲ αὕτη ἡ διαφορὰ τὴν πρὸ αὐτῆς· εἰ γὰρ ἔοικε τὸ γένος τῇ ὕλῃ, τὸ δὲ εἶδος τῇ μορφωθείσῃ ὕλῃ, ὁμολογουμένως τὸ γένος τοῦ εἴδους φύσει προτερεύει, ὥσπερ ἡ ἄμορφος ὕλη τῆς μορφωθείσης. | ἀποδίδωσι δὲ καὶ ἑτέρας δύο διαφοράς, τὴν μὲν μίαν ἐξ 215v ἀντανισώσεως καταφατικῆς, τὴν δὲ ἑτέραν ἐξ ἀντανισώσεως ἀποφατικῆς. ποία δέ ἐστιν ἡ ἐκ καταφατικῆς διαφορά; διαφέρει τὸ γένος τοῦ εἴδους ὅτι πλείονας ἔχει διαφοράς· ἔχει γὰρ τὰς ἀντιδιαιρετικὰς δυνάμει, τὸ λογικὸν καὶ τὸ ἄλογον. τὸ δὲ εἶδος οὐκέτι τὰς ἀντιδιαιρετικὰς ἔχει, ἔχει δὲ πλείονας, καθὸ ἐνεργείᾳ αὐτὰς ἔχει. διὰ τοῦτο καὶ ἀνωτέρω ἐλέγομεν τὴν διαφορὰν περιττεύειν τῷ εἴδει τοῦ γένους. καταφατικὴ δὲ εἴρηται διὰ τὸ καὶ τὸ γένος ἔχειν πλείονας καὶ τὸ εἶδος. ἀποφατικὴ δὲ διαφορά ἐστιν ἡ λέγουσα ὅτι οὔτε τὸ γενικώτατον γένος δύναται καὶ εἶδος εἶναι οὔτε τὸ εἰδικώτατον εἶδος δύναται καὶ γένος εἶναι. ἀποφατικὴ δὲ εἴρηται διὰ τὸ ἀπαγορεύειν ἑκάτερον. εἰρηκότες δὲ τὰς κοινωνίας καὶ τὰς διαφορὰς τοῦ φιλοσόφου φέρε κατὰ τὸ σύνηθες καὶ ἑτέρας προσευπορήσωμεν. κοινωνεῖ τὸ γένος καὶ τὸ εἶδος, καθὸ δύνανται καὶ γένη καὶ εἴδη εἶναι. ἔτι δὲ κοινωνοῦσι καθὸ συνωνύμως κατηγοροῦνται· τὸ γὰρ γένος καὶ τῷ εἴδει καὶ τῷ ἀτόμῳ μεταδίδωσιν ὀνόματος καὶ πράγματος καὶ τὸ εἶδος ὁμοίως τοῖς ἀτόμοις. ἔτι δὲ κοινωνοῦσι καθὸ ἐν τῷ τί ἐστι κατηγοροῦνται. διαφέρουσι δὲ ὅτι τὰ μὲν γένη ὥρισται καὶ τῇ φύσει καὶ τῇ γνώσει, τὰ δὲ εἴδη μόνῃ τῇ φύσει ὥρισται. χωρητέον δὲ ἐπὶ τὴν λέξιν.

p. 15,11 Εἰλήφθω δὲ τὸ εἶδος ὡς εἶδος ἀλλ' οὐχ ὡς γένος.

Ἰδοὺ πρῶτον προσδιορισμὸν παραδίδωσιν ὁ Πορφύριος· φησὶ γὰρ ὅτι ἐὰν δύνηται τὸ γένος εἶναι καὶ εἶδος, μὴ λάβῃς αὐτὸ καὶ εἶδος ἀλλὰ γένος. τοῦτο δὲ λέγει, ἵνα μὴ λάβῃς ἅμα γένος καὶ εἶδος, καὶ ἔσται τὸ αὐτὸ ἑαυτοῦ προτερεῦον.

p. 15,15 Διαφέρει δὲ ὅτι τὸ μὲν γένος περιέχει τὰ εἴδη, τὰ δὲ εἴδη περιέχεται καὶ οὐ περιέχει τὰ γένη· ἐπὶ πλεῖον γὰρ τὸ γένος τοῦ εἴδους·

Ἐν τῷ λέγειν τὸ γένος περιέχει τὰ εἴδη καὶ καθολικώτερόν

---

11 καταφατικῆς et ἀποφατικῆς ex Urb. 35 scripsi: καταφατικὴν et ἀποφατικήν KT 13. 14 τὸ ἄλογον καὶ τὸ λογ. colloc. T 15 ἀνωτέρω] p. 187,8 18 τὸ γένος τὸ γενικ. T 21 προσπορίσωμεν K: προσευπορίσωμεν T 22 καὶ εἴδη καὶ γένη colloc. K δὲ om. K 29 πρῶτον] τὸν T 30 δύνηται Paris. 2089: δύναται KT 31 alt. καὶ om. T 33 ὅτι] ἡ Porph. 34 πλεῖον] πλείω KT 36 τὰ γένη K

Digitized by Google

ἐστι (τοῦτο γὰρ σημαίνει τὸ ἐπὶ πλέον), δεικνύει ὅτι καὶ φύσει προτερεύει· τὰ γὰρ καθολικώτερα, ὡς εἴρηται, φύσει προτερεύει.

p. 15,20 Καὶ τὰ μὲν γένη συνωνύμως τῶν εἰδῶν κατηγορεῖται, τὰ δὲ εἴδη τῶν γενῶν οὐκέτι.

5 Ταὐτόν ἐστι τῇ πρώτῃ διαφορᾷ.

p. 15,21 Ἔτι τὰ μὲν γένη πλεονάζει τῇ τῶν ὑπ' αὐτὰ εἰδῶν περιοχῇ (τοῦτ' ἔστι ταῖς ἀντιδιαιρουμέναις διαφοραῖς), τὰ δὲ εἴδη τῶν γενῶν πλεονάζει ταῖς οἰκείαις διαφοραῖς (καθὸ ἐνεργείᾳ ἔχει αὐτά).

Πάρεσμεν τοῦ γένους καὶ τοῦ ἰδίου τὰς κοινωνίας καὶ τὰς διαφορὰς
10 παραδώσοντες. κοινωνεῖ δὲ τὸ γένος καὶ τὸ ἴδιον, καθὸ τὰ δύο συνεισφέρεται, ὑφ' ὧν κατηγοροῦνται· ὁ ἄνθρωπος γὰρ εἰσφέρει καὶ τὸ ζῷον, εἰσφέρει δὲ καὶ τὸ γελαστικόν· εἴ τι μὲν γὰρ ἄνθρωπος, τοῦτο καὶ ζῷον, καὶ εἴ τι ἄνθρωπος, τοῦτο καὶ γελαστικόν. ἔτι κοινωνοῦσιν ὅτι ἐπίσης μετέχονται ὧν κατηγοροῦνται· τὸ γὰρ ζῷόν ἐστιν ἐπίσης ἵππῳ καὶ ἀνθρώπῳ,
15 καὶ τὸ γελαστικὸν | ὁμοίως ἐπίσης ἐστὶ Πλάτωνι καὶ Ἀλκιβιάδῃ. ἔτι 216r
δὲ κοινωνοῦσι καθὸ συνωνύμως κατηγοροῦνται· ὡς γὰρ τὸ ζῷον συνωνύμως κατηγορεῖται τοῦ ἀνθρώπου (μεταδίδωσι γὰρ ὀνόματος καὶ πράγματος), οὕτω καὶ τὸ γελαστικὸν συνωνύμως κατηγορεῖται Πλάτωνος· ὀνόματος γὰρ αὐτῷ μεταδίδωσι, καθὸ δύνασαι καὶ γελαστικὸν λέγειν Πλάτωνα, ἀλλὰ μὴν
20 καὶ πράγματος, καθὸ καὶ τοῦ γελᾶν μεταδίδωσι Πλάτωνι. διαφέρουσι δὲ ὅτι τὸ γένος προτερεύει τοῦ ἰδίου· πρῶτον γάρ ἐστι τὸ ζῷον τὸ διαιρούμενον εἰς λογικὸν καὶ ἄλογον, ὕστερον δὲ τὸ ἴδιον τὸ φαινόμενον ἐν ταῖς διαφοραῖς· μεθὸ γὰρ γίνεται τὸ λογικόν, γίνεται τὸ γελαστικόν. ἔτι διαφέρουσιν ὅτι τὸ μὲν γένος πολλῶν εἰδῶν κατηγορεῖται, τὸ δὲ ἴδιον ἑνὸς
25 εἴδους. ἔτι διαφέρουσιν ὅτι τὸ μὲν γένος οὐκ ἀντιστρέφει πρὸς τὰ εἴδη, τὸ δὲ ἴδιον ἀντιστρέφει· εἴ τι γὰρ γελαστικόν, τοῦτο καὶ ἄνθρωπος, καὶ εἴ τι ἄνθρωπος, τοῦτο καὶ γελαστικόν, οὐκ εἴ τι δὲ ζῷον, τοῦτο καὶ ἄνθρωπος. χωρήσωμεν δὲ καὶ ἐπὶ τὴν λέξιν.

p. 16,3 Καὶ τὸ ἐπίσης τὸ γένος κατηγορεῖσθαι τῶν εἰδῶν καὶ τὸ
30 ἴδιον τῶν αὐτοῦ μετεχόντων.

Τινὲς ἀμφιβάλλουσι λέγοντες ἄδηλον εἰρηκέναι τὸν Πορφύριον περὶ ποίου ἰδίου ὁ λόγος ὑπάρχει· διττὸν γὰρ τὸ ἴδιον· τὸ μὲν γὰρ πολλῶν εἰδῶν κατηγορεῖται, τὸ δὲ ἑνὸς εἴδους. καὶ πολλῶν μὲν ὡς τὸ κινητικόν·

---

1 ἐστι scripsi: εἶναι KT σημαίνει om. K 2 εἴρηται] p. 211,31 3 κατ. τῶν ὑφ' ἑαυτὰ εἰδῶν Porph. 9 ante Πάρεσμεν add. tit. περὶ τῶν κοινωνιῶν γένους καὶ ἰδίου T 12 γὰρ om. T 13 alt. καὶ om. T 14 ἐπίσης ἐστὶν colloc. T 15 ὁμοίως om. T 20 τοῦ γελᾶν Paris. 2089: τὸ γελαστικὸν KT 21 τὸ μὲν γένος K 31 διαμφιβάλλουσι T

Digitized by Google

τὸ γὰρ κινητικὸν ἴδιόν ἐστι τοῦ ζῴου· ἀμέλει καὶ ἀντιστρέφει· εἴ τι γὰρ ζῷον, τοῦτο καὶ κινητικόν, καὶ εἴ τι κινητικόν, τοῦτο καὶ ζῷον. κατηγορεῖται δὲ τὸ κινητικὸν πολλῶν εἰδῶν· ἔστι γὰρ καὶ ἐν ἀνθρώπῳ καὶ κυνὶ καὶ ἵππῳ καὶ ἄλλοις πολλοῖς εἴδεσιν. ἑνὸς δὲ εἴδους κατηγορεῖται τὸ ἴδιον
5 ὡς τὸ γελαστικὸν τοῦ ἀνθρώπου. τούτου οὕτως ἔχοντος ἄδηλον ἡμῖν φαίνεται περὶ ποίου ἰδίου λέγει ὁ Πορφύριος· ἐν μὲν γὰρ τῇ κοινωνίᾳ αὐτῶν τὸ πολλῶν εἰδῶν κατηγορούμενον λέγει, ἐν δὲ τῇ διαφορᾷ τὸ πολλῶν εἰδῶν κατηγορούμενον οὐ λέγει, ἀλλ' ἑνὸς εἴδους. περὶ ποίου δὲ ὁ λόγος αὐτῷ ὑπάρχει, οὐκ οἴδαμεν. ἐπιλύονται δὲ λέγοντες οὕτως, ὅτι ἕκαστον
10 ἴδιον συμπεριέλαβε· φησὶ γὰρ ὅτι τὸ γένος πάντως πλειόνων εἰδῶν κατηγορεῖται, τὸ δὲ ἴδιον οὐ πάντως πλειόνων· καὶ ἑνὸς γὰρ κατηγορεῖται. τὸ τοιοῦτον δὲ ληρῶδες ὑπάρχει· ἐκ ταύτης γὰρ τῆς ζητήσεως πολλὰ ἄτοπα ἕψεται· τοῦ γὰρ Πορφυρίου ὁμολογουμένως ὧδε καὶ ἐν ἑτέροις εἰρηκότος μὴ εἶναι τὸ ἴδιον πολλῶν εἰδῶν, ἀλλ' ἑνὸς καὶ μόνου καὶ ἀεί, περὶ
15 οὗ καὶ τὸν λόγον ποιούμεθα, οἱ τοιαύτην ζήτησιν καταβαλλόμενοι ἄτοπα πολλὰ παραδεδώκασι· τὸ κινητικὸν γὰρ οὐσιώδη διαφορὰν δηλοῦν τοῦ ζῴου ἴδιον αὐτοῦ λέγουσιν. ἀτόπως δὲ λέγεται ἴδιον εἶναι πολλῶν εἰδῶν ὑπάρχον. τὸ ἴδιον πάντως ἑνὸς ὑπάρχει. συμβεβηκότι δὲ μᾶλλον τὸ τοιοῦτον ἁρμόζει. πλάνη δὲ | γέγονε τῆς λέξεως ὑπόνοιαν παρεχούσης φάσκειν τὸν Πορφύριον 216v
20 πολλῶν εἰδῶν τὸ ἴδιον κατηγορεῖσθαι. τὸ δὲ ἀληθὲς οὐ τοῦτο ἐδήλου· τῷ γὰρ λέγειν τοῖς εἴδεσιν οὐ λέγει τὸ ἴδιον εἰδῶν κατηγορεῖσθαι, ἀλλὰ λέγει ὅτι τὸ γένος καὶ τὸ ἴδιον ὑπὸ τῶν εἰδῶν εἰσφέρεται, οὐ μέντοι τὸ ἴδιον λέγει πολλῶν εἰδῶν κατηγορεῖσθαι.

p. 16,6 Κοινὸν δὲ καὶ τὸ συνωνύμως κατηγορεῖσθαι.

25 Τινὲς λέγουσιν ὅτι οὐκ ἔδει λέγειν Πορφύριον συνωνύμως τὸ ἴδιον κατηγορεῖσθαι· πῶς γὰρ συμβεβηκὸς μεταδίδωσιν ὀνόματος καὶ πράγματος; οἱ τοιαῦτα δὲ λέγοντες οὐδέποτε Ἀριστοτέλους ἀκροαταὶ γεγόνασιν, ὃς ἐν ταῖς Κατηγορίαις φανερῶς λέγει καὶ τὰ συμβεβηκότα συνωνύμως κατηγορεῖσθαι.

p. 16,9 Διαφέρει δὲ ὅτι τὸ μὲν γένος πρότερον, ὕστερον δὲ τὸ ἴδιον.

30 Τινὲς λέγουσιν ὅτι οὐ πάντως προτερεύει τὸ γένος τοῦ ἰδίου· ἰδοὺ γὰρ τὸ ζῷον καὶ τὸ κινητικὸν ἅμα ἐστίν· οὔτε γὰρ προτερεύει τὸ ζῷον τοῦ κινητικοῦ. ἀπολογοῦνται δὲ λέγοντες ὅτι καθὸ ὑποκείμενόν ἐστι τὸ γένος, τὰ δὲ ἴδια ἐν ὑποκειμένῳ (ὑποκείμενον δὲ τὸ γένος, καθὸ ἔοικε τῇ ὕλῃ, ἐν ὑποκειμένῳ δὲ τὸ ἴδιον, * *), διὰ τοῦτο τὸ γένος προτερεύει τοῦ

---

2 καὶ (ante ζῷον) om. T 11 τὸ δὲ ἴδιον—κατηγορεῖται om. T 14 τὸ om. K 16 διαφορὰν] φορὰν KT 17 λέγεται scripsi: δύναται libri 19 παρεχούσης scripsi: παρέχουσα libri 20 τῷ] τὸ K 27. 28 ἐν ταῖς Κατηγορίαις] cf. p. 3*33 sq., ubi non de accidentibus, sed de differentiis agitur. 30 τὸ γένος προτ. colloc. T 34 post ἴδιον defectum signavi; addas καθὸ ἔοικε τῇ μορφῇ τὸ ἴδιον

Digitized by Google

ἰδίου. ἀνόητα δὲ φθέγγονται οἱ τοιαῦτα ζητοῦντες καὶ ἀπολογούμενοι· ἡ γὰρ ἀπορία προῆλθεν ἐκ τῆς κακῆς αὐτῶν ζητήσεως· ἔφαμεν γὰρ ὡς οὐκ ἔδει λαβεῖν τὸ κινητικὸν ἴδιον, καὶ οὕτως οὔτε δύναταί τις λέγειν τὰ ἴδια μὴ εἶναι ὕστερα τῶν γενῶν οὔτε ψυχρῶς ἐπιλύσεται φάσκων τὸ ἴδιον ἐν ὑποκειμένῳ ἐοικέναι. ὅμως δὲ εἰ καὶ καλῶς ἐπελύσαντο, ἀλλ' οὖν οὐ καλῶς ἡ ἀπορία προῆλθεν. δεῖ οὖν δέχεσθαι μόνον τὸ ἴδιον ἑνὸς εἴδους κατηγορεῖσθαι, καὶ οὕτως ὕστερον τοῦ γένους εὑρίσκεται.

p. 16,9 Δεῖ γὰρ εἶναι ζῷον, εἶτα διαιρεῖσθαι διαφοραῖς καὶ ἰδίοις.

Τὸ γὰρ ζῷον προϋπάρχει, ὕστερον δὲ διαιρεῖται τῷ λογικῷ καὶ τῷ γελαστικῷ.

p. 16,11 Καὶ τὸ μὲν ἴδιον ἀντικατηγορεῖται.

Ἀντὶ τοῦ ἀντιστρέφει. τὸ δὲ γένος οὔτε πρὸς τὸ εἶδος οὔτε πρὸς τὸ ἴδιον ἀντιστρέφει.

p. 16,14 Ἔτι τὸ μὲν ἴδιον παντὶ τῷ εἴδει ὑπάρχει, οὗ ἐστιν ἴδιον, καὶ μόνῳ καὶ ἀεί, τὸ δὲ γένος παντὶ μὲν τῷ εἴδει, οὗ ἂν ᾖ γένος, καὶ ἀεί, οὐ μέντοι καὶ μόνῳ.

Αὕτη οὐκ ἔστι διαφορὰ κατ' ἰδίαν. κατασκευάζει δὲ τὸ δεύτερον· τὸ γὰρ δεύτερον λέγει ἀντιστρέφειν τὸ ἴδιον. διὰ τί; ἐπειδὴ καὶ μόνῳ καὶ παντὶ καὶ ἀεὶ τῷ εἴδει ὑπάρχει. τὸ δὲ γένος οὐκ ἀντιστρέφει, ἐπειδὴ οὐ μόνῳ ὑπάρχει. ἐν τούτῳ δείκνυται ὅτι καὶ καθολικώτερόν ἐστι τὸ γένος.

p. 16,16 Ἔτι τὰ μὲν ἴδια ἀναιρούμενα οὐ συναναιρεῖ τὰ γένη, τὰ δὲ γένη ἀναιρούμενα συναναιρεῖ τὰ εἴδη, ὧν ἐστιν ἴδια·

Καλῶς λέγει· ἐὰν γὰρ εἴπω 'οὐ ζῶον ἔστι', δηλῶ ὅτι οὐδὲ γελαστικόν· ἐὰν δὲ εἴπω 'οὐ γελαστικόν', οὐ συναναιρῶ τὸ ζῷον· ἔστι γὰρ ζῷα μὴ γελαστικά. ταὐτὸν δὲ ἐστι τῇ πρώτῃ διαφορᾷ· ἐξ οὗ γὰρ ἐδείχθη | ὡς 217r καθολικώτερόν ἐστι τὸ γένος τοῦ ἰδίου, συναναιρεῖ καὶ οὐ συναναιρεῖται.

Ἵνα δὲ κατὰ τὸ ἔθος προσευπορήσωμεν κοινωνίας καὶ διαφοράς, φέρε μίαν κοινωνίαν καὶ μίαν διαφορὰν παραδώσομεν. κοινὸν ἔχουσι τὸ πάντα τὰ ὁμοειδῆ ἑκατέρου μετέχειν· ὁ γὰρ Σωκράτης καὶ Πλάτων ζῴου μετέχουσιν, ὁμοίως δὲ καὶ τοῦ γελαστικοῦ. μὴ νόμιζε δὲ τοῦτο ἐοικέναι τῷ λέγοντι ἐπίσης κατηγορεῖσθαι αὐτὰ τῶν ὑπ' αὐτά· ἐκεῖνο γὰρ τὸ μᾶλλον καὶ ἧττον δηλοῖ, τοῦτο δὲ οὐχὶ τὸ μᾶλλον καὶ ἧττον, ἀλλὰ μόνον μετέχειν

---

2 ἔφαμεν] p. 216,16 5 an ὑποκ. ⟨ὂν τῇ μορφῇ⟩ ἐοικέναι? ἐπέλυσαν K
5. 6 οὐ καλῶς Paris. 2089: om. KT 12 τὸ εἶδος Paris. 2089: γένος K: τὸ γένος T
15 post εἴδει add. ὑπάρχει K 18 ante μόνῳ add. ὃ K: ὧ T 21 τὰ γένη] τὸ γένος K¹ 23 οὐδὲ] οὐ K 24 μὴ] οὐ K 27 προσευπορίσωμεν T
29 μονοειδῆ K 32 μετέχει K

Digitized by Google

τὰ ὁμοειδῆ τούτων. διαφορὰν δὲ ἔχουσιν ὅτι τὸ μὲν γένος ὡς γένος ἐν τοῖς ἀτόμοις θεωρεῖται, τὸ δὲ ἴδιον οὐχ ὡς ἴδιον ἀλλ' ὡς συμβεβηκός· ἀμέλει οὐκ ἀντιστρέφει ἐν τοῖς ἀτόμοις· εἴ τι μὲν γὰρ Σωκράτης ἐστί, τοῦτο καὶ γελαστικόν, οὐκ εἴ τι δὲ γελαστικὸν, τοῦτο καὶ Σωκράτης ἐστίν. εἰ δὲ ἦν ἴδιον, ὤφειλεν ἀντιστρέφειν, ὡς ἐδείχθη.

Καταλλήλῳ τῇ τάξει χρησάμενοι πάρεσμεν τοῦ γένους καὶ τοῦ συμβεβηκότος τὰς κοινωνίας καὶ τὰς διαφορὰς παραδώσοντες. ἀλλ' οὐκ ἰσαρίθμους τὰς κοινωνίας καὶ τὰς διαφοράς· μίαν γὰρ κοινωνίαν παραδίδωσι, τρεῖς δὲ διαφοράς. ἀποροῦσι δέ τινες λέγοντες 'διὰ τί ἐπὶ μὲν τῶν ἄλλων φωνῶν πολλὰς κοινωνίας τοῦ γένους παρέθετο, ἐπὶ δὲ τοῦ συμβεβηκότος μίαν;' ἔστι δὲ εἰπεῖν πρὸς τούτους ὅτι πάνυ πόρρω διέστηκε τοῦ συμβεβηκότος τὸ γένος· τὸ μὲν γὰρ γένος ἄκρα οὐσία ἐστί, τὸ δὲ συμβεβηκὸς ἄκρον ἐπουσιῶδες. κατὰ πολλὰ δὲ ἔστι δεῖξαι ταῦτα διεστηκότα, εἰ μὴ ἐκ τῆς θεωρίας αὐτοὺς παρακρούειν ἐμέλλομεν. παραδίδωσιν οὖν ὁ Πορφύριος κοινὸν γένους καὶ συμβεβηκότος τὸ κατὰ πλειόνων κατηγορεῖσθαι. ἤδη δὲ καὶ ἐν τοῖς καθολικοῖς κοινωνία τοῦτο ἐδείχθη. ἐπειδὴ δὲ ἐπιστήμονος ἀνδρὸς ὑπάρχει τὸ κοινωνίαν τῶν πόρρω διεστηκότων παραδιδόναι καὶ τῶν πάνυ παραπλησίων διαφορὰν δεικνύναι, ὡς ἐπὶ φάττης καὶ περιστερᾶς, φέρε καὶ κοινὸν ἕτερον γένους καὶ συμβεβηκότος ἀποδείξωμεν ταῖς ἀπὸ τοῦ φιλοσόφου παραδοθείσαις διαφοραῖς ἀρκούμενοι. ἔτι κοινωνεῖ τὸ γένος καὶ τὸ συμβεβηκός, καθὸ ἑκάτερον αὐτῶν καὶ εἰδῶν καὶ ἀτόμων κατηγορεῖται. χωρητέον δὲ καὶ ἐπὶ τὰς διαφοράς. διαφέρει δὲ τὸ γένος τοῦ συμβεβηκότος, ὅτι τὸ μὲν γένος πρὸ τῶν εἰδῶν ἐστι, τὰ δὲ εἴδη πρὸ τοῦ συμβεβηκότος· τὸ γὰρ συμβεβηκὸς πάντως ἔχει τὸ εἶδος προτερεῦον, οὗ ἐστι συμβεβηκός. ἔτι διαφέρει τὸ γένος τοῦ συμβεβηκότος, ὅτι τὸ μὲν γένος ἐπίσης ἐκ τῶν ὑπ' αὐτὸ εἰδῶν μετέχεται, τὸ δὲ συμβεβηκὸς κατὰ τὸ μᾶλλον καὶ ἧττον μετέχεται. ἔτι διαφέρουσιν ὅτι τὸ μὲν γένος πρῶτον εἰδῶν κατηγορεῖται καὶ οὕτως ἀτόμων, τὸ δὲ | συμβεβηκὸς πρῶτον ἀτόμων 217v καὶ οὕτως εἰδῶν. ταὐτὸν δέ ἐστι τῷ πρώτῳ· δείκνυται γὰρ καὶ ὧδε φύσει προτερεῦον τὸ γένος. ἔτι διαφέρουσιν ὅτι τὸ μὲν γένος ἐν τῷ τί ἐστι κατηγορεῖται, τὸ δὲ συμβεβηκὸς ἐν τῷ ὁποῖόν τί ἐστιν.

